# Poemata

## Τοῦ ὑπερτίμου κυροῦ Μιχαὴλ τοῦ Ψελλοῦ πρὸς τὸν βασιλέα Μονομάχον

Οὐκ ἔστι τὸ ψαλτήριον, δέσποτά μου, βιβλίον, ὡς οἱ πολλοὶ νομίζουσι πάντως ἐξ ἀγνωσίας, ἀλλ' ἦν τὸ πρὶν δεκάχορδον ὄργανον, ὡς κιθάρα, ψαλτήριον καλούμενον ἐξ ἐτυμολογίας ἀπὸ τοῦ τὰ ψαλλόμενα τηρεῖν τοὺς μελῳδοῦντας· πρὸς τοῦτο τὸ ψαλτήριον οἱ ψαλμοὶ τοῦ προφήτου ἐμελῳδοῦντο σύμπαντες ἐμμέτρως γεγραμμένοι. ὕστερον δὲ τὸ σύνταγμα τῶν ψαλμῶν συντεθέντων ψαλτήριον ὠνόμασται ὡς ἐκ μετωνυμίας. ἔχει δὲ τὸ ψαλτήριον ψαλμούς, αἴνους καὶ μέλη. ἔχουσι δ' ἐπιγράμματα τοὺς σκοποὺς προδηλοῦντα δύσκολα καὶ δυσνόητα· τούτων τὴν γνῶσιν μάθε. Τὰ πλείω δ' ἀνεπίγραφα τυγχάνει παρ' Ἑβραίοις· εὐθὺς ὁ πρῶτος τῶν ψαλμῶν ἐπιγραφὴν οὐκ ἔχει, οὕτω μοι καὶ τὸν δεύτερον ἀνεπίγραφον ἔχε· σὺ δέ μοι μόνους μάνθανε τοὺς ἐπιγεγραμμένους. Τοῦ τρίτου τὴν ἐπιγραφὴν οὕτως εὑρήσεις, ἄναξ· «ψαλμὸς Δαυίδ, ὅτ' ἔφευγεν Ἀβεσαλὼμ τὸν παῖδα.» ὁ γὰρ υἱὸς Ἀβεσαλὼμ ἀσύνετος τυγχάνων ὤδινεν ἐπανάστασιν κατὰ πατρὸς ἀθρόαν· ὃν ὁ Δαυὶδ καταπλαγεὶς ἀπέδραμεν εὐθέως καὶ φεύγων καὶ θλιβόμενος ᾄδει θεῷ τὸν θρῆνον. Ἐπιγραφὴν ὁ τέταρτος «εἰς τέλος» ἔχει μόνον, νενικηκὼς γὰρ τὸν ἐχθρὸν ἐν τέλει τοῦ τροπαίου ψαλμὸν ποιεῖται τῷ θεῷ μετ' ᾠδῆς μελιρρύτου, «ἐν θλίψει» γὰρ «ἐπλάτυνας», φησίν, «εἰσήκουσάς μου»· ἢ πάλιν τέλος νόησον ἔξοδον τὴν ἐντεῦθεν. Ὁ πέμπτος «εἰς τὸ τέλος» δὲ «ὑπὲρ κληρονομούσης»· κληρονομοῦσα δέ ἐστι τοῦ θεοσδότου κλήρου ἡ σύμπασα τῆς ἐθνικῆς μερίδος ἐκκλησία, ἡ κληρονόμος αὕτη γὰρ ἐν τέλει τῶν αἰώνων. Ὁ ἕκτος ἐπιγέγραπται μόνον «ὑπὲρ ὀγδόης», ἤτοι τῆς ἀναστάσεως τοῦ μέλλοντος αἰῶνος· ἕβδομος γὰρ ὁ νῦν καιρός, ὄγδοος δ' αὖ ὁ μέλλων. «μὴ τῷ θυμῷ σου» γάρ φησιν «ἐλέγξῃς με, Χριστέ μου»· ὁρᾷς ὀδύνης ῥήματα φοβεροῦ κριτηρίου; Ὁ ἕβδομος ἐπιγραφὴν ἔχει τοιαύτην, ἄναξ· «ὃν ᾖσεν ὑπὲρ τοῦ Χουσὶ Ἰεμενεῖ κυρίῳ.» τοῦ γὰρ παιδός, ὡς εἴρηται, Ἀβεσαλὼμ μανέντος καὶ τοῦ προφήτου τοῦ Δαυὶδ τὸ τάχος ἀποδράντος, εἷς ὢν τῶν φίλων ὁ Χουσὶ τοῦ θαυμαστοῦ προφήτου τρέχει πρὸς τὸν Ἀβεσαλὼμ φυγὼν ἐν ὑποκρίσει καὶ πείθει παραστρατηγῶν τὸν τύραννον ἐκεῖνον μὴ κατὰ πόδας ἕπεσθαι τῷ πατρὶ πεφευγότι, ἀλλὰ συντάττειν πόλεμον καὶ στρατὸν συναθροίζειν· κἀντεῦθεν ἀναπνεύσαντα τὸν Δαυὶδ ἱστορεῖται συστῆσαι πόλεμον αὐτῷ καὶ καθελεῖν εἰς τέλος. ποιεῖται γοῦν ὑπὲρ Χουσὶ ψαλμὸν εὐχαριστίας. «Ὑπὲρ ληνῶν» ἐπίγραμμα ψαλμὸς ὄγδοος ἔχει· ληνοὶ γὰρ θεοπάτητοι τῶν ἐθνῶν ἐκκλησίαι, τὸ γλεῦκος ἀποστάζοντες τὸ τῶν εὐαγγελίων. Ὁ δ' ἔνατος ἀπόρρητος· «ὑπὲρ» γὰρ «τῶν κρυφίων τῶν τοῦ υἱοῦ» τὴν θαυμαστὴν ἐπιγραφὴν λαμβάνει. υἱοῦ δὲ τίνα κρύφια; ἡ κένωσις τοῦ λόγου· κρυφίως. γὰρ ταπείνωσιν τὴν κατάβασιν λέγει. «ἴδε» γὰρ «τὴν ταπείνωσιν», φησὶ πρὸς τὸν πατέρα, «ὁ τοῦ θανάτου τῶν πυλῶν ὑψῶν με παραδόξως.» οἱ δ' «εἰς τὸ τέλος» σύμπαντες ἐπιγραφὴν λαβόντες ἢ τὸ ἐν τέλει τρόπαιον δηλοῦσι παραδόξως ἢ τὸ κοινὸν καὶ γνώριμον τέλος τὸ τοῦ θανάτου. Ὁ δὲ πεντεκαιδέκατος ἔχει «στηλογραφίαν», ὅπερ ἐστὶ τὸ τρόπαιον, τῶν πράξεων ἡ στήλη. Τῷ μετ' αὐτὸν ἐπιγραφὴ ἡ «προσευχὴ» τυγχάνει. ψαλμὸς οὗτος ἀρρύθμιστος, ἐν θλίψει γεγραμμένος· «εἰσάκουσόν μου, κύριε, καὶ πρόσσχες τῇ δεήσει.» Τὸν δ' αὖ ἑπτακαιδέκατον μελῳδεῖ τῷ δεσπότῃ, ὅταν ἐρρύσθη τῶν ἐχθρῶν καὶ τοῦ Σαοὺλ ἐκείνου· οὕτως γὰρ ἐπιγέγραπται σαφῶς καὶ πολυστίχως. Τὸν δ' εἰκοστόπρωτον ψαλμὸν αὐτὸς ὁ λόγος ᾄδει, κρυφίως δ' ἐπιγέγραπται καὶ συγκεκαλυμμένως «ὑπὲρ τῆς ἀντιλήψεως ἐν τέλει τῆς πρωΐας». ἑωθινὴ δ' ἀντίληψις ἡ κένωσις τοῦ λόγου, ὡς ὄρθρος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπιλάμψασα πᾶσι τοῖς ἐν τῷ σκότει· «ὤρυξαν» γάρ φησι σαφῶς «καὶ χεῖράς μου καὶ πόδας.» Ὁ δ' εἰκοστότριτος ψαλμὸς «τῆς μιᾶς τῶν σαββάτων» ἤτοι τῆς ἀναπαύσεως τῆς μιᾶς τῶν σαββάτων. ἅπαξ γὰρ καταβεβηκὼς ἀνέπαυσε τὴν κτίσιν, πολλῶν γὰρ ἀναπαύσεων αὕτη τιμιωτέρα. Ὁ δ' ἕκτος πρὸς τοῖς εἴκοσι ψαλμὸς «πρὸ τοῦ χρισθῆναι», πρὸ τοῦ χρισθῆναι γάρ φησι χρίσματι βασιλείας. χρίσεις δὲ τρεῖς γινώσκομεν τοῦ θαυμαστοῦ προφήτου· ἐν Βηθλεὲμ ἐκ Σαμουήλ, ἐν Χεβρὼν ἐξ ὀλίγων, τὴν τρίτην ὑπὸ ξυμπασῶν τῶν φυλῶν γενομένην· πρὸ τοῦ χρισθῆναι τοιγαροῦν τὴν τρίτην ἴσως χρῖσιν ὁ μελουργὸς ἐξέθετο Δαυὶδ τὸ ῥηθὲν μέλος. Τὸν δ' εἰκοστόγδοον ψαλμὸν «ἐξόδου σκηνῆς» γράφει, ἡ δὲ «σκηνὴ καὶ ἔξοδος» (ἀμφότερα γὰρ κεῖται)· δηλοῖ δ' ἑκάστη τῶν γραφῶν τοῦ σώματος τὴν λύσιν, ἐξόδιος σκηνὴ καὶ γὰρ ὁ θάνατος τυγχάνει. Τὸν δέ γε μετ' αὐτὸν ψαλμὸν «ἀνοικισμὸν οἰκίας», τοῦτ' ἔστιν ἀνοικοδομὴν τῆς νέας ἐκκλησίας. Ὁ δ' ἐφεξῆς «ἐκστάσεως» ἐπιγραφὴν λαμβάνει· τῆς ἐκκλησίας γάρ, φησι, τῆς θείας καινισθείσης ἐξέστημεν θαυμάσαντες τὰ τῆς οἰκονομίας. Ὁ δὲ τριακοστόπρωτος «συνέσεως» τυγχάνει· συνῆκε γὰρ προφητικοῖς ὄμμασιν ὁ προφήτης τὴν ἄρρητον κατάβασιν τοῦ θείου μυστηρίου. Ὁ δὲ τριακοστότριτος πολύστιχος τυγχάνει· «ψαλμὸς» γὰρ «τῷ Δαυίδ» φησιν, «ὁπόταν δι' ἀνάγκην τὸ πρόσωπον ἠλλοίωσεν ἐπὶ τοῦ Ἀβιμέλεχ, ὁ δὲ πεισθεὶς ἀπέλυσε φεύγοντα τὸν προφήτην.» φεύγων γὰρ οὗτος τὸν Σαοὺλ ἦλθεν εἰς Ἀβιμέλεχ ἱερουργὸν τυγχάνοντα τότε τῶν κατὰ νόμον· εἶτα καὶ ψεῦδος εἴρηκεν ὡς φοβηθεὶς ἁλῶναι, μὴ γὰρ φυγεῖν, ἀλλ' ἐπελθεῖν κελεύσματι δεσπότου. τὴν γοῦν ὑπόκρισιν αὐτὴν ἀλλοίωσιν εἰρήκει. Ὁ δὲ τριακοσθέβδομος «ἀνάμνησιν σαββάτου» ἤτοι τῆς ἀναπαύσεως ἀνάμνησιν τῆς θείας. Τὸ δ' «εἰς τὸ τέλος, Ἰδιθούμ, ᾠδὴ Δαυίδ» σὺ νόει, ὡς χοροψάλτης οὗτος ἦν Ἰδιθοὺμ κεκλημένος, ᾧ τὸν ψαλμὸν ἀνέθετο μελῳδεῖν ὁ προφήτης. Τοῦτο καὶ «τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν» τυγχάνει· ἐχοροψάλτουν ἄμφω γὰρ τοὺς ψαλμοὺς μελῳδοῦντες, οἷς ὁ ψαλμὸς ἐκδέδοται πρὸς γνῶσιν ἀπορρήτων. Τὸ δ' «ὑπὲρ ἀλλοιώσεως τῆς μελλούσης ἐν τέλει υἱοῖς Κορὲ εἰς σύνεσιν, ᾠδὴ τοῦ ποθουμένου» ἐγκύψας εἰς τὰ κρύφια οὕτως ἐφερμηνεύσεις· ᾠδὴ τοῦ λόγου καὶ θεοῦ Δαυὶδ τοῦ νοουμένου ὑπὲρ τῆς ἀλλοιώσεως τῶν παρηνομηκότων δοθεῖσα τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν τοῦ λόγου. Τὸ δὲ «ψαλμὸς υἱοῖς Κορὲ δευτέρας τῶν σαββάτων» εἰς σάββατον ἀνάπαυσις πνευματικὴ τυγχάνει. βαθμός τίς ἐστιν ἀρετῆς ἡμέρα τοῦ σαββάτου· πρώτη γάρ ἐστιν ἀρετὴ δευτέρα τε καὶ τρίτη, ἡ πρακτικὴ καὶ φυσικὴ καὶ ἡ τῆς θεωρίας· ἡ φυσικὴ γοῦν ἀρετὴ δευτέρα τῶν σαββάτων, καθ' ἣν τοὺς λόγους ἔγνωμεν τῶν ἁπάντων κτισμάτων. Ὁ δὲ πεντηκοστὸς ψαλμὸς δῆλος ἐξ ἱστορίας· βραχὺ γὰρ ῥαθυμήσαντος τοῦ θαυμαστοῦ προφήτου καὶ φθείραντος Βηρσαβεέ, γυναῖκα τοῦ Οὐρίου, εἰσῆλθε Νάθαν πρὸς αὐτὸν ἐλέγχων παρρησίᾳ. Ὁ δὲ πεντηκοστόπρωτος μέμνηται ἱστορίας· ὁ Ἰδουμαῖος γὰρ Δωὴκ μισοδαυὶδ τυγχάνων, ἐπιτηρήσας φεύγοντα καὶ πρὸς τὸν Ἀβιμέλεχ ἐλθόντα καὶ παραψυχῆς τινος ἀξιωθέντα, προσήγγειλε τὸ γεγονὸς τῷ Σαοὺλ ὡς δεσπότῃ. ἔστι δ' ἴσως καὶ πρόρρησις ἀληθὴς εἰς Ἰούδαν προδόντα τὸν διδάσκαλον, Δαυὶδ ὄντως τὸν νέον. «εἰς τέλος» γὰρ «συνέσεως» ἐστὶ τὸ γεγραμμένον· συνῆκε γὰρ προφητικῶς τὴν ἐν τῷ τέλει πρᾶξιν. Ὁ πεντηκοστοδεύτερος ἔχει τι καὶ ξενίζον· «ὑπὲρ» γὰρ «μααλέθ» φησι «συνέσεως ἐν τέλει.» ἔστι δ' ἡ λέξις Ἑβραΐς, σημαίνει δὲ χορείαν. ὑπὲρ χορείας τοιγαροῦν τῶν θείων ἀποστόλων, ὅπερ συνῆκεν ὁ Δαυὶδ πρὸ τοῦ τέλους ἐν τέλει. Ὁ δὲ πεντηκοστότριτος ἱστορεῖ τι συντόμως· φυγόντα γάρ ποτε Δαυὶδ εἰς πόλιν τῶν Ζιφαίων καὶ παρ' αὐτοῖς κρυπτόμενον ὡς φαινομένοις φίλοις, τοῦτον οἱ πονηρότατοι τῷ Σαοὺλ προδιδοῦσι. Καὶ ὁ πεντηκοστόπεμπτος μέμνηται ἱστορίας. τοῦ γὰρ Σαοὺλ βασκαίνοντος δυσμενῶς τῷ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προφήτῃ πολλάκις ἀπεδίδρασκεν οὗτος τὸν τυραννοῦντα· ὅθεν ποτὲ καὶ πεφευγὼς εἰς πόλιν ἀλλοφύλων, ἥτις Γὲθ ἐπωνόμαστο, καὶ φοβηθεὶς ἁλῶναι μανίαν ὑποκρίνεται καὶ διέδρα πανσόφως. ταύτην οὖν ἀνεστήλωσε τὴν πρᾶξιν τῷ δεσπότῃ καὶ στήλην ἐπεγράψατο καὶ κοινὸν ᾄδει μέλος «ὑπὲρ λαοῦ τοῦ δυστυχοῦς καὶ θεοῦ μακρυνθέντος». «ἐλέησόν με» γάρ φησιν, «ὁ θεός, φιλανθρώπως, ὅτι με κατεπάτησεν ἄνθρωπος ἀναξίως.» Καὶ ὁ πεντηκοστόεκτος ἱστορεῖ τι λανθάνον. ὁ γὰρ Δαυὶδ κρυπτόμενος τὸν Σαοὺλ μεμηνότα, δεινῶς καταδιώκοντα φεύγοντα τὸν προφήτην, ὑπό τι σπήλαιον βαθὺ κρύπτεται λανθανόντως. «στηλογραφίαν» οὖν αὐτὴν τὴν πρᾶξιν ὀνομάζει, ἀλλ' «εἰς τὸ τέλος» ἔφησε «μηδαμῶς διαφθείρῃς», ὅπερ ἐστὶ παράγγελμα τοῖς ἀγωνιζομένοις μὴ ἐκκακεῖν ταῖς θλίψεσι μήτε μὴν πρὸς τῷ τέλει πίπτειν πρὸς τὴν ἀπόγνωσιν καὶ φθείρειν τοὺς ἀγῶνας. Καὶ ὁ πεντηκοστόγδοος τὴν αὐτὴν γραφὴν ἔχει, ᾄδει δὲ τοῦτον τῷ θεῷ ἐν συνοχῇ καρδίας, ὁπηνίκα κατέφυγεν εἰς τὸν πατρῷον οἶκον καὶ γνοὺς Σαοὺλ διέλαβε κύκλωθεν τὴν οἰκίαν, ὁ δὲ λαθὼν ἀπέδρασε τὰς τυραννούσας χεῖρας. Ὁ δὲ πεντηκοστένατος ἐστὶ παρ' ἱστορίαν· «ὁπότε» γὰρ «ἐνέπρησε τὴν Μεσοποταμίαν καὶ τὴν Συρίαν τὴν Σωβὰλ καὶ τὸν Ἐδὼμ ἀνεῖλε διὰ χειρὸς τοῦ Ἰωάβ, δώδεκα χιλιάδας, εἰς τῶν ἁλῶν τὴν φάραγγα»· πρόσκειται δ' «εἰς τὸ τέλος, ὑπὲρ τῆς ἀλλοιώσεως, ὡς πρὸς στηλογραφίαν». οὐδὲν δὲ τούτων γέγραπται ἐν Τετραβασιλείῳ, ἀλληγορίας τοιγαροῦν ὁ λόγος ἀξιούσθω. σωματική ἐστι ζωὴ ἡ Μεσοποταμία, τοῖς ἐμπαθέσι ποταμοῖς, φεῦ, περικλυζομένη, ἣν ἐνεπύρισε Χριστὸς ὁ δι' ἡμᾶς πτωχεύσας, καὶ τὴν Συρίαν τὴν Σωβάλ, τοὺς δουλωθέντας βίῳ. τὸ γὰρ σωβὰλ ἑπτά ἐστι, καὶ πᾶς θεῷ δουλεύων ὡς Ἰωὰβ ὑπήκοον τὴν φύσιν προσλαμβάνει· ἁλῶν γὰρ φάραγξ πέφυκεν ἡ τῶν παθῶν κοιλότης, καὶ χιλιάδες δώδεκα φύσις ἐστὶ καὶ χρόνος, ὁ χρόνος ἑβδοματικός, πενταδικὴ δ' ἡ φύσις, ταῖς πέντε γὰρ αἰσθήσεσιν ἡ φύσις διοικεῖται. Ὁ δ' ἑξηκοστοδεύτερος τὴν φυγὴν ἀναγράφει, ὁπόταν καταπέφευγεν εἰς χώραν Ἰδουμαίων. Ὁ δ' ἑξηκοστοτέταρτος ἐσόμενα προγράφει, ὑπὲρ Ἱερεμίου γὰρ καὶ τοῦ λοιποῦ προφήτου, ὃς Ἰεζεκιήλ ἐστι, καὶ τῶν τῆς παροικίας, ὁπότε δορυάλωτοι ἤγοντο πρὸς Περσίδα, ὅπερ ἐσχάτως γέγονε, κρατοῦντος Σεδεκίου· ἀλλ' ὁ Δαυὶδ προφητικοῖς ὄμμασι προκατεῖδε τὸν πόλεμον, τὴν ἅλωσιν καὶ τὰ τῆς παροικίας. Ὁ δέ γ' ἑξηκοστόπεμπτος σαφῶς οὑτωσὶ λέγει· «ᾠδὴ τῆς ἀναστάσεως» ἤτοι τῆς τοῦ κυρίου· καὶ δῆλον, «ἀλαλάξατε, πᾶσα» γάρ φησι «κτίσις». Ὁ δέ γε «εἰς ἀνάμνησιν τοῦ σῶσαί με» προλέγει, ἔστι δ' ἑξηκοστένατος, ὥσπερ δ' ἀναμιμνήσκει τὸ τοῦ θεοῦ φιλάνθρωπον τῆς κοινῆς σωτηρίας. Ὁ δὲ Ἰωναδὰβ υἱός ἐστί τις χοροψάλτης, ὃς δὴ τὸν ἑβδομήκοστον ᾖσε ψαλμὸν τῷ λόγῳ. «ὑπὲρ τῶν πρώτων» δέ φησι «συναιχμαλωτισθέντων»· ὁ Ναβουχοδονόσορ γὰρ ὁ Περσῶν αὐτοκράτωρ τρισσάκις ᾐχμαλώτισε τὴν πόλιν Ἰουδαίων, ὁ δὲ ψαλμὸς προϊστορεῖ τὴν ἅλωσιν τὴν πρώτην. Ὁ δ' ἑβδομηκοστόπρωτος «ὑπὲρ τοῦ Σολομῶντος», οἶμαι τοῦ καθ' ἡμᾶς, Χριστοῦ τοῦ εἰρηνικωτάτου. Ἐν δ' ἑβδομηκοστῷ ψαλμῷ φημὶ δὴ καὶ δευτέρῳ ἐπίγραμμα «ἐξέλιπον οἱ ὕμνοι τοῦ προφήτου, ψαλμὸς Ἀσάφ», ὅπερ ἐστίν, ὡς μέχρι τούτων ᾄσας οἰκείῳ στόματι Δαυὶδ τὰ γεγραμμένα μέλη ὕστερον γράφων ἔλεγε ταῦτα τοῖς χοροψάλταις, τῷ Ἰδιθούμ, Ἀσάφ, Αἱμάν, τοῖς ἐπιγεγραμμένοις, νῦν μὲν «εἰς τὸν Ἀσσύριον», τὸν Ναβουχοδονόσορ, νῦν δ' «ὑπὲρ ἀλλοιώσεως», ὑπὲρ ἧς προειρήκει, στρέφων τὸν λόγον εὐφυῶς καὶ μέλεσι ποικίλλων· περιττὸν οὖν πολυλογεῖν τὰ προηρμηνευμένα. Πλὴν ὅπου κεῖται «προσευχή», δηλοῖ τὸ δίχα μέλους· ὅπου δὲ πρόσκειται «Μωσεῖ», μέμνηταί τινος πάντως ἐπὶ τῷ κατ' αὐτὸν καιρῷ ἀνθρώπου σεβασμίου. Τὰ σάββατα δ' ἡρμήνευσεν ἐν ψαλμοῖς διαφόροις· ὅπου δὲ μέμνηται ψαλμὸς «σαββάτου τοῦ προτέρου, ὅταν ἡ γῆ κατῴκιστο», τὴν πρώτην παρουσίαν προγράφει τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δεσποτικήν, ὅταν πᾶν κατῳκίσθη. Ψαλμὸς δ' «ἐξομολόγησιν» ἔχων προγεγραμμένην εὐχαριστίας δήλωσιν ἔχει καὶ θυμηδίας· τῆς ἐξομολογήσεως διττὴ γὰρ σημασία. Ὁ δ' ἔχων «προσευχὴν πτωχοῦ, ὅταν ἀκηδιάσῃ καὶ τοῦ θεοῦ κατέναντι τὴν δέησιν ἐκχέῃ» λέγει μέν τι καὶ πρόδηλον, λέγει καὶ κεκρυμμένον· πτωχὸν γὰρ κατωνόμασε τὸν πλούσιον δεσπότην, τὸν δι' ἡμᾶς πτωχεύσαντα μέχρι καὶ τῶν ἐσχάτων, ὃς ἄνθρωπος γενόμενος πολλάκις ἠκηδία καὶ τῷ πατρὶ τὴν δέησιν ὡς ἄνθρωπος προσῆγεν. Οἱ δὲ τὸ «ἀλληλούια» μόνον προγεγραμμένοι δηλοῦσιν ὡς τὴν αἴνεσιν τῷ θεῷ προσακτέον· τὸ μὲν γὰρ «ἴα» τὸν θεὸν Ἑβραϊκῶς σημαίνει, τὸ δ' «ἀλληλοὺ» τὴν αἴνεσιν δηλοῖ τὴν τοῦ δεσπότου. Οἱ δέ γε «τῶν ἀναβαθμῶν» ψαλμοὶ τὴν ἐκ Περσίδος δηλοῦσιν ἐπανάβασιν τῶν αἰχμαλωτισθέντων ἐπὶ τοῦ Κύρου πρότερον, εἶτ' ἐπὶ τοῦ Δαρείου, καὶ τέλος ὅτε προὔπεμψε βασιλεὺς Ἀρταξέρξης εἰς Ἰουδαίαν σύμπαντας τοὺς αἰχμαλωτισθέντας. ἀναβαθμοὺς ὠνόμασε ταύτας τὰς ἐπανόδους ὁ ψαλμῳδὸς ὁ πάνσοφος, ὁ θαυμαστὸς προφήτης· ἀναβαθμοὺς δὲ νόησον πνευματικὰς καρδίας καὶ τὰς ἐν λόγῳ προκοπὰς τῶν ἀπὸ τῆς κακίας βαινόντων εἰς τὴν ἀρετὴν ὥσπερ ἐκ πολεμίων. Ὅπου δὲ κεῖται «Γολιὰθ» εἰς προγραφήν, σὺ νόει τὸν ἀντικείμενον ἐχθρόν, ὃν καθεῖλεν ὁ λόγος. Ψαλμὸς δ' ἔχων ἐπιγραφὴν «Ἀγγαίου, Ζαχαρίου» τῶν κατ' ἐκεῖνο τοῦ καιροῦ προφητῶν μνημονεύει, ὑπὲρ ὧν καὶ συνέθετο τὸν ψαλμὸν ὁ προφήτης. Ὁ μέντοι γε «ψαλμὸς Δαυὶδ» γενικῶς εἰρημένος, ἐν ἄλλοις δὲ «ψαλμὸς Δαυὶδ» δοτικῶς λελεγμένος, ἔχει τινὰ διαστολήν, ἣν ἐφερμηνευτέον. ὅπου μὲν γὰρ «ψαλμὸς Δαυὶδ» γενικῶς προεγράφη, αὐτὸς ἐκεῖνος ὁ Δαυὶδ συγγραφεὺς παρεισῆκται· ὅπου δὲ κεῖται δοτικῶς, ἄλλος μὲν ὁ συγγράψας, ἀνήνεκται δὲ τῷ Δαυὶδ ὥσπερ ἀνάθημά τι. Πρὸς τούτοις μάθε τί δηλοῖ ἡ τῶν διαψαλμάτων φωνὴ κειμένη τῶν ψαλμῶν ἐν ἐνίοις πολλάκις. ἔστι γοῦν τὸ διάψαλμα μεταβολὴ τοῦ μέλους· ἐν γὰρ ὀργάνοις μουσικοῖς τῶν ψαλμῶν λεγομένων πολλάκις μετεβάλλοντο εἰς ῥυθμοὺς διαφόρους, ὡς ἐν χορδαῖς, ὡς ἐν φωναῖς, αἱ τῶν μελῶν συνθέσεις. ἢ νόησον διάψαλμα μεταβολὴν προσώπου· μελῳδουμένου γὰρ ψαλμοῦ πρός τινος χοροψάλτου ἕτερος ὑπεδέχετο τούτου τὴν ἁρμονίαν, διάψαλμα δ' ὠνόμασται τὸ διάλειμμα τάχα. Γρηγόριος δ' ὁ Νυσσαεὺς ἄλλην αἰτίαν λέγει, ὡς ἄνωθεν τοῦ πνεύματος ἀεὶ χορηγουμένου τοῖς τοὺς ψαλμοὺς συγγράψασι, ὧς δὲ καὶ μελῳδοῦσιν, ἐγίνετό τις ἔλλαμψις κρείττων καὶ θειοτέρα, πρὸς ἣν ὁ μύστης ἵστατο ὥσπερ ἐκπεπληγμένος. τὴν τοίνυν μεταξὺ τομὴν τῶν μεμουσουργημένων ὁ λόγος κατωνόμασε διάψαλμα πανσόφως, ἤτοι τομήν, διάλειμμα, τοῦ μέλους ἡσυχίαν. οἱ δὲ «σὲλ» ἐπιγράφουσιν ἀντὶ διαψαλμάτων· Ἑβραϊκὴ δ' ἡ συλλαβή, δηλοῖ δ' ἀειλογίαν, δηλοῖ καὶ τὰς τοῦ πνεύματος ἀειρρύτους ἐλλάμψεις. κἂν γὰρ μικρὸν ἐπαύσατο τῷ ψαλμῳδῷ τὸ μέλος, ἀλλ' ἡ πνευματικὴ φωνὴ ἦν ἀεὶ φωνουμένη. Ταῦτ' εἰσαγωγικώτερον, ἄναξ, σοὶ συνοψίσας δῶρόν σοι προσαγήοχα οἰκεῖον, στεφηφόρε, ζήτημα μὲν βαθύτερον οὐδὲν ἀνακαλύψας– οὐδὲν γὰρ ἕτερον Δαυὶδ ἢ θεὸς ὁ πρὸ πάντων, καὶ πᾶς ψαλμὸς θεοῦ φωνή, καὶ πᾶσα μελῳδία ψυχῆς ἐστι κατάστασις–ἀλλὰ ταῦτα σιγήσας, τὰ σύντομα καὶ πρόχειρα τοῖς πολλοῖς συναθροίσας συντόμῳ πάντα καὶ σαφεῖ ἐξηγησάμην λόγῳ. εἰ δέ γε τοὺς ἀναβαθμοὺς ψάλλεις ἐν τῇ καρδίᾳ, κἀγὼ συναναβήσομαι πρὸς τὰς σὰς ἐπανόδους καὶ γράψω σοι τὴν ἄρρητον τῶν ψαλμῶν θεωρίαν.

## 2 Ἑρμηνεία τοῦ Ἄισματος τῶν ᾀσμάτων διὰ στίχων πολιτικῶν γενομένη παρὰ τοῦ Ψελλοῦ, πρὸς τὸν βασιλέα Μονομάχον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἐπείπερ τὸ φιλομαθὲς τὸ σόν, ὦ στεφηφόρε, ἑρμηνευθῆναι γλίχεται τὴν ξένην καὶ ποικίλην τοῦ τῶν ᾀσμάτων Ἄισματος ἐξήγησιν καὶ γνῶσιν, ἰδού σοι τῷ θεσπίσματι πεισθέντες, αὐτοκράτωρ, καὶ τὰς ἐλπίδας θέμενοι πρὸς τὸν δεσπότην πάντων, δηλοῦμεν τὴν ἐξήγησιν πᾶσάν σοι τῶν Ἀισμάτων ἐν ἁπλουστάταις λέξεσι καὶ κατημαξευμέναις. Ὁ γὰρ προφήτης Σολομῶν, ὁ πάνσοφος ἐκεῖνος, ὁ παῖς τυγχάνων τοῦ Δαυίδ, ἀλλ' ἐκ τῆς τοῦ Οὐρίου, τρεῖς συνεγράψατό τινας ἐν βίῳ πραγματείας. ἡ μὲν καλεῖται νουνεχῶς τοῖς πᾶσι Παροιμίαι, ἔχουσα παίδευσιν ἠθῶν, παθῶν ἐπανορθώσεις καὶ τῶν πρακτέων συνεχεῖς καὶ θείας ὑποθήκας· ἡ δέ πως Ἐκκλησιαστὴς κέκληται τοῖς ἀνθρώποις, τὸ μάταιον διδάσκουσα τὸ τοῦ παρόντος βίου· ἡ δέ γε τρίτη συνεχῶς ἐκείνου πραγματεία αὕτη τυγχάνει, δέσποτα, τὸ τῶν ᾀσμάτων Ἆισμα, τὸν τρόπον καταγγέλλουσα ποικιλοτρόπως ἄγαν τῆς τελειώσεως αὐτῆς ψυχῶν τῶν τῶν ἀνθρώπων, ἀλλ' ὡς ἐν σχήματί τινι σεμνῷ νυμφοστολίας. σοφῶς γὰρ ὑποτίθησι τὸν μὲν Χριστὸν νυμφίον, νύμφην δὲ πάλιν τὴν ψυχὴν ἐρῶσαν τοῦ νυμφίου καὶ πτερουμένην ἔρωτι τῷ τούτου κατὰ κράτος καὶ πρὸς ἐκείνου τὰς μονὰς ἀνιπταμένην τάχα. ἔχει δ' ἐμφάσεις καί τινας περὶ τῆς ἐκκλησίας. Ἀλλ' ἀπαρξώμεθα λοιπὸν σύν γε θεῷ τῶν λόγων. φησὶν ἡ νύμφη παρευθὺς πρὸς τοὺς ἀγγέλους τάδε, οὓς θυγατέρας τῆς Σιὼν ἐκάλεσεν ὁ λόγος· μέλαινά εἰμι καὶ καλή, θυγατέρες Ἱερουσαλήμ, ὡς σκηνώματα Κηδάρ, ὡς δέρρεις Σολομῶντος [1, 5]. Ταῦθ' ὁμιλεῖ τὸ πρώτιστον ἡ νύμφη τοῖς ἀγγέλοις· χρὴ γὰρ αὐτὰ τὰ ῥήματα τῆς νύμφης προτιθέναι καὶ μηδαμῶς στιχοπλοκεῖν ταῦτα καὶ μεταλλάττειν. Ἀκούσατέ μου τῆς φωνῆς, φησίν, ὦ θυγατέρες τῆς ἄνω Ἱερουσαλὴμ τῆς σεβασμιωτάτης. ὁμοῦ γὰρ ἔγωγε καλὴ καὶ μέλαινα τυγχάνω· μέλαινα μὲν ὡς τοῦ Κηδὰρ σκήνωμα πρὶν φανεῖσα, φημὶ δ' ἐκ παραβάσεως τῆς ἐντολῆς τῆς πρώτης (ὁ γὰρ Κηδὰρ ὁ ζοφερὸς λέγεται καὶ σκοτώδης), καλὴ δὲ πάλιν πέφυκα νυνὶ τῇ μετανοίᾳ, συννεκρωθεῖσα τῷ Χριστῷ τῷ εἰρηνικωτάτῳ (εἰρηνικὸς γὰρ λέγεται πᾶς Σολομῶν ἀξίως). Σὺ δὲ μηδ' ὅλως ἐκπλαγῇς ἅπερ ἡ νύμφη λέγει, ὡς ἐν ταὐτῷ καὶ μέλαινα καὶ καλὴ νῦν τυγχάνει. πᾶσα γὰρ μέλλουσα ψυχὴ πρὸς ἀρετὰς προκόπτειν καὶ πρὸς τὸ φῶς ἀνάγεσθαι καὶ φεύγειν ἐκ τοῦ σκότους οὐ παρευθὺς ὁλόφωτος καὶ καθαρὰ τυγχάνει, ἀλλ' ὅσον πρὸς τὴν ἀρετὴν προκόπτει μετὰ πόνου, τοσοῦτον ἀπαλλάττεται τοῦ σκότους τῆς ἀπάτης καὶ λαμπροτέρα γίνεται πάντως καὶ φαιδροτέρα. Εἶτά φησι πρὸς τὰς αὐτὰς ἡ νύμφη θυγατέρας· μὴ βλέψετέ με ὅτι ἐγὼ μεμελανωμένη, ὅτι παρέβλεψέ με ὁ ἥλιος [1, 6] Μὴ γοῦν νομίσητε, φησίν, οὕτως ἐμὲ πλασθῆναι, καὶ σκοτεινὴν καὶ ζοφερὰν καὶ μεμελανωμένην· ἐπλάσθην γὰρ ὁλόφωτος παρὰ τοῦ πλαστουργοῦ μου, ἀλλ' ὁ φλογώδης ἥλιος, τῶν πειρασμῶν ἡ ζέσις, δεινῶς με παρεβλέψατο καὶ μεμελάνωκέ με. υἱοὶ μητρός μου ἐμαχέσαντο ἐμοί [1, 6]. Ἐμὲ γὰρ ἐπολέμησαν, φησὶν ἡ νύμφη πάλιν, καὶ παραβάτην ἔδειξαν δαίμονες ἀποστάται. τούτους γὰρ εἴρηκε μητρὸς υἱοὺς αὐτῆς τυγχάνειν ὡς δὴ καὶ τούτους ἐκ θεοῦ κτισθέντας μετὰ πάντων· ἐπείπερ ὅσα κτίσματα τυγχάνομεν ἐν βίῳ, κἂν ἄγγελοι, κἂν ἄνθρωποι, κἂν δαίμονες, κἂν λίθοι, ὡς ἀδελφοὶ τυγχάνομεν εἰς λόγον πλαστουργίας· σύμπαντες γὰρ ἐπλάσθημεν ἐκ θεοῦ παντεργάτου. Εἶτα καὶ λέγει πρὸς αὐτοὺς τὸν τρόπον τοῦ πολέμου· ἔθεντό με φυλάκισσαν ἐν ἀμπελῶνι· ἀμπελῶνα ἐμὸν οὐκ ἐφύλαξα [1, 6] Ἐν παραδείσῳ γάρ, φησί, πλασθεῖσα καὶ τεθεῖσα ὥστε φυλάσσειν ἐντολὴν τοῦ μὴ φαγεῖν ἀκαίρως, τὸν νόμον οὐκ ἐφύλαξα, τὴν ἐντολὴν παρέβην. Καὶ ταῦτα μὲν ὀδύρεται δῆθεν πρὸς τοὺς ἀγγέλους. ἀλλὰ προκόψασα μικρὸν ὥσπερ ἐν μετανοίᾳ φωνεῖ μεγάλως καὶ ζητεῖ τὸν λόγον καὶ νυμφίον. φησὶ γὰρ οὕτω πρὸς αὐτόν, ὥσπερ ἐρῶσα τούτου· ἀπάγγειλόν μοι, ὃν ἠγάπησεν ἡ ψυχή μου, ποῦ μένεις, ποῦ κοιτάζεις ἐν μεσημβρίᾳ; [1, 7]. Φησίν, ἐν τάχει λέγε μοι, ποῦ μένεις, ποῦ κοιτάζεις, ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λόγος ὃν ἠγάπησα ψυχῆς αὐτῆς ἐκ μέσης. ἐν μεσημβρίᾳ μήποτε κοιτάζεις, ὦ νυμφίε; πέπεισμαι γάρ σε καθαρῶς ἐν μεσημβρίᾳ μένειν, ἤγουν εἰς φῶς ἀπρόσιτον σκιὰν μηδ' ὅλως ἔχον. ἔνθα τὰ πρόβατα τὰ σὰ ποιμαίνεις, θεοῦ λόγε, καὶ κατατάττεις ἀληθῶς φωτὶ τοῦ σοῦ προσώπου, ἂν ἐν ἐκείνῳ φθάσωσι ταῦτά σοι καθυπνῶσαι. Εἶτα τὴν πλάνην τρέμουσα τῆς πρὸς ἐκεῖνον τρίβου φησὶ καὶ τοῦτο πρὸς αὐτόν, τοῦτ' ἔστι τὸν νυμφίον· μήποτε γένωμαι ὡς περιπλανωμένη ἐπ' ἀγέλαις ἑτέρων σου [1, 7] Τὴν τῶν προβάτων σου νομήν, φησίν, ἀπάγγειλόν μοι· δέδοικα γὰρ μὴ πλανηθῶ δραμοῦσα παρ' ἐλπίδα πρὸς τὰς ἀγέλας καὶ νομὰς ἴσως τὰς τῶν ἐρίφων, κἀντεῦθεν ἐλαθήσομαι μακρὰν τῶν σῶν προβάτων καὶ τῶν ἐρίφων κερδανῶ τὰς εὐωνύμους μοίρας, ὅταν καθίσῃς ὡς κριτὴς τοῦ γένους τῶν ἀνθρώπων. ταῦτα μὲν οὖν ἐφθέγξατο πάντως πρὸς τὸν νυμφίον ἡ παρθενεύουσα ψυχὴ καὶ νυμφοστοληθεῖσα καὶ βουλομένη τῷ Χριστῷ τάχα συννεκρωθῆναι· σὺ δέ μοι νύμφην νόησον ὥσπερ ἐν ὑποθέσει τὴν παρθενεύουσαν ψυχὴν τὴν τοῦ μεγάλου Παύλου τοῦ πρὸς τοὺς τρίτους οὐρανοὺς ἀρθέντος ἀπορρήτως. Ἀλλ' ἴδωμεν καὶ τί φασιν οἱ φίλοι τοῦ νυμφίου καὶ πῶς διδάσκουσιν αὐτὴν τὴν κοίτην τοῦ νυμφίου, οὓς κατ' ἀρχὰς εἰρήκαμεν τοῦ λόγου θυγατέρας τῆς ἄνω Ἱερουσαλήμ, τοῦτ' ἔστι τοὺς ἀγγέλους. φασὶ γὰρ οὕτω πρὸς αὐτὴν τὴν καθαρὰν παρθένον· ἐὰν μὴ γνῷς σεαυτήν, ἡ καλὴ ἐν γυναιξίν, ἔξελθε σὺ ἐν πτέρναις τῶν ποιμνίων, καὶ ποίμαινε τὰς ἐρίφους ἐπὶ σκηνώμασι τῶν ποιμνίων [1, 8]. Ὦ παρθενεύουσα ψυχή, φασί, καὶ σεβασμία, εἴπερ ποθεῖς καταλαβεῖν ἀγέλας τῶν προβάτων, γνῶθι σαυτὴν τίς πέφυκας, τὸ πρὶν μηδ' ὅλως οὖσα, καὶ πῶς εἰκὼν τετίμησαι τυγχάνειν τοῦ δεσπότου, καὶ πάσης μετανάστευσον τῆς κοσμικῆς ἀπάτης καὶ δεῦρο κατασκόπευσον ἴχνη τὰ τῶν ποιμνίων. καὶ τὰ μὲν ὄντα πρὸς ὁδὸν μεγάλην καὶ πλατεῖαν βδελύχθητι καὶ μίσησον, εἰσὶ γὰρ τῶν ἐρίφων· τὰ δὲ πρὸς τρίβον κείμενα στενὴν καὶ τεθλιμμένην ἀγάπησον καὶ κράτησον, εἰσὶ γὰρ τῶν προβάτων. πρόσεχε γοῦν μὴ πλανηθῇς ἐν πτέρναις τῶν ἐρίφων. Ἀλλ' ἀκουσώμεθα λοιπὸν καὶ τοῦ καλοῦ νυμφίου· ἤδη γὰρ πρώτως ὁμιλεῖ τῇ νύμφῃ λέγων τάδε· τῇ ἵππῳ μου ἐν ἅρμασι Φαραὼ ὡμοίωσά σε, ἡ πλησίον μου [1,9]. Βλέπων αὐτὴν σφαδᾴζουσαν ἐξ ἐρωτοληψίας καὶ πρὸς ἐκεῖνον σπεύδουσαν δραμεῖν καὶ καταπαῦσαι, ἵππῳ παρείκασεν αὐτὴν αἰθεροπτηνοδρόμῳ. οὕτως γὰρ θραύσεις τοὺς ἐχθρούς, φησὶ πρὸς τὴν παρθένον, ὥσπερ κατέθραυσέ ποτε καὶ τοὺς Φαραωνίτας ἡ δύναμις τῆς ἵππου μου τῆς ἄνω τεταγμένης, τοῦτ' ἔστι τῆς ἀγγελικῆς ταγματοστραταρχίας. Τίνος δὲ χάριν, ἐρωτᾷς, τὴν τῶν ἀγγέλων τάξιν ἵππῳ παρείκασεν αὐτὴν ὁ λόγος καὶ νυμφίος; πᾶς τις τοξότης πόλεμον συνάπτων ἀντιπάλῳ τόξον λαμβάνει καὶ νευράν, οὐ κράνος οὐδὲ δόρυ· πεζὸς πεζῷ γὰρ πολεμεῖ, ῥαβδοῦχος πρὸς ῥαβδοῦχον. ἐπεὶ γοῦν ἡ παράταξις τότε τῶν Αἰγυπτίων τὸ κράτιστον ἐκέκτητο τῆς μάχης ἐκ τῶν ἵππων, τούτου δὴ χάριν εἴρηκεν ἵππον ἐξ ἴσου λόγου τὴν ἀντιστᾶσαν δύναμιν ἀγγελικὴν ἐκείνοις. Ἵνα μὴ δόξῃς δὲ λοιπὸν ὑβρίζεσθαι τὴν νύμφην ἐξισουμένην ἐμφανῶς ἵππῳ παρὰ τοῦ λόγου, ἄκουσον τί φησιν ἑξῆς πρὸς ταύτην ὁ νυμφίος· τί ὡραιώθησαν αἱ σιαγόνες σου ὡς τρυγόνος, τράχηλοί σου ὡς ὁρμίσκοι [1, 10]. Κἂν ἵππῳ σε παρείκασα, φησί, δρομικωτάτῳ, ἀλλ' οὔκουν χρῄζεις χαλινοὺς ἐν σιαγόνι φέρειν. αἱ σαὶ γὰρ ὡραιώθησαν ἐξόχως σιαγόνες, τὴν ἔμφυτον ὡς χαλινὸν ἔχουσαι σωφροσύνην δίκην τρυγόνος σώφρονος, τρυγόνος φιλερήμου. καὶ τράχηλοί σου θαυμαστοὶ καὶ κεκαλλωπισμένοι, τὸν χρύσεον βαστάζοντες κλοιὸν τῆς Παροιμίας· ὁρμίσκον γάρ μοι νόησον ὃν ἔφην κλοιὸν ὧδε. Οἱ μέντοι φίλοι βλέποντες τούτων τὰς ὁμιλίας καὶ τὸ τῆς νύμφης ζώπυρον πολὺ πρὸς τὸν νυμφίον, πρὸς δὲ τὴν συγκατάβασιν ἐκείνου πρὸς τὴν νύμφην, κἀκ τούτων ἐπιγνώσαντες τοῦ πράγματος τὸ τέλος, ὡς ἄρα καταβήσεται πρὸς αὐτὴν ὁ νυμφίος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπανακλιθησόμενος βασιλικῶς ἐν ταύτῃ, τὴν νύμφην εὐτρεπίζουσι, δῆθεν καταχρυσοῦντες, ἵν' ἐπειδὰν ὁ βασιλεὺς ἐπιδημήσῃ ταύτῃ, εὑρήσει πρὸς ἀνάπαυσιν ταύτην ἑτοιμοτάτην. φασὶ γὰρ οὕτω πρὸς αὐτὴν οἱ φίλοι τοῦ νυμφίου· ὁμοιώματα χρυσοῦ ποιήσομέν σοι μετὰ στιγμάτων τοῦ ἀργυρίου, ἕως οὗ ὁ βασιλεὺς ἐν ἀνακλίσει αὐτοῦ [1, 11–12]. Ἐπεί, φασίν, ὁ βασιλεὺς ἀνακλιθῆναι μέλλει ἐν σοὶ τῇ τοῦτον καθαρῶς ζητούσῃ καὶ φιλούσῃ, δεῦρο λοιπὸν καὶ παρ' ἡμῶν καλῶς ἑτοιμασθήσῃ. κἂν γὰρ οὐ λάμπῃς ὡς χρυσὸς ταῖς ἀρεταῖς, ὦ νύμφη (ἀκμὴν γὰρ ἀργυρολαμπεῖς ἀπὸ τῆς σκοτομήνης), ἀλλ' ὅμως χρυσαυγήσομεν καὶ παρεικάσομέν σε χερουβικῷ καὶ φλογερῷ καὶ σεβασμίῳ θρόνῳ· ὁ βασιλεὺς γὰρ κατελθὼν ἀνακλιθήσεταί σοι. Τὴν γοῦν ῥηθεῖσαν ἅπασαν ὧδε δραματουργίαν, τὴν θαυμαστὴν ἀλλοίωσιν τῆς νύμφης καὶ παρθένου, τὴν ἐξ ἀργύρου πρὸς χρυσόν φημι γεγενημένην, παρὰ τῶν φίλων δηλαδὴ τοῦ λόγου καὶ νυμφίου, ὡς ἀρωγήν μοι νόησον καὶ χάριν πρὸς τὴν νύμφην ἐκ τῶν ἀγγέλων τοῦ θεοῦ δοθεῖσαν ἐπαξίως. τοῦτο γὰρ ἔθος πέφυκε τοῖς φίλοις τοῦ νυμφίου, ἵν' ἐπειδὰν ἀθρήσωσι ψυχήν τινα παρθένον ἐπειγομένην πρὸς Χριστὸν καλῶς ἐπαναλῦσαι, κύκλωθεν παρεμβάλλουσιν ὡς φύλακες ἐκείνης, ἀρήγοντες, ἐγείροντες πρὸς ἐναρέτους τρόπους, μέχρις ἂν δείξωσιν αὐτὴν ἀξίαν τοῦ δεσπότου. Ἀλλ' ἤδη προχωρήσωμεν τοῦ λόγου περαιτέρω καὶ τὴν προκόψασαν ψυχὴν ταῖς χάρισι τῶν φίλων ἴδωμεν τί φησιν εὐθὺς ὡς πρὸς τοὺς φίλους τάχα. φησὶ δ' αὐταῖς ταῖς λέξεσιν οὕτω πρὸς τοὺς ἀγγέλους· νάρδος μου ἔδωκεν ὀσμὴν αὐτοῦ [1, 12]. Βλέπε καρπὸν τῆς προκοπῆς ψυχῆς τῆς ἐναρέτου. ἰδοὺ γὰρ ἡ προκόψασα πρὸς ἀρετὰς παρθένος, ὥσπερ καὶ προσεγγίσασα τῷ ποθουμένῳ λόγῳ, ἐπεγνωκέναι μαρτυρεῖ τὸ κάλλος τοῦ νυμφίου, πλὴν δι' αἰσθήσεώς τινος ὀσφραντικῆς καὶ μόνης. Τίνος δὲ χάριν, ἐρωτᾷς, οὐ λέγει μύρον ἄλλο, ἀλλὰ τοῦ νάρδου μέμνηται μυρίζειν τὸν δεσπότην; τὸ μὲν ὅτι καὶ πρώτιστον τῶν ἄλλων πάντων μύρον, τὸ δ' αὖ ὅτι καὶ πέφυκεν ἐμφάσεις ἔχειν θείας. ὥσπερ γὰρ εἴ τις ἄνθρωπος ἐκ τοῦ παρόντος βίου, κἂν πάσας φέρων κατορθοῖ τὰς ἀρετὰς ἐμπόνως, ἂν μὴ Χριστὸν ἐνδέδυται βαπτίσματι τῷ θείῳ, οὐδὲν ὄντως ὀνίνησι ταῖς ἀρεταῖς ἁπάσαις, τοῦτον τὸν τρόπον ἴδῃ τις ἀρρήτως ἐν τῷ νάρδῳ παρά τινος τῶν μυρεψῶν κατασκευαζομένῳ· οἱ γὰρ βουλόμενοί ποτε κατασκευάσαι νάρδον, κἂν εἴδη βάλλωσι πολλὰ μυρεψικὰ πρὸς τοῦτο, εἰ μὴ καὶ νάρδον βάλλωσιν, ἥτις ἐστὶ βοτάνη, εἰς μάτην πεπονήκασιν οἱ ναρδεργάται τάχα. Ἄλλως τε δὲ καὶ προκληθεὶς Χριστὸς ὁ καὶ νυμφίος εἰς δεῖπνον Σίμωνος λεπροῦ καταπεπονημένου τοῦτο τὸ μύρον ἤλειπται μαχλάδος αὐτὸς πόρνης· ὁ λόγος τοίνυν μέμνηται τοῦ νάρδου προσηκόντως. Ἀλλ' ἀκουσώμεθα λοιπὸν καὶ τῶν ἑξῆς λογίων. ἡ νύμφη γὰρ ταῖς προκοπαῖς ὡς ἔνθους γενομένη ἔτι συνείρειν ἀγαπᾷ τὸν λόγον πρὸς τοὺς φίλους. φησὶ γὰρ τάδε πρὸς αὐτοὺς μετὰ τὴν ναρδοσμίαν· ἀπόδεσμος στακτῆς ἀδελφιδός μου ἐμοί, ἀνὰ μέσον τῶν μαστῶν μου αὐλισθήσεται [1, 13]. Ἔθος ἐστίν, ὡς λέγουσι, κόραις ταῖς φιλοκόσμοις μὴ μόνον ἔξωθεν αὑτὰς ἐξόχως καλλωπίζειν, ὡς ἐφελκύσωσιν αὐτῶν τὸν ἐραστὴν ἐν τάχει, ἀλλὰ καὶ μᾶλλον ἔσωθεν αὐτῶν τῶν ἱματίων κατασκευὰς τιθέασιν ἀπὸ τῶν μυριπνόων. ἐπεὶ γοῦν γεγυναίκισται τῷ λόγῳ τῶν Ἀισμάτων ἡ παρθενεύουσα ψυχὴ καὶ τρόποις ἀρρενόφρων καὶ νυμφικῶς συνέσταλται πρὸς γάμους ὑπηγμένη, λόγους τινὰς γυναικικοὺς εἰκός ἐστι καὶ λέγειν, κἂν ἔχωσιν ἀπόρρητον τὸν λογισμὸν ἐν βάθει. τοῦτο γοῦν λέγει προφανῶς ὥσπερ ἀκκιζομένη, ὅτι κἂν φέρωσί τινες γυναῖκες ἄλλα μύρα πρὸς ἔρωτα θερμότερον ἔνδον τῶν ἱματίων, ἀλλ' ἔγωγε μυρίσματος ἀντὶ παντὸς εὐώδους αὐτὸν ἐκεῖνον κτήσομαι τὸν κάλλιστον νυμφίον, ὥσπερ ἀπόδεσμόν τινα μύρων εὐωδεστάτων καλῶς ἐπαιωρήσασα περὶ τὸν τράχηλόν μου. μᾶλλον δὲ τοῦτο καθαρῶς αἰνίττεται τῷ λόγῳ, ὅτι κἂν ἄλλαι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῶν ψυχῶν τῷ βίῳ πεφυρμέναι ἄλλας φροντίδας ἔχωσι τῶν κοσμικῶν πραγμάτων, ἐγὼ δ' ἀλλὰ τὴν ἡδονὴν γνοῦσά μου τοῦ νυμφίου αὐτὸν χαράξω ταῖς πλαξὶ ταῖς τῆς ἐμῆς καρδίας. μαστῶν γὰρ μέσον πέφυκεν ὁ τόπος τῆς καρδίας. Ἔχομεν δέ τι λείψανον τῶν ἐκ τῆς νύμφης λόγων, ὅπερ ὡς ἔστιν ἐφικτὸν τὰ νῦν ἑρμηνευτέον. λέγει γὰρ οὕτω πρὸς αὐτοὺς ἡ νύμφη τοὺς ἀγγέλους· βότρυς τις κυπρίζων ἀδελφιδοῦς μου ἐμοὶ ἐν ἀμπελῶνι ἐν Γάδδει [1, 14]. Ὢ τῆς καλῆς ἐναλλαγῆς καὶ προκοπῆς τῆς νύμφης. ἡ πρὸ μικροῦ γὰρ τῷ λόγῳ ἵππῳ παρεικασθεῖσα, ἄρτι προκόψασα καλῶς ταῖς χάρισι τῶν φίλων ὡς βοτρυφόρον ἄμπελον αὑτὴν ἐπιγινώσκει. ψυχὴ γὰρ πᾶσα καθαρῶς ζητοῦσα τὸν δεσπότην πάντοτε πάντα γίνεται τῇ προκοπῇ τῶν ἔργων, νυνὶ μὲν θρόνος χερουβὶμ καὶ κλίνη βασιλέως, νῦν δ' ἄμπελος κατάκαρπος ἐν ταῖς αὐλαῖς κυρίου. ὅπερ οὖν λέγει καθαρῶς ἡ νύμφη, τοῦτο λέγει, ὡς ἔγνω τὸν ἀδελφιδοῦν, τοῦτ' ἔστι τὸν νυμφίον, ὅστις ἐπέσταξεν ἡμῖν γλεῦκος ἀθανασίας· οὐκ ἔστι πάσαις ὥριμος ψυχαῖς ταῖς ἐναρέτοις, ἀλλ' ἐξαλλάσσει τὸ τερπνὸν εἶδος αὐτοῦ πολλάκις, κατὰ τὸ μέτρον δηλαδὴ τῶν ἀρετῶν ἑκάστης, ἀνθεῖ γὰρ ἄλλαις τῶν ψυχῶν, ἐν ἄλλαις δὲ κυπρίζει, ἐν ἄλλαις δ' ὥριμός ἐστιν, ἐν ἄλλαις δὲ περκάζει. ἡ νύμφη τοίνυν φέρουσα κυπρίζοντα τὸν βότρυν δείκνυσιν ὅτι προκοπὴν οὐκ ἔφθασε τελείαν. Εἶθ' ὥσπερ ἐπαυξάνουσα τοῦ κυπρισμοῦ τὸ κάλλος, οὕτω, φησί, κυπρίζει μοι Χριστὸς ὁ καὶ νυμφίος, ὥσπερ κυπρίζουσι τερπνῶς ἐν τόπῳ τῷ τοῦ Γάδδει οἱ τῶν ἀμπέλων βότρυες εὐώδεις πεφυκότες. ἡ γῆ γάρ, ὥς φασι, τοῦ Γὰδ ἀμπελοτρόφος οὖσα γῆν πᾶσαν ὑπερήλασεν εἰς τὴν ἡδυβοτρίαν. Τῆς γοῦν ἁγνῆς καὶ καθαρᾶς ψυχῆς εἰπούσης τάδε ὁ λόγος ἀποκρίνεται λέγων τῇ νύμφῃ τάδε· ἰδοὺ εἶ καλή, ἡ πλησίον μου, ἰδοὺ εἶ καλή· οἱ ὀφθαλμοί σου περιστερᾶς [1, 15]. Ὥσπερ οἱ χρυσογνώμονες, οὕς φασι χρυσοχόους, ἂν τὸν χρυσὸν θελήσωσι τὸν κεκιβδηλωμένον λαμπρότερον ἐργάσασθαι καὶ καθαρὸν ἐξόχως, πολλάκις βάλλουσιν αὐτὸν ἐν τοῖς χωνευτηρίοις, τοῦτον τὸν τρόπον δείκνυσιν ὁ λόγος πρὸς τὴν νύμφην, ὁ τῶν ψυχῶν θεραπευτὴς τῶν μεμελανωμένων. ἵππῳ γὰρ ταύτην πρότερον τῷ λόγῳ παρεικάσας καὶ δείξας ἔτι χαμερπῆ τυγχάνειν τὴν παρθένον, πρὸς ἀρετὴν ἠρέθισε ταύτην ὑψηλοτέραν. ἡ δὲ προκόψασα τρανῶς ταῖς χάρισι τῶν φίλων γίνεται θρόνος πύρινος τοῦ πάντων βασιλέως. ἀλλ' ἔτι πάλιν φθάσασα ταῖς ἀρεταῖς εἰς ὕψος καὶ πάλιν προσεγγίσασα τῷ καθαρῷ νυμφίῳ, λαμπρῶς ἐγκωμιάζεται καὶ παρὰ τοῦ νυμφίου. ἰδοὺ γὰρ εἶ, φησί, καλὴ καὶ πλήρης μου, πλησίον. εἶτα διπλοῦν τὸν ἔπαινον τοῦ κάλλους ἐπιφέρων, πάλιν, ἰδού, φησί, καλὴ τυγχάνεις, ὦ παρθένε· ἔχεις γὰρ ὄμματα τερπνὰ περιστερᾶς παρθένου, ὁπόταν σου τοὺς ὀφθαλμοὺς ἀπέστρεψας ἐκ πλάνης καὶ πρὸς ἐμὲ τὸν πλαστουργὸν τὸν σὸν ἐνατενίζεις. περιστερᾶς δὲ μέμνηται νῦν ὀφθαλμοὺς ὁ λόγος, τὸ καθαρὸν τοῦ βλέμματος σημαίνων τῆς παρθένου. καὶ γὰρ τοιοῦτον καθαρὸν ἔσχεν ἐκείνη βλέμμα, ὥστε κατεῖδε καθαρῶς τὸν κάλλιστον νυμφίον. Αὐτὴν γὰρ ἐπαινέσαντος τοῦ καθαροῦ νυμφίου ἀνταποκρίνεται λοιπὸν κἀκείνη τῷ νυμφίῳ· ἰδοὺ καλὸς ὁ ἀδελφιδοῦς μου καί γε ὡραῖος [1, 16]. Ἰδοὺ καὶ σύ, φησί, καλὸς τυγχάνεις, ὦ νυμφίε. ὥσπερ δ' ἐκεῖνος εἴρηκε διπλοῦς ἐπαίνους ταύτῃ, οὕτω διπλοῦς ἀντείρηκεν ἐκείνη τοὺς ἐπαίνους, καλός, εἰποῦσα, πέφυκας, νυμφίε, καὶ ὡραῖος. ἀδελφιδοῦν δ' ὠνόμασεν ἡ νύμφη τὸν δεσπότην, τὴν ἀπὸ τῆς σαρκώσεως αὐτῆς πρὸς τὸν δεσπότην αἰνιττομένη προφανῶς συγγενικὴν μερίδα, ἣν μάλιστα πλατύτερον κάτωθεν διδαχθήσῃ. Ἀντεπαινέσασα καὶ γὰρ ἡ νύμφη τὸν νυμφίον φησὶ καὶ ταῦτα πρὸς αὐτὸν καθεξῆς τὸν νυμφίον· πρὸς κλίνην ἡμῶν σύσκιος [1, 16]. Ἦλθες, φησί, πρὸς τὴν ἡμῶν ἀσθενεστάτην κλίνην, τὴν ἀστραπὴν τὴν θεϊκὴν ἐντέχνως συσκιάσας. εἰ μὴ γὰρ ἔκρυψας αὐτὴν οἷς οἶδας τρόποις μόνος, τάχ' ἂν κατῃθαλώθημεν ἐξ ἀστραπῆς τῆς θείας. ἄλλο δὲ τοῦτο πέφυκε τοῦ λόγου τὸ κρυψίνουν·



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπεὶ γὰρ οἱ νυμφαγωγοὶ καὶ φίλοι τοῦ νυμφίου, ὡς ἄνωθεν εἰρήκαμεν τοῦ λόγου περὶ τούτου, ὑπαργυρίζουσαν αὐτὴν ἐχρύσωσαν τοῖς τρόποις καὶ κλίνην ἀπειργάσαντο βασιλικὴν πορφύραν, ἐπανεκλίθη τοιγαροῦν ὁ βασιλεὺς ἐν ταύτῃ. λοιπὸν ἡ νύμφη πρὸς αὐτὸν ἐκθαμβουμένη λέγει· πρὸς κλίνην ἦλθες σύσκιος ἡμῶν ὡς ἠβουλήθης. Ἀλλ' ἀκουσώμεθα λοιπὸν καὶ τῶν ἑξῆς ᾀσμάτων. φησὶ γὰρ ἔτι πρὸς αὐτὸν ἡ νύμφη τὸν νυμφίον· δοκοὶ ἡμῶν κέδροι, φατνώματα ἡμῶν κυπάρισσοι [1, 17]. Ἐπεὶ λοιπὸν ἐλήλυθας ὡς πρὸς ἡμᾶς, νυμφίε, οὐκέτι δεδιττόμεθα βροχάς τινας ῥαγδαίους, οὐκ ἐπικλύσεις ποταμῶν, τῶν πονηρῶν ῥευμάτων, ἀλλ' οὐδὲ πνεύσεις τοῦ βορρᾶ, πνευμάτων ἐναντίων· ἐμὲ γάρ, ἣν ηὐδόκησας εἶναί σου κατοικίαν, καλῶς ἐπῳκοδόμησας ἐν σεαυτῷ, νυμφίε, ὁ λίθος ὄντως ὁ τερπνὸς καὶ τῆς ζωῆς ἡ πέτρα. ὅθεν δοκοῦμεν τοὺς δοκοὺς ἡμῶν κεδρίνους εἶναι καὶ πάλιν τὰ φατνώματα δένδρων ἐκ κυπαρίττων. ἐπεὶ γὰρ ἐμνημόνευσεν ἐνθάδε κατοικίας, καὶ φατνωμάτων καὶ δοκῶν οὐκ εἴασε μνησθῆναι. σὺ δέ μοι τὰ φατνώματα καὶ τοὺς δοκοὺς ἀκούων, τὰς ἀρετὰς ἐννόησον πάντα τυγχάνειν τάδε, ἐν αἷς ἐλθὼν ἐστέγασεν αὐτὴν ὁ θεῖος λόγος καὶ πειρασμῶν ἀνένδεκτον εἰργάσατο τελείως. ἀνέμους γὰρ ἢ καὶ βροχὰς ἢ ποταμοὺς ἀκούων, δαιμόνων ταῦτα πειρασμοὺς γίνωσκε πεφυκέναι. Καιρὸς λοιπὸν καὶ τῶν ἑξῆς ἀκοῦσαι ταύτης λόγων. φησὶ γὰρ οὕτω πρὸς αὐτὸν ὥσπερ ἐγκαυχωμένη· ἐγὼ δὲ ἄνθος τοῦ πεδίου, κρίνον τῶν κοιλάδων

[2, 1]. Ὑπέρευγε τῆς προκοπῆς τῆς καθαρᾶς παρθένου. ἰδοὺ γὰρ ἔγνω ἑαυτὴν τοῦ ξύμπαντος πεδίου τῆς ἀνθρωπίνης φύσεως ἄνθος ἐκλελεγμένον, εἶτα καὶ κρίνον καθεξῆς ἐκ τῶν κοιλάδων θεῖον· μυρίζει γὰρ ὡς ἀληθῶς πᾶσα ψυχὴ τοῖς τρόποις, ταῖς ἀρεταῖς ἀνθήσασα καὶ καθωραϊσθεῖσα καὶ μὴ μερίμναις κοσμικαῖς ὅλως ἀποπνιγεῖσα. Καὶ μάρτυς τούτων πέφυκεν ὁ Χριστὸς καὶ νυμφίος προσμαρτυρῶν ὡς ἀληθῶς τῷ λόγῳ τῷ τῆς νύμφης. φησὶ γὰρ οὕτω πρὸς αὐτήν, ὡς καθεξῆς εὑρήσεις· ὡς κρίνον ἐν μέσῳ τῶν ἀκανθῶν, οὕτως ἀδελφή μου ἀνὰ μέσον τῶν θυγατέρων [2, 2]. Ὀρθῶς, φησί, λελάληκας περὶ σαυτῆς, ὦ νύμφη· ὄντως γὰρ μέσον τῶν ψυχῶν, τῶν δῆθεν θυγατέρων, τῶν ταῖς μερίμναις πάντοτε συγκαταπνιγομένων σὺ μόνη νῦν ἐξήνθησας ὥσπερ ἡδύπνουν ῥόδον. καλεῖ δὲ ταύτην ἀδελφὴν ὁ λόγος καὶ νυμφίος ὡς ἐκπληρώσασαν καλῶς τὸ θέλημα τὸ θεῖον. ὁ λέγων γὰρ αὐτός ἐστιν ἐν τοῖς εὐαγγελίοις ἐκείνους ἔχειν ἀδελφοὺς καὶ συγγενεῖς καὶ φίλους, τοὺς πληρωτὰς τῶν πατρικῶν ἐκείνου κελευσμάτων. Τούτων δ' ὡς ἤκουσε λοιπὸν ἡ νύμφη τῶν ἐπαίνων, ἀντιτεχνάζεταί τινας ἐπαίνους τῷ νυμφίῳ. λέγει γὰρ λέξεσιν αὐταῖς πρὸς τὸν δεσπότην τάδε· ὡς μῆλον ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ, οὕτως ἀδελφιδοῦς μου ἀνὰ μέσον τῶν υἱῶν [2, 3]. Ὥσπερ, φησίν, ἐν ταῖς ψυχαῖς ἁπάσαις τῶν ἀνθρώπων, ἃς θυγατέρας εἴρηκας, ὦ λόγε καὶ νυμφίε, ἔγωγε μόνη πέφυκα κρίνον ὥσπερ ἐκφῦσα, οὕτως καὶ σὺ τοὺς οὐρανοὺς ἀρρητοτρόπως κλίνας καὶ κατελθὼν ἐπὶ τῆς γῆς εἰς τὸν ὑλώδη βίον καὶ σαρκωθεὶς τὸ καθ' ἡμᾶς ἐν τῷδε τῷ δρυμῶνι, ὤφθης ἐν μέσῳ τῶν υἱῶν, τοῦτ' ἔστι τῶν ἀνθρώπων, ὡς μῆλον εὐωδέστατον καὶ γεῦσιν καθηδῦνον. Τίνος δὲ χάριν, ἐρωτᾷς, τὸν λόγον λέγει μῆλον; ὅτι τοι χάριτας πολλὰς ἔχει καρπὸς τὸ μῆλον· καὶ γὰρ ἀποθλιβόμενον παρά τινος, ὡς θέμις, τὴν ῥύσιν αἱματόμικτον τὴν ὑδαρώδη πέμπει κἀντεῦθεν ὑπαινίττεται κρουνοὺς τῆς σωτηρίας τοὺς πρὶν πλευρόθεν βλύσαντας τοῦ λόγου καὶ σωτῆρος. Ὡς ἄγαμαι τὴν φρόνησιν τῆς καθαρᾶς παρθένου· σοφῶς γὰρ εἴρηκεν αὐτὸν τυγχάνειν ὄντως μῆλον. πᾶσα μὲν γὰρ ὡς ἀληθῶς ψυχή τις ἀνθρωπίνη, κἂν ἀρεταῖς οὐρανωθῇ καὶ πρὸς ἀγγέλους φθάσῃ, ἄνθος καὶ μόνον γίνεται καὶ κρίνον ἐκ κοιλάδων, τὸν γεωργὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐ τρέφουσα (βοτάνη γὰρ οὐ τρέφει), ἀλλ' ἑαυτὴν λαμπρύνουσα τῷ κάλλει τῆς ἰδέας. οὐδὲν γὰρ χρῄζει παρ' ἡμῶν ὁ γεωργὸς κερδαίνειν, ὅπου φησὶν ὁ ψαλμῳδὸς πρὸς τὸν αὐτὸν νυμφίον· τῶν ἀγαθῶν σὺ τῶν ἐμῶν οὐδ' ὅλως ἔχεις χρείαν. ἀλλ' ὁ Χριστός, ὁ γεωργὸς ἡμῶν καὶ ὁ νυμφίος, ὁ μῆλον ὄντως γεγονὼς ἀπὸ τοῦ σαρκωθῆναι, τὰς τρεῖς καὶ πρώτας ἐν ἡμῖν αἰσθήσεις ἐπευφραίνει, τὴν ὅρασιν, τὴν ὄσφρησιν, καὶ μάλιστα τὴν γεῦσιν. ὡραῖος γὰρ εἰς ὅρασιν ὡς ἀληθῶς τυγχάνει ὁ πάντων ὡραιότερος τῶν γηγενῶν δεσπότης, καὶ τοὺς ὁρῶντας πρὸς αὐτὸν ἐργάζεται φωστῆρας· ἡδύς τε πρὸς τὴν ὄσφρησιν ὑπάρχει μύρου πλέον, τὸ μέχρι γὰρ τοῦ πώγωνος πρὶν καταβαῖνον μύρον τοῦ Ἀαρὼν αὐτός ἐστιν ὁ θαυμαστὸς νυμφίος· γλυκύτατος γὰρ πέφυκε καὶ μάλιστα πρὸς γεῦσιν ὡς τὴν ζωὴν τὴν ἄληκτον διδοὺς τοῖς γευσαμένοις, ὁ τρώγων γάρ, φησὶν αὐτός, σῶμα τοὐμὸν ἀξίως, οὗτος κερδήσει τὴν ζωὴν τὴν ὄντως αἰωνίαν. Ἀρκοῦσι ταῦτα τῷ σκοπῷ καὶ λόγῳ τῷ τοῦ μήλου, τὸ τῶν Ἀισμάτων δὲ λοιπὸν ὅλον ἑρμηνευτέον. φησὶν ἡ νύμφη καθεξῆς περὶ τοῦ μήλου λόγου· ὑπὸ τὴν σκιὰν αὐτοῦ ἐπεθύμησα καὶ ἐκάθισα, καὶ ὁ καρπὸς αὐτοῦ γλυκὺς ἐν τῷ λάρυγγί μου [2, 3]. Τούτου, φησί, τοῦ θαυμαστοῦ καὶ ζωηφόρου μήλου πολλάκις ἐπεθύμησα ποῦ τὴν σκιὰν προσβλέψαι, ὅταν ἡ φλὸξ τῶν πειρασμῶν σφόδρα κατέφλεγέ με. ἀλλ' ἰδοὺ νῦν ἐκάθισα καὶ τέρπομαι καὶ χαίρω, καὶ τὸν φλογμὸν ἐξέφυγα τὸν τῶν πειρατηρίων καὶ μελετῶ τὰς ἐντολὰς ἁπάσας τοῦ κυρίου, ὁπόταν ὁ γλυκύτατος καὶ λόγος καὶ νυμφίος κατασκιάσῃ μὲν αὐτοῦ ταῖς πτέρυξι ταῖς θείαις, ἀποτειχίσῃ δὲ μακρὰν τοῦ πειρασμοῦ τὴν φλόγα. Ταῦτα μὲν οὕτως εἴρηκεν ὥσπερ ἐγκαυχωμένη· παρακαλεῖ δὲ καθεξῆς τοὺς φίλους τοῦ νυμφίου ἔτι προκόψαι καὶ δραμεῖν πρὸς τὸν καλὸν νυμφίον. φησὶ γὰρ οὕτω πρὸς αὐτούς–ἀλλά μοι σκοπητέον· εἰσαγάγατέ με εἰς οἶκον τοῦ οἴνου, τάξατε ἐπ' ἐμὲ ἀγάπην [2, 4]. Φησί· διψῶ τὴν προκοπὴν τὴν ὡς πρὸς τὸν νυμφίον, τὸν βότρυν λέγω τῆς ζωῆς, τὸν πέπειρον, τὸν θεῖον, τὸν γλεῦκος ἀποστάξαντα τῷ σταυρικῷ θανάτῳ. καὶ τοίνυν εἰσαγάγετε κἀμὲ πρὸς οἶκον τούτου, ὡς ἂν ἰδοῦσα καθαρῶς τὸ κάλλος τοῦ νυμφίου τὸ ζώπυρον αὐξήσω μου τῆς πρὸς αὐτὸν ἀγάπης. Ἔτι δὲ πάλιν δυσωπεῖ τυχεῖν τῶν μειζοτέρων· τάδε γὰρ λέγει πρὸς αὐτούς, τοῦτ' ἔστι τοὺς ἀγγέλους· στηρίξατέ με ἐν μύροις, στοιβάσατέ με ἐν μήλοις [2, 5]. Ἐπεί, φησίν, ἠγάπησεν ἐμὲ τὴν ἀπωσμένην ὁ θαυμαστὸς καὶ φοβερὸς καὶ κάλλιστος νυμφίος, στηρίξατέ με τὸ λοιπὸν ὑμεῖς οἱ τούτου φίλοι πρὸς τὴν ἀγάπην τὴν αὐτοῦ τοῦ λόγου καὶ νυμφίου, ὥσπερ μοι πρότερον χρυσόν, ἄρτι διδόντες μύρα τὰ πάσης ἀποτρεπτικὰ δυσώδους ἁμαρτίας. ὡς ἂν μηκέτι πλανηθῶ καὶ παρεκκλίνω πάλιν. σὺ δ' ἀρετὰς ἐννόησον τὰ μύρα τὰ τῶν φίλων. Ἀλλ' ἔτι πάλιν λιπαρεῖ τοῖς μήλοις στοιβασθῆναι. ποτὲ μὲν γὰρ προσομιλεῖ τοῖς φίλοις ὥσπερ νύμφη ἡ παρθενεύουσα ψυχὴ καὶ νυμφοστολουμένη, ποτὲ δ' ὡς κλίνη χρυσαυγής, ποτὲ δ' ὡς θεῖος θρόνος. καὶ γὰρ ὡς ὄντως ἐν μιᾷ ψυχῇ καθαρωτάτῃ νυνὶ μὲν ἀνακλίνεται Χριστὸς ὁ καὶ νυμφίος, νυνὶ δὲ καὶ περιπατεῖ, καὶ κάθηται πολλάκις· ἅπαν δὲ τοῦτο πέφυκεν ὁ στοιβασμὸς τῶν μήλων. ποθεῖ καὶ φλέγεται καλῶς ἡ νύμφη τῷ νυμφίῳ, ὅστις καὶ μῆλον λέγεται φανὲν ἐκ τοῦ δρυμῶνος, καὶ θέλει τοῦτον γίνεσθαι πάντοτε ταῦτα πάντα, τροφὴ τρυφή τε καὶ σκιὰ καὶ στοιβασμὸς τῆς στέγης, ὥσπερ κἀκείνη γίνεται ξύμπαντα πρὸς ἐκεῖνον, νύμφη καὶ θρόνος καὶ στρωμνὴ καὶ πάλιν κατοικία. Εἶτά φησι πρὸς τοὺς αὐτοὺς ἀγγέλους τὴν αἰτίαν τῆς παρακλήσεως αὐτῆς τῆς συνεχοῦς πρὸς τούτους· ὅτι τετρωμένη ἀγάπης ἐγώ [2, 5]. Ἐγώ, φησίν, ἐκδυσωπῶ τὴν ὑμετέραν χάριν τὴν στέγην ὅλην μου καλῶς ἐν μήλοις στοιβασθῆναι, ὅτι τὸ βέλος ἔτρωσεν ἐμὲ τὸ τῆς ἀγάπης. ἀγάπην τοίνυν νόησον τὸν ἄναρχον πατέρα καὶ βέλος ὄντως ἐκλεκτὸν τὸν λόγον καὶ νυμφίον· τοῦτον γὰρ πέμπειν εἴωθεν ἐπὶ τοὺς σῳζομένους. Ἀλλὰ προστίθησί τινας ἡ νύμφη πάλιν λόγους,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λέγουσα τάδε πρὸς αὐτούς, ὡς καθ' εἱρμὸν εὑρήσεις· εὐώνυμος αὐτοῦ ὑπὸ τὴν κεφαλήν μου, καὶ ἡ δεξιὰ αὐτοῦ περιλήψεταί με [2, 6]. Ἡ τῶν ᾀσμάτων δύναμις τούτων τῶν λεγομένων· ἰδοὺ γὰρ βέλος γίνεται χερσὶ ταῖς τοῦ τοξότου ἡ πρὸ μικροῦ τῷ θαυμαστῷ κατατρωθεῖσα βέλει, ὥσπερ ταὐτόν τι καὶ ψυχὴ πέπονθεν ἡ τοῦ Παύλου. κἀκεῖνος γὰρ γενόμενος πιστὸς ἐξ ἀπιστίας καὶ ζωγρευθεὶς παρὰ Χριστοῦ τοῦ λόγου καὶ σωτῆρος εὐθὺς πρὸς ἔθνη τὰ μακρὰν καὶ πλάνῃ βεβυσμένα παρὰ τοῦ θείου πνεύματος πάντως ἐξαπεστάλη, ὥστε ζωγρεύειν τὰς ψυχὰς τῶν ἐκπεπλανημένων τῷ λόγῳ τοῦ κηρύγματος καὶ τῆς διδασκαλίας. Ταῦτα μὲν οὕτως ἔχουσιν, ὡς οἶμαι, στεφηφόρε· σὺ δὲ μηδ' ὅλως ἐκπλαγῇς ἅπερ ἡ νύμφη λέγει, ὡς ἄρα χεὶρ εὐώνυμος αὐτοῦ τῇ κεφαλῇ μου, ἡ τούτου δ' αὖθις δεξιὰ καὶ περιλήψεταί με. τρόπον γὰρ βέλους κοσμικοῦ καὶ πετομένου λέγων ὁ λόγος ἐσχημάτισεν αὐτὴν ἐξαποστεῖλαι. Ἀλλὰ καιρὸς καὶ τῶν ἑξῆς ᾀσμάτων ἐπακοῦσαι. ἀντιβολεῖ γὰρ καθεξῆς καὶ πάλιν τοὺς ἀγγέλους· ὥρκισα ὑμᾶς, θυγατέρες Ἱερουσαλήμ, ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ, ἐὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην, ἕως οὗ θελήσῃ [2, 7]. Ἀγρὸν τὸν κόσμον νόησον, ἰσχὺν δὲ τούτου πάλιν τὴν τοῦ δεσπότου δύναμιν τοῦ λόγου καὶ νυμφίου. φησὶ γάρ· ὦ νυμφαγωγοὶ καὶ φίλοι τοῦ νυμφίου, ἐκείνας καταλείψασα τὰς συνεχεῖς αἰτήσεις μεθ' ὅρκου φέρω δέησιν ὑμῖν ἀπὸ καρδίας, μηδέποτε παυθήσεσθαι λαμπρύνοντές με πλέον καὶ τὴν ἐμὴν αὐξάνοντες ἀγάπην πρὸς τὸν λόγον, μέχρις ἂν ὅλην με καλὴν ἐργάσησθε τοῖς τρόποις καὶ μέχρις ἂν ἐκπληρωθῇ θέλημα τοῦ νυμφίου. τοῦτο δ' ἐστὶ τὸ θέλημα καὶ μόνον τοῦ νυμφίου τοῦ θέλοντος τὸ σῴζεσθαι πάντας ἀνθρώπους ὄντως, τὸ καθαράν με παντελῶς καὶ θεαυγῆ φανῆναι. Ἀλλ' αὖθις θεωρήσωμεν τὰ καθ' εἱρμὸν τοῦ λόγου. φωνὴ τοῦ ἀδελφιδοῦ μου [2, 8]. Τοσοῦτον ἀκατάληπτον ὄντως ἐστὶ τὸ θεῖον, ὅτι κἂν πάσας ἀρετάς τις κατορθώσῃ πόνοις, κἂν ὑψωθῇ πρὸς οὐρανοὺς τοῖς ἐναρέτοις τρόποις κἀντεῦθεν σύνεγγυς θεοῦ νομίσῃ καθεστάναι, ἔξω τυγχάνει πόρρωθεν τῆς θεϊκῆς οὐσίας. ἰδοὺ γὰρ ἡ προκόψασα καὶ φθάσασα πρὸς ὕψος καὶ προσδοκῶσα σύνεγγυς ἑστάναι τοῦ νυμφίου, ἐπάρασα τοὺς ὀφθαλμοὺς ὥστε καὶ τοῦτον βλέψαι φωνὴν καὶ μόνην ἤκουσε μακρόθεν τοῦ νυμφίου. φωνὴν δὲ τούτου νόησον τῶν προφητῶν τὰς ῥήσεις τὰς τὴν τοῦ λόγου σάρκωσιν ἀρρήτως προδηλούσας. Εἶτα καὶ τί φησιν ἑξῆς ἐκείνη σκοπητέον. ἰδοὺ οὗτος ἥκει πηδῶν ἐπὶ τὰ ὄρη, διαλλόμενος ἐπὶ τοὺς βουνούς [2, 8]. Εἰποῦσα πρῶτον τῆς φωνῆς ἀκοῦσαι τοῦ νυμφίου, φησὶ νῦν, οὗτος ἔρχεται πηδῶν ἐπὶ τὰ ὄρη. καλῶς ἐφιλοσόφησεν ἡ καθαρὰ παρθένος. ὁ γάρ τοι λόγος καὶ θεὸς πρὸ τῆς εἰς γῆν καθόδου προφήτας ἐξαπέστειλε προλέγοντας ἐκείνου τὴν πρὸς ἀνθρώπους κάθοδον καὶ σάρκωσιν τὴν θείαν, καὶ μετ' ἐκείνους ἔφθασε κἀκεῖνος οὐρανόθεν. ὁ δὲ παρὼν αἰνίττεται λόγος ὁ τῶν Ἀισμάτων τὰ τῆς ἐνανθρωπήσεως τοῦ θεανθρώπου λόγου, δι' ἧς ἑλκύσατο ψυχὰς ἐν ᾅδῃ τεθαμμένας δαίμονας ὅλους καθελὼν καὶ μόνῃ τῇ κελεύσει· τούτους γὰρ ὄρη κέκληκε καὶ πάλιν βουνοὺς λέγει. θαυματουργῶν γὰρ ὁ Χριστὸς καὶ δαίμονας ἐκβάλλων τῷ λόγῳ μόνῳ ξύμπαντας ἐπ' ἴσης ἐταρτάρου, ἐλάττονας καὶ μείζονας ἢ μᾶλλον λεγεῶνας. Καὶ μετὰ ταῦτα τί φησιν ἡ νύμφη σκοπητέον· ὅμοιός ἐστιν ἀδελφιδοῦς μου δορκάδι ἢ νεβρῷ ἐλάφων ἐπὶ τὰ ὄρη Βεθήλ [2, 9]. Σχεδὸν ταὐτόν τι πέφυκε τοῦτο τοῖς προρρηθεῖσι· κἀνταῦθα γὰρ δεδήλωκε τὸν λόγον καὶ νυμφίον τοὺς δαίμονας ἐλαύνοντα καὶ καταταρταροῦντα. νεβρῷ δ' αὐτὸν παρείκασεν ἐλάφων ἡ παρθένος ὡς δῆθεν ἀναλίσκοντα τὴν φύσιν τῶν δαιμόνων, ὥσπερ τοὺς ὄφεις ἡ νεβρός, ἀλλ' ἡ νεβρὸς ἐκείνη, ἥτις ἐπ' ὄρους τοῦ Βεθὴλ ἔχει τὴν κατοικίαν. ὄρη δὲ γίνωσκε Βεθὴλ τὴν ἄνω κατοικίαν· ἡ δὲ δορκάς σοι τροπικῶς τὸν βλέποντα σημαίνει, οὗτος γὰρ βλέπειν πέφυκε τῶν πάντων τὰς καρδίας. Ἀλλ' ἴδωμεν καὶ τί φησι τοῦ λόγου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

περαιτέρω. ἰδοὺ οὗτος ἕστηκεν ὀπίσω τοῦ τοίχου ἡμῶν, παρακύπτων διὰ τῶν θυρίδων, ἐκκύπτων διὰ τῶν δικτύων [2, 9]. Ἰδού, φησίν, ἐλήλυθεν ὁ λόγος καὶ νυμφίος, ὁ κατελθὼν ἀπὸ Βεθήλ, τῆς ἄνω κατοικίας. οὐδέπω δ' εἰσελήλυθεν ἐντὸς τῶν περιβόλων, ἀλλ' ἔξωθεν ἱστάμενος ὀπίσω τε τοῦ τοίχου διὰ θυρίδων ἔσωθεν ἐθέλει παρακύπτειν. σὺ δέ μοι τοῖχον γίνωσκε τὸν νόμον τὸν ἀρχαῖον τὸν ἐμποιοῦντα τὴν σκιὰν καὶ πλάνην τῶν ἀνθρώπων, θυρίδας δὲ καὶ δίκτυα τῶν προφητῶν τοὺς λόγους· καὶ γὰρ πρὸ τῆς σαρκώσεως τοῦ θεανθρώπου λόγου πολυμερῶς λελάληκε καὶ πάνυ πολυτρόπως ἐν τοῖς πατράσιν ὁ θεὸς διὰ προφητῶν καὶ νόμων. Ἀλλ' ὅπερ λέγει καθ' εἱρμὸν ἡ νύμφη σκοπητέον. ἀποκρίνεται ὁ ἀδελφιδοῦς μου καὶ λέγει μοι· ἀνάστα, ἐλθέ, ἡ πλησίον μου, καλή μου, περιστερά μου [2, 10]. Ἐπεί, φησίν, ἐλήλυθεν ὁ λόγος καὶ νυμφίος, ὁ τοῖς προφήταις χρώμενος ὥσπερ τισὶ θυρίσι, τοῦτό μοι πρῶτον εἴρηκεν ἔσωθεν παρακύπτων· ἀνάστηθι τοῦ πτώματος, τῆς πλάνης καὶ τοῦ σκότους, καὶ πρόσελθέ μοι καθαρῶς καὶ γίνου μοι πλησίον. Εἶτα, φησίν, ἐξεῖπέ μοι καὶ τάδε πρὸς ἐκείνοις· ἰδοὺ ὁ χειμὼν παρῆλθεν, ὁ ὑετὸς ἀπῆλθεν, ἐπορεύθη ἑαυτῷ· τὰ ἄνθη ὤφθη ἐν τῇ γῇ, καιρὸς τῆς τομῆς ἔφθασεν [2, 11–12]. Ὅτι, φησί, κατήργησα τὴν φύσιν τῶν δαιμόνων τὴν ἀποκρυσταλλώσασαν τὴν φύσιν τῶν ἀνθρώπων καὶ δείξασαν ἀναίσθητον πρὸς τὸ καλὸν τελείως, κἀντεῦθεν ἀπελήλαται χειμὼν ὁ τῆς ἀπάτης καὶ πᾶς δεινός τις ὑετὸς ἀπῆλθεν, ἀπερρύη, καὶ τὸ τερπνὸν ἀνέτειλε τῆς ἀληθείας ἔαρ, ἡ γῆ δ' ἀνθεῖν ἀπήρξατο, φύσις ἡ τῶν ἀνθρώπων, καιρὸς δὲ πέφθακε λοιπὸν τομῆς τῆς τῶν ἀνθέων, εἰ βούλει, κατασκεύασον στεφάνους ἐξ ἀνθέων. Ἡ τῶν ἀνθρώπων φύσις γάρ, ἣν γῆν ὁ λόγος εἶπεν, εἰδώλοις ὑποκλίνασα καὶ πλάνῃ τὸν αὐχένα, εἶδος οὐκ εἶχεν ἀρετῆς (τοῦτο γὰρ ἄνθος νόει), τῷ δριμυτάτῳ καὶ σφοδρῷ χειμῶνι τῷ τῆς πλάνης κρυσταλλωθεῖσα καὶ σχεδὸν ἐναπολιθωθεῖσα. τίς γὰρ ἠπίστατό ποτε τῆς πλάνης σκοτιζούσης τηρεῖν ἐξομολόγησιν, φυλάττειν σωφροσύνην, ἐγκράτειαν ἀσπάζεσθαι, φιλεῖν δικαιοσύνην; ἀλλ' ἤδη πάντως ἤνθησεν ἡ γῆ. λοιπὸν ἀνάστα καὶ σπούδασον ἐξ ἀρετῆς στεφάνους σοι πλακῆναι. Καὶ μάρτυς ἀπαράγραπτος ὑπάρχει τῶν ἀνθέων ὁ πρόδρομος τῆς χάριτος, λέγων· μετανοεῖτε. ὅστις πολλοὺς ἐβάπτισε τοῦ γένους τῶν Ἑβραίων ἰδὼν αὐτοὺς ἀνθήσαντας ἐν ἐξομολογήσει. τούτου γὰρ χάριν εἴρηκεν ὁ λόγος τῶν Ἀισμάτων· φωνὴ τῆς τρυγόνος ἠκούσθη ἐν γῇ ἡμῶν [2, 12]. Ὁ πρόδρομος τῆς χάριτος ὄντως φωνὴ τρυγόνος. ἀλλὰ προσβῶμεν καὶ μικρὸν τοῖς προσωτέρω λόγοις. ἡ συκῆ ἐξήνεγκε τοὺς ὀλύνθους αὐτῆς, αἱ ἄμπελοι κυπρίζουσιν, ἔδωκαν ὀσμήν [2, 13]. Τοῦτο ταὐτόν τι πέφυκε τάχα τοῖς προρρηθεῖσι. συκῆν γὰρ σύ μοι νόησον τὴν φύσιν τῶν ἀνθρώπων, ὀλύνθους δὲ τῶν ἀρετῶν τὰς ὑποδεεστέρας· ἀμπέλους πάλιν, δέσποτα, γίνωσκε κυπριζούσας ψυχὰς προκόπτειν εἰς καλὸν ἐναρξαμένας ἤδη. ἀνάστα, ἐλθέ, ἡ πλησίον μου, καλή μου, περιστερά μου [2, 13]. Τούτου πολλάκις εἴπομεν τοῦ λόγου τὰς ἐμφάσεις· λόγους λοιπὸν τοὺς ἐφεξῆς προσεφερμηνευτέον. δεῦρο σεαυτὴν ἐν σκέπῃ τῆς πέτρας ἐχόμενα τοῦ προτειχίσματος [2, 14]. Ὦ παρθενεύουσα ψυχή, φησί, καθαρωτάτη, ἀνάστηθι τοῦ πτώματος, καὶ δεῦρο, πλὴν προθύμως, οὐκ ἐξ ἀνάγκης δή τινος, ἀλλ' ἑκουσίᾳ γνώμῃ· φησὶ γάρ, δεῦρο σεαυτήν, τοῦτ' ἔστιν ἑκουσίως. Οὕτως δὲ πάντως εἰς ἐμέ, τὴν πέτραν, φησί, φθάσεις, ἤγουν τὴν πέτραν τῆς ζωῆς τὴν ὄντως αἰωνίαν, ἀπὸ τοῦ προτειχίσματος τοῦ παλαιτάτου νόμου τοῦ σύνεγγυς τυγχάνοντος τῆς πέτρας μεταβᾶσα. ἔχεται γοῦν ὡς ἀληθῶς, τοῦτ' ἔστι προσεγγίζει, τῆς πέτρας τὸ προτείχισμα, καὶ μάθε καὶ τὸν τρόπον· προτείχισμα μὲν λέγεται δῆθεν ὁ πάλαι νόμος, πέτρα δὲ πάλιν ἀρραγὴς ἡ νέα διαθήκη. κἂν γὰρ δοκῶσιν ἔξωθεν ἀλλήλων ἐφεστάναι ὁ νόμος ὁ Μωσαϊκὸς καὶ τῶν εὐαγγελίων, ἀλλ' ὅμως κατὰ δύναμιν ἀλλήλων ἔχονταί πως. τί γάρ ἐστιν ἐγγύτερον τῶνδε τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κελευσμάτων; ὁ παλαιὸς νομοθετεῖ νόμος τὸ μὴ μοιχεύειν, ἀλλ' ὁ παρὼν καὶ καθ' ἡμᾶς, ὁ τῶν εὐαγγελίων, καὶ πᾶσαν ἐγκελεύεται τέμνειν ἐπιθυμίαν· ἐκεῖνος δ' αὖ ἀπέχεσθαι νομοθετεῖ τοῦ φόνου, ὁ δὲ μηδ' ὅλως πρὸς ὀργὴν κινεῖσθαι δογματίζει. ἂν δὲ ζητῇς καὶ πρόβατον καὶ σάββατον καὶ πάσχα, τὰς φανερὰς καὶ σαρκικὰς ἐκείνου διατάξεις, καὶ ταῦθ' εὑρήσεις ἐνταυθοῖ πνευματικῶς ἐγκύπτων· ἡ πέτρα γὰρ πνευματικὴ καὶ χοϊκὸς ὁ τοῖχος. Ἀλλ' ἀκουσώμεθα λοιπὸν καὶ τῶν ἑξῆς ῥημάτων· ἀπόκρισιν γὰρ δίδωσιν ἡ νύμφη τῷ νυμφίῳ. δεῖξόν μοι τὴν ὄψιν σου καὶ ἀκούτισόν με τὴν φωνήν σου, ὅτι ἡ φωνή σου ἡδεῖα καὶ ἡ ὄψις σου ὡραία [2, 14]. Εἰ καί τί μοι προσομιλεῖς, φησί, καλὲ νυμφίε, διά τινων προφητικῶν καὶ νομικῶν βιβλίων, ἀλλ' ὡς ἐξόν μοι βλέψαι σε καὶ σῆς φωνῆς ἀκοῦσαι, ἀκούτισόν με τὴν φωνὴν καὶ δεῖξόν μοι τὴν θέαν. ὡς γὰρ ἡδεῖα πέφυκεν, οὕτω καὶ γλυκυτάτη ἡ σὴ φωνὴ προφητικῶς ἡμῖν ἐνηχουμένη, κἀντεῦθεν ἥν σου βλέπομεν ὄψιν ὡς ἐν κατόπτρῳ ὡραιοτάτη πέφυκε καὶ πανευειδεστάτη, τοιοῦτόν τι καθέστηκε τὸ κάλλος τῆς σῆς θέας καὶ τῆς φωνῆς ὁ γλυκασμὸς ἀμέσως δεδειγμένος. Ἤκουσε τὴν παράκλησιν τῆς νύμφης ὁ νυμφίος, καὶ μέλλων ὥσπερ ἑαυτὸν εἰς τοὐμφανὲς δεικνύειν πρῶτον εἰς ἄγραν παρορμᾷ τοὺς θηρευτάς, καὶ λέγει· πιάσατε ἡμῖν ἀλώπεκας μικροὺς ἀφανίζοντας ἀμπελῶνας, καὶ αἱ ἄμπελοι ἡμῶν κυπρίζουσιν [2, 15]. Ὢ τῆς φρικτῆς καὶ φοβερᾶς τοῦ λόγου δυναστείας, ὢ παναλκοῦς δυνάμεως, ὢ κράτους ἀπορρήτου. κελεύει γὰρ τοῖς θηρευταῖς, τοῦτ' ἔστι τοῖς ἀγγέλοις, ὥσπερ ἀλώπεκάς τινας μικρὰς δυστηνοτάτας θηρεῦσαι καὶ συναγαγεῖν, κρατῆσαι καὶ δεσμεῦσαι τὴν πᾶσαν ἀποστατικὴν δύναμιν τῶν δαιμόνων. τὸν δράκοντα τὸν μέγιστον, τὴν ἀποστάτιν φύσιν, ὃς ἐνεδρεύει καθ' ἡμῶν ὡς λέων ἐν τῇ μάνδρᾳ, τὸν κοσμοκράτορα σατᾶν, τοῦ σκότους τὸν προστάτην, τὸν ᾅδην τὸν πλατύνοντα τὸ στόμα τὸ ζοφῶδες, τὸν ἔχοντα καὶ φέροντα τὸ κράτος τοῦ θανάτου, τὸν ἐγκαυχώμενον λαβεῖν ὡς νοσσιὰν στρουθίου τὴν οἰκουμένην ξύμπασαν καὶ ταύτην ἀφανίσαι ὥσπερ ᾠά τινα σαθρὰ καταπεφρονημένα, τὸν ἐξαλείφειν θέλοντα τοὺς ὅρους τῆς θαλάσσης, τὸν ἐν νεφέλαις λέγοντα τὸν θρόνον καθιδρῦσαι, οὗπερ χαλκαῖ μὲν αἱ πλευραὶ καὶ σιδηρᾶ δ' ἡ ῥάχις, ἔγκατα δ' ὥς φασιν αὐτοῦ σμυρίτης ἄλλος λίθος, αὐτὸν τὸν ὄφιν τὸν δεινόν, τὸν γέροντα, τὸν μέγαν, καὶ πᾶσαν ἄλλην δύναμιν δαιμόνων ἐναντίαν ἡ δύναμις ὠνόμασε τῆς ὄντως δυναστείας ὡς ἀλωπέκια μικρὰ καὶ δολερὰ τῇ φύσει. τοὺς γοῦν μικροὺς ἀλώπεκας, φησί, κρατήσατέ μοι ὡς βλαπτικοὺς τυγχάνοντας ψυχῶν τῶν ἀνθρωπίνων· ἀμπέλους γὰρ ὡς ἀληθῶς ταύτας ἐννόει μόνας. Ἀλλ' ἴδωμεν καὶ τί φησιν ἡ νύμφη καὶ παρθένος. ἀδελφιδοῦς μου ἐν ἐμοὶ κἀγὼ ἐν αὐτῷ [2, 16]. Ἰδού, φησίν, ἐβλέψαμεν ἀλλήλους οἱ ποθοῦντες. ἀλλ' ἐφεξῆς ἐκδυσωπεῖ λέγουσα τῷ νυμφίῳ· ὁ ποιμαίνων ἐν τοῖς κρίνοις, ἕως οὗ διαπνεύσῃ ἡμέρα καὶ κινηθῶσιν αἱ σκιαί. ἀπόστρεψον, ὁμοιώθητι, ἀδελφιδέ μου, τῇ δορκάδι ἢ νεβρῷ ἐλάφων ἐπὶ τὰ ὄρη τῶν κοιλωμάτων [2, 16–17]. Ὦ καλλιστότατε ποιμὴν τῶν λογικῶν θρεμμάτων, φησὶν ἡ νύμφη πρὸς αὐτὸν τὸν λόγον καὶ νυμφίον, ὃς τρέφεις σου τὰ πρόβατα ταῖς ἀρεταῖς ὡς κρίνοις, καὶ πάλιν φάνηθι δορκὰς ἢ καὶ νεβρὸς ἐλάφων, καὶ πάλιν νῦν ἐκζήτησον, ὥσπερ ἀνθυποστρέψας, ἅπερ ἐπήδας πρὸ μικροῦ τῶν κοιλωμάτων ὄρη· καὶ πᾶσαν ἐξαφάνισον δύναμιν ἐναντίαν καὶ καθομάλισον βουνοὺς τοὺς ἄγαν ἐπηρμένους. οὕτω γὰρ πληρωθήσεται σοῖς δρόμοις πᾶσα φάραγξ καὶ πᾶς ταπεινωθήσεται βουνὸς ὁ τῆς κακίας καὶ πᾶσαι κινηθήσονται σκιαὶ τῆς ἀθεΐας καὶ διαπνεύσειε βροτοῖς ἡμέρα σωτηρίας. ἐπὶ τὴν κοίτην μου ἐν νυξὶν ἐζήτησα ὃν ἠγάπησεν ἡ ψυχή μου· ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον αὐτόν, ἐκάλεσα αὐτὸν καὶ οὐχ ὑπήκουσέ μου [3, 1]. Ὡς ὄντως ἀκατάληπτος ἡ σή, Χριστέ μου, φύσις. ἐπὶ τὴν κοίτην μου, φησί, τὴν ἄγαν προκοπήν μου, ἐν ᾗ καὶ φθάσασα λοιπὸν ἤλπισα καταπαῦσαι ὡς ἤδη τὴν ἀκρότητα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πάντων καταλαβοῦσα, ὅταν πρὸς νύκτα πέφθακα τῶν θείων μυστηρίων, θερμῶς ἀναζητήσασα τὸν λόγον καὶ νυμφίον οὐχ εὗρον τοῦτον οὐδαμῶς ἐκεῖσε πεφυκότα· καὶ πάλιν τοῦτον κέκληκα, πλὴν οὐχ ὑπήκουσέ μου. ὡς ἀληθῶς ἐκτραγῳδεῖ τοὺς λόγους ἡ παρθένος. ψυχὴ γὰρ πᾶσα καθαρά, κἂν πρὸς ἀγγέλους φθάσῃ καὶ τῶν ἀδύτων ἔσωθεν εἰσέλθῃ τῶν ἀρρήτων, μὴ νομιζέτω κατιδεῖν τὴν θεϊκὴν οὐσίαν. Ἐπεὶ γοῦν ὡς ἐζήτησεν οὐχ εὗρε τὸν νυμφίον, ἀκούσωμεν τί βούλεται. φησὶ γὰρ οὕτω πάλιν· ἀναστήσομαι δὴ καὶ κυκλώσω ἐν τῇ πόλει, ἐν ἀγοραῖς καὶ ἐν ταῖς πλατείαις, καὶ ζητήσω ὃν ἠγάπησεν ἡ ψυχή μου. ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον αὐτόν [3, 2].

Ἐξαναστήσομαι, φησί, καὶ ψηλαφήσω τοῦτον καὶ πᾶσαν ὑπερκόσμιον περικυκλώσω φύσιν, ἣν πόλιν ἐπωνόμασεν ὁ λόγος τῶν Ἀισμάτων, καθώσπερ εἶπεν ἀγορὰν τὰς ἄνω πανηγύρεις. ὡς γοῦν ἀνέστην δή, φησίν, εἰς ζήτησιν ἐκείνου καὶ τῷ σκοπῷ καὶ λογισμῷ τὰς τῶν ἀγγέλων φύσεις ἁπάσας ἐξηρεύνησα μετὰ πολλοῦ τοῦ πόνου, ἐλπίζουσα καταλαβεῖν αὐτὸν ἐν τοῖς ἀγγέλοις– ὡς ἐψηλάφουν τοιγαροῦν αὐτὸν ἐν τοῖς ἀγγέλοις, ὅπως ἂν μάθω τίς ἐστι καὶ ποδαπὸς τυγχάνει καὶ πόθεν ἔχει τὴν ἀρχὴν καὶ τίνι καταλήγει, οἱ φύλακες τῆς πόλεως, Σιὼν τῆς ἀνωτάτω, περινοστοῦσαν εἶδόν με τὴν πόλιν καὶ ζητοῦσαν. Φησὶ γὰρ οὕτω καθεξῆς ὥσπερ ἀφηγουμένη· εὕροσαν με οἱ τηροῦντες, οἱ κυκλοῦντες ἐν τῇ πόλει [3, 3]. Εἶτα, φησίν, ἠρώτησα πρὸς τοὺς ἀγγέλους τάδε· μὴ ὃν ἠγάπησεν ἡ ψυχή μου εἴδετε; [3, 3]. Ἤλπιζον γὰρ ὡς ἀληθῶς κἂν τοῖς ἀγγέλοις εἶναι καταληπτὸν καὶ προσιτὸν τὸν λόγον καὶ νυμφίον· ἐπεὶ δὲ τούτους ἔγνωκα μηδὲν ἐπισταμένους, παρῆλθον αὖθις ἀπ' αὐτῶν, φησίν, ἐξαποροῦσα. ὡς μικρὸν ὅτε παρῆλθον ἀπ' αὐτῶν, ἕως οὗ εὗρον ὃν ἠγάπησεν ἡ ψυχή μου [3, 4]. Ὡς γοῦν παρῆλθον δή, φησί, μικρὸν ἐκ τῶν ἀγγέλων, πιστεύσασα τῷ λογισμῷ τὴν ἀκαταληψίαν τοῦ παντοκράτορος Χριστοῦ καὶ θεανθρώπου λόγου, εὗρον αὐτὸν ὡς ἀληθῶς ἐν τοῖς ἀκαταλήπτοις. ἡ φύσις γὰρ ἡ θεϊκὴ τοῦ λόγου καὶ νυμφίου τῷ μὴ καταλαμβάνεσθαι καταληπτὴ τυγχάνει. ἐκράτησα αὐτὸν καὶ οὐκ ἀφῆκα αὐτόν, ἕως οὗ εἰσήγαγον αὐτὸν εἰς οἶκον μητρός μου καὶ εἰς ταμεῖον τῆς συλλαβούσης με [3, 4]. Ἐπείπερ ἀκατάληπτον, φησίν, αὐτὸν ἐφεῦρον, ἔνδον αὐτὸν ἐκράτησα καὶ μέσον τῆς καρδίας καὶ τῷ πατρὶ συνάναρχον ἐγνώρισα τυγχάνειν. ἡμεῖς γὰρ οἶκοι καὶ ναοὶ καὶ μάλιστα ταμεῖα τοῦ πνεύματος τυγχάνομεν, κατὰ τὸν μέγαν Παῦλον, τοῦ καὶ γεννήσαντος ἡμᾶς καὶ τρέφοντος ὡς οἶδεν. Ἀλλὰ τὴν κρείττω προκοπὴν ἡ νύμφη ψηλαφῶσα πάλιν αὐτοὺς ἐκδυσωπεῖ, φησὶ γὰρ τούτοις τάδε· ὥρκισα ὑμᾶς, θυγατέρες Ἱερουσαλήμ, ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ, ἐὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην, ἕως οὗ θελήσῃ [3, 5]. Τοῦ λόγου τούτου φθάσαντες εἴπομεν τὰς ἐμφάσεις· λόγους λοιπὸν ὡς δυνατὸν τοὺς ἐφεξῆς σκεπτέον. τίς αὕτη ἡ ἀναβαίνουσα ἀπὸ τῆς ἐρήμου ὡς στελέχη καπνοῦ τεθυμιαμένου σμύρναν καὶ λίβανον ἀπὸ πάντων κονιορτῶν μυρεψοῦ; [3, 6]. Ταῦτα μὲν λέγουσιν ἁπλῶς οἱ φίλοι πρὸς τοὺς φίλους, ὁ τῶν ῥημάτων δὲ σκοπὸς οὗτός ἐστιν, ὡς οἶμαι. ἡ νύμφη μὲν καὶ πρότερον ταῖς ἀρεταῖς ὑψώθη, τῇ πίστει, τῇ πραότητι καὶ τῇ δικαιοσύνῃ· ἐπεὶ δὲ καὶ πρὸς ἀρετῆς ἄλλο μετέβη σχῆμα, νηστείας ἀγρυπνίας τε καὶ προσευχῆς παννύχου, καὶ τὴν μορφὴν ἠλλάξατο ταῖς ἄγαν χαμευνίαις, οἱ φίλοι κατεπλάγησαν τῆς προκοπῆς τῆς νύμφης καί πως ὑποκρινόμενοι δῆθεν ὡς ἀγνοοῦντες, περὶ τῆς νύμφης θέλουσιν ἐπερωτᾶν ἀλλήλους, τίς αὕτη, λέγοντες, ἐστίν, ἥτις ἐκ τῆς ἐρήμου πρὸς οὐρανοὺς ἀνέδραμεν ὥσπερ καπνοῦ στελέχη, σμύρνης ὀσμὴν ἐκπέμπουσα καὶ θαυμαστοῦ λιβάνου; ψυχὴ γὰρ πᾶσα θέλουσα λίβανον τελεσθῆναι, ἤγουν τερπνὸν θυμίαμα τῷ βασιλεῖ τῶν ὅλων, ἂν μὴ νεκρώσῃ πρότερον πάντα τὰ μέλη ταύτης καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σμύρνα δῆθεν γένηται Χριστῷ συννεκρωθεῖσα, οὐκ ἄλλως γίνεταί ποτε λίβανον τῷ κυρίῳ. ἰδοὺ ἡ κλίνη Σολομῶντος, ἑξήκοντα δυνατοὶ κύκλῳ αὐτῆς ἀπὸ δυνατῶν Ἰσραήλ, πάντες κατέχοντες ῥομφαίαν, δεδιδαγμένοι πόλεμον· ἀνὴρ ῥομφαίαν ἐπὶ τὸν μηρὸν αὐτοῦ ἀπὸ θάμβους ἐν νυξίν [3, 7–8]. Οἱ φίλοι ταῦτα λέγουσι δῆθεν πρὸς τὴν παρθένον τὸ κάλλος ἀφηγούμενοι τῆς κλίνης τοῦ νυμφίου, ὡς μᾶλλον ὑπανάψωσι τὸν πόθον τὸν τῆς νύμφης. Σὺ δέ μοι σφόδρα πρόσεχε τῇ τούτων ἐξηγήσει. κλίνη τυγχάνει Σολομῶν ὁ τῶν σωθέντων τόπος, ἑξήκοντα δὲ δυνατοὶ περικυκλοῦντες ταύτην ὄντως αὐτοὶ πεφύκασιν οἱ πάνυ σεσωμένοι. ἑξήκοντα δὲ λέγονται τῷ λόγῳ τῶν Ἀισμάτων ὡς δεκαπλασιάσαντες ἐν ἀγαθοεργίαις τὴν δεδομένην πρὸς αὐτοὺς ἑξάδα τῶν ταλάντων. οἵτινες ὄντες δυνατοὶ τῇ χάριτι τῇ θείᾳ θάμβους ἐνέπλησαν πολλοῦ τὰ στίφη τῶν δαιμόνων τῶν ἐν νυξὶ τὸν πόλεμον ἐχόντων κατ' ἀνθρώπων, ὥσπερ ἐκπλήττει τις ἀνὴρ ῥομφαίαν μηρῷ φέρων τοὺς μὴ πρὸς πόλεμον καλῶς ἐκδεδοκιμασμένους. ἐκεῖνοι γὰρ σπασάμενοι τὸ τοῦ σταυροῦ σημεῖον ὥσπερ ῥομφαίαν δίστομον ἠκονημένην λίαν πρὸς τὰς ἀρχὰς ἀντέστησαν καὶ πρὸς τὰς ἐξουσίας τοῦ κοσμοκράτορος σατᾶν, τοῦ σκότους τοὺς προστάτας. Ταῦτα μὲν οὕτω παρ' ἡμῶν ὡς δυνατὸν ἐλέχθη· εἰ δ' ἴσως κατὰ σύνταξιν ὁ λόγος οὐ προβαίνει, μὴ τὸ θαυμάσῃς, δέσποτα, μηδὲ δυσαρεστήσῃς, οὕτως γὰρ ἔχει τὰ πολλὰ τῶν προφητικωτέρων. Φέρε λοιπὸν ἁψώμεθα τῶν ἐφεξῆς ᾀσμάτων. φορεῖον ἐποίησεν ἑαυτῷ ὁ βασιλεὺς Σολομῶν ἀπὸ ξύλου τοῦ Λιβάνου. στύλους αὐτοῦ ἐποίησεν ἀργυροῦς καὶ τὸ ἀνάκλιτον αὐτοῦ ἐπίβασιν αὐτοῦ πορφυρᾶν, ἐντὸς αὐτοῦ λιθόστρωτον, ἀγάπην ἀπὸ θυγατέρων Ἱερουσαλήμ [3, 9–10]. Ὁ λόγος ὁ προκείμενος τοῦ μέλους τῶν Ἀισμάτων τὴν ἐξ ἐθνῶν αἰνίττεται πανσόφως ἐκκλησίαν. ὁ βασιλεὺς γὰρ Σολομῶν, τοῦτ' ἔστιν ὁ νυμφίος, ἐν ταύτῃ κλίνει κεφαλὴν ὡς ἔν τινι φορείῳ· ἥντινα κατεσκεύασεν ἐκ ξύλων τοῦ Λιβάνου, τοῦτ' ἔστιν ἀπὸ τῶν ἐθνῶν τῶν ἀπωσμένων πάλαι. ἔστι μὲν γὰρ καὶ Λίβανος σεπτός, ἡγιασμένος, οὗτινος μέμνηται Δαυὶδ ὁ ψαλμογράφος λέγων· ὡς φοῖνιξ ἐξανθήσεται δίκαιος ἐν κυρίῳ καὶ πληθυνθήσεται καλῶς ὡς κέδρος ἐν Λιβάνῳ. ἔστι δὲ πάλιν Λίβανος ἀπόβλητος ἐν πᾶσιν, οὗπερ ἐπεύχεται Δαυὶδ τὰς κέδρους συντριβῆναι. στύλους δὲ σύ μοι νόησον καὶ βάσεις τοῦ φορείου τοὺς ἀποστόλους ἀληθῶς καὶ τοὺς προφήτας ὅλους, οἵτινες ὑπεστήριξαν Χριστοῦ τὴν ἐκκλησίαν καὶ τὴν ἀγάπην ηὔξησαν, ἤγουν τὴν σωτηρίαν, τῶν ἀνθρωπίνων δηλαδὴ ψυχῶν τῶν ἀπωσμένων. Ταῦτα μὲν οὖν λελάληκεν ὑπὲρ αὐτῆς ἡ νύμφη· εἶτα προτρέπεται ψυχαῖς ἁπάσαις τῶν ἀνθρώπων ὑπεξελθεῖν τῶν κοσμικῶν σκανδάλων καὶ θορύβων καὶ τὸν νυμφίον κατιδεῖν αὐταῖς συνηνωμένον. φησὶ γὰρ οὕτω πρὸς αὐτὰς ὑφ' ἡδονῆς ἡ νύμφη· ἐξέλθετε καὶ ἴδετε, θυγατέρες Σιών, ἐν τῷ βασιλεῖ Σολομῶν, ἐν τῷ στεφάνῳ ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ ἐν ἡμέρᾳ νυμφεύσεως καὶ ἐν ἡμέρᾳ εὐφροσύνης καρδίας αὐτοῦ [3, 11]. Ὦ θυγατέρες τῆς Σιών, φησὶν ἡ νύμφη πάλιν, ἐπείπερ ἔγωγε, τὸ πρὶν οὖσα μεμισημένη, γέγονα νῦν τερπνότατον φορεῖον τοῦ νυμφίου, θέλω καὶ πάσας ἐκφυγεῖν ὑμᾶς ἀπὸ τοῦ βίου καὶ καθαροῖς ἐν ὄμμασι προσβλέψαι τῷ νυμφίῳ περικειμένῳ στέφανον ἐκ λίθων σεβασμίων, ἐν ᾧπερ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ τούτου σήμερον μνηστευόμενον ἐμὲ τὴν ἐκκλησίαν. μήτηρ δὲ τούτου πέφυκεν ἡ τοῦ πατρὸς ἀγάπη. Τούτων ὡς ἤκουσεν αὐτῆς τῶν λόγων ὁ νυμφίος, πρὸς ἔπαινον ἐγείρεται τοῦ κάλλους αὐτῆς λέγων· ἰδοὺ εἶ καλή, ἡ πλησίον μου, ἰδοὺ εἶ καλή [4, 1].

Καλὴ γὰρ ὄντως πέφυκας, φησί, κἀμοῦ πλησίον, πάσας σωθῆναι θέλουσα τὰς ψυχὰς τῶν ἀνθρώπων. Εἶτ' ἐπαινέσαι βουληθεὶς αὐτὴν καὶ κατὰ μέρος φησί πως οὕτω



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πρὸς αὐτήν, ἤγουν τὴν ἐκκλησίαν· ὀφθαλμοί σου περιστερᾶς [4, 1]. Ὥσπερ ἐν σώματι βροτοῦ πολλὰ τυγχάνει μέλη, πόδες καὶ χεῖρες καὶ μασθοὶ καὶ στῆθος καὶ κοιλία, οὕτω καὶ σῶμα πάνσεπτον τῆς θείας ἐκκλησίας, οὗπερ τυγχάνει κεφαλὴ Χριστὸς ὁ καὶ νυμφίος, καὶ χεῖρας ἔχει τροπικῶς καὶ πόδας καὶ κοιλίαν ὄμματά τε καὶ τράχηλον ὀδόντας τε καὶ τρίχας. τούτων γοῦν πάντων τῶν μερῶν καὶ τῶν μελῶν τὸ κάλλος τῆς νύμφης θέλων ἐπαινεῖν Χριστὸς ὁ καὶ νυμφίος ἐξ ὀφθαλμῶν ἀπήρξατο τὸν ἔπαινον συμπλέκειν. σὺ δ' ὀφθαλμοὺς ἐννόησον τῆς θείας ἐκκλησίας τὸ σύνταγμα τῶν προφητῶν τῶν ὀξυδερκεστάτων. Θέλων δὲ ταύτης ἐπαινεῖν τοὺς ὀφθαλμοὺς τοὺς ἔνδον φησὶ καὶ τοῦτο πρὸς αὐτήν, ὡς καθ' εἱρμὸν εὑρήσεις· ἐκτὸς τῆς σιωπήσεώς σου [4, 1]. Τοὺς ὀφθαλμούς σου γάρ, φησιν, ἐπῄνεσα τοὺς ἔξω, οἱ γὰρ ἐντὸς ὑπέρτεροι τυγχάνουσιν ἐπαίνων. τριχώματά σου ὡς ἀγέλαι τῶν αἰγῶν αἱ ἀποκαλυφθεῖσαι ἀπὸ τοῦ Γαλαάδ [4, 1]. Ταῦτα μὲν οὖν ὡς γυναικὶ προσομιλεῖ τῇ νύμφῃ· εἰ δ' ἀναγωγικώτερον ἐξερευνῆσαι θέλεις, τριχώματα πεφύκασι τῆς νύμφης καὶ παρθένου, ἤγουν ἐγκαλλωπίσματα τῆς θείας ἐκκλησίας, τὸ πλῆθος ὄντως τοῦ λαοῦ τῆς ἐξ ἐθνῶν ἀγέλης. ὀδόντες σου ὡς ἀγέλαι τῶν κεκαρμένων αἱ ἀναβαίνουσαι ἀπὸ τοῦ λουτροῦ, αἱ πᾶσαι διδυμεύουσαι, καὶ ἀτεκνοῦσα οὐκ ἔστιν ἐν αὐταῖς [4, 2]. Ὀδόντας δέ μοι γίνωσκε τοὺς θείους διδασκάλους τοὺς σαφηνίζοντας ἡμῖν γραφὴν τὴν σεβασμίαν, τοὺς τὰς φροντίδας τῆς σαρκὸς ἐναποκειραμένους καὶ τῷ τῆς συνειδήσεως λουτρῷ κεκαθαρμένους. διδυμοτόκους πάλιν δὲ τούτους ὁ λόγος εἶπεν ὡς καὶ ψυχὰς καὶ σώματα καλῶς καθηγνισμένους. ὡς σπαρτίον κόκκινον χείλη σου, καὶ ἡ λαλιά σου ὡραία [4, 3]. Ἐν τούτοις πάλιν ἐπαινεῖ τὰ χείλη τὰ τῆς νύμφης. σὺ δὲ σπαρτίον γίνωσκε τῆς σιωπῆς τὸ μέτρον, τὴν δ' αὖ ὡραίαν λαλιὰν τὸ κήρυγμα τὸ θεῖον. φησὶ γάρ· σὺ κατώρθωσας τῆς σιωπῆς τὴν χάριν μηδὲν λαλοῦσα περιττὸν μηδὲ πεπλανημένον· εἰ γὰρ θελήσεις πώποτε λαλῆσαι καὶ φωνῆσαι, τὸ κήρυγμα τῆς πίστεως κηρύττεις καὶ διδάσκεις. ὡς λέπυρον ῥοᾶς μῆλόν σου ἐκτὸς τῆς σιωπήσεώς σου [4, 3]. Διπλοῦν κἀνταῦθα δέδωκε τὸν ἔπαινον τοῦ κάλλους. τὸ τοῦ προσώπου γὰρ αὐτῆς νῦν ἐπαινέσας μῆλον ὡς πλῆρες ἐρυθήματος καὶ σωφροσύνης γέμον, ἐπῄνεσε καὶ τῆς ψυχῆς τὸ κάλλος λέγων οὕτως· ἐκτὸς τῆς σιωπήσεως, τοῦ κάλλους τῆς ψυχῆς σου. ταῦτα μὲν οὖν ἐρωτικὴν ἔξωθεν ἔχει θέαν, ἀλλ' ἔνδον μεγαλοπρεπεῖς τὰς ἀναβάσεις φέρει. ὡς πύργος Δαυὶδ τράχηλός σου ὁ οἰκοδομημένος ἐν Θαλπιώθ· χίλιοι θυρεοὶ κρέμανται ἐπ' αὐτόν, πᾶσαι βολίδες δυνατῶν [4, 4]. Καὶ ταῦτα γυναικοπρεπῶς προσομιλεῖ τῇ νύμφῃ· θέλων γὰρ ταύτης ἐπαινεῖν τὸν τράχηλον ἐξόχως πύργῳ παρείκασεν αὐτὸν ὑψηλοτάτῳ πάνυ τῷ δομηθέντι πρότερον παρὰ Δαυὶδ τοῦ θείου ἐν Θαλπιὼθ πρὸς τήρησιν ἁπάντων τῶν ἁρμάτων τῶν τροπουμένων παρ' αὐτοῦ πολλάκις ἀλλοφύλων. Σὺ δέ μοι τράχηλον αὐτῆς τῆς θείας ἐκκλησίας τὸν μέγαν Παῦλον γίνωσκε, δέσποτα στεφηφόρε, τὸν τὸν Χριστὸν βαστάσαντα, τὴν κεφαλὴν τῶν ὅλων, καὶ κατ' ἐκεῖνον εἴ τινας ἑτέρους διδαχθήσῃ. τούτων καὶ γὰρ ἐξήρτηνται τάξεις τῶν ἀσωμάτων, οὕσπερ ὁ λόγος θυρεοὺς ἐκάλεσε χιλίους. μὴ μέντοι λόγον ἀπαιτῇς, δέσποτα, τῶν χιλίων, ἔθος γάρ ἐστι τῇ γραφῇ πολλάκις ταῦτα λέγειν, ὥς που φησίν, ὁ νόμος σου τοῦ στόματος τυγχάνει ὑπὲρ ἀργύρου καὶ χρυσοῦ, δέσποτα, χιλιάδας· καὶ χιλιάδας ἀλλαχοῦ τῶν εὐθηνούντων λέγει. δύο μασθοί σου ὡς δύο νεβροὶ δίδυμοι δορκάδος οἱ νεμόμενοι ἐν τοῖς κρίνοις [4, 5]. Καὶ τοῦτο γυναικοπρεπῶς ἔξωθεν λελεγμένον ἔσωθεν ἔχει θαυμαστὴν ἐξήγησιν καὶ χάριν. μασθοὺς γὰρ γίνωσκε διττοὺς τῆς θείας ἐκκλησίας αἷμα καὶ ὕδωρ τὸ σεπτὸν τοῦ λόγου καὶ σωτῆρος, δι' ὧν ἀρδεύονται ψυχαὶ πιστῶν εἰς σωτηρίαν. ἕως οὗ διαπνεύσῃ ἡμέρα καὶ κινηθῶσιν αἱ σκιαί, πορεύσομαι ἐμαυτῷ πρὸς τὸ ὄρος τῆς σμύρνης καὶ πρὸς τὸν βουνὸν τοῦ λιβάνου [4, 6].



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἐν τούτοις ὑπαινίττεται τὸ πάθος τοῦ σωτῆρος. σμύρνης γὰρ ὄρος γίνωσκε τὰ πάθη τοῦ σωτῆρος, λιβάνου πάλιν δὲ βουνὸν ἴσθι τὴν δόξαν τούτου, ἥνπερ ἐδόξασεν αὐτὸν πατὴρ ἄνωθεν μόνος. τοῦτο γοῦν ὅλον πέφυκεν ὃ λέγει τῇ παρθένῳ· δεῦρό μοι συσταυρώθητι πρὸς πάθος ἠπειγμένῳ, ἵνα μεγάλως σὺν ἐμοὶ πατρόθεν δοξασθήσῃ. αὐτομολεῖν γὰρ ἔγωγε βούλομαι πρὸς τὸ πάθος, ὅπως αὐγάσω τοῖς πιστοῖς ἡμέραν σωτηρίας καὶ κινηθῶσιν αἱ σκιαὶ πᾶσαι τῆς ἀθεΐας· πλὴν ἐμαυτῷ πορεύσομαι, τοῦτ' ἔστιν ἑκουσίως. Ταῦτα μὲν οὖν λελάληκεν ὁ κάλλιστος νυμφίος. ἐπεὶ δὲ ταύτην ἔγνωκε τούτῳ συσταυρωθεῖσαν καὶ πᾶσαν ἐκπληρώσασαν τὴν ἐντολὴν ἐκείνου, πάλιν ἐπῄνεσεν αὐτήν. φησὶ γὰρ οὕτω τάδε· καλὴ εἶ, πλησίον μου, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί [4, 7]. Εἶτα πρὸς μείζονα καλεῖ ταύτην ἀρθῆναι δόξαν· δεῦρο ἀπὸ Λιβάνου, νύμφη, δεῦρο ἀπὸ Λιβάνου ἐλεύσῃ καὶ διελεύσῃ ἀπ' ἀρχῆς πίστεως, ἀπὸ κεφαλῆς Σανὴρ καὶ Ἑρμών, ἀπὸ μανδρῶν λεόντων, ἀπὸ ὀρέων παρδάλεως [4, 8]. Ἐπεί, φησίν, ἐλήλυθας εἰς ὄρος τὸ τῆς σμύρνης καὶ συνανέβης ἔμοιγε βουνὸν τὸν τοῦ λιβάνου, ἤγουν ἐμοὶ συνέπαθες, εἶτα συνεδοξάσθης, δεῦρο λοιπὸν ἀνάβηθι τάχος ἐκ τοῦ Λιβάνου πρὸς ὑψηλότερά τινα τῆς προκοπῆς χωρία, καὶ μὴ παυθήσῃ πώποτε συναναβαίνουσά μοι καὶ φεύγουσα παραδάλεων μάνδρας καὶ τῶν λεόντων. Ἐπεὶ δ' ὁ λόγος γέγονεν ἔργον ἐκ τῶν πραγμάτων, καὶ συνυψώθη τῷ Χριστῷ, τῷ καθαρῷ νυμφίῳ, οἱ φίλοι κατεπλάγησαν τὴν προκοπὴν τῆς νύμφης καὶ πρὸς αὐτὴν θαυμαστικῶς ἐξεῖπον τὴν παρθένον· ἐκαρδίωσας ἡμᾶς, ἀδελφὴ ἡμῶν νύμφη, ἐκαρδίωσας ἡμᾶς ἑνὶ ἀπὸ τῶν ὀφθαλμῶν σου, ἐν μιᾷ ἐνθέματι τραχήλου σου [4, 9]. Ἐδίδαξας ἡμᾶς, φασί, περὶ θεοῦ τι πλέον ὁρῶντάς σου τὸν ὀφθαλμὸν τὸν τῆς ψυχῆς, ὦ νύμφη, ἐνατενίζοντα θερμῶς τῷ λόγῳ καὶ νυμφίῳ καὶ τῆς ψυχῆς τὸν τράχηλον τῆς σῆς ὑποκλιθέντα καὶ τοῦ Χριστοῦ τὸν ἐλαφρὸν ζυγὸν ἀναλαβόντα. ὡς ὄντως ἐκαρδίωσας ἡμᾶς, φασίν, ὦ νύμφη· ὡς ἀπὸ σοῦ γὰρ ἔγνωμεν τὴν σάρκωσιν τοῦ λόγου. Οὕτω μὲν οὖν ἐπῄνεσαν οἱ φίλοι τὴν παρθένον· ἀλλ' ἀκουσώμεθα λοιπὸν καὶ πάλιν τοῦ νυμφίου. τί ἐκαλλιώθησαν μασθοί σου, ἀδελφή μου νύμφη· τί ἐκαλλιώθησαν μασθοί σου ἀπὸ οἴνου [4, 10]. Ἐνταῦθα πάλιν ἐπαινεῖ τῆς θείας ἐκκλησίας τὴν τῶν μασθῶν ἀλλοίωσιν, ἤγουν τῶν διδαγμάτων. αὐξήσασα τὰ τέκνα γάρ, ὥσπερ γυνὴ φιλόπαις, τὸν ἐξ ἐθνῶν φημι λαόν, καὶ τοῦτον καθορῶσα πρὸς μέτρον φθάσαντα στερρὸν τῆς θείας ἡλικίας καὶ μὴ ψελλίζοντα ποσῶς τὴν πίστιν τὴν ἁγίαν, οἶνον ἀντὶ τοῦ γάλακτος προχέει καθ' ἡμέραν, τοῦτ' ἔστιν ὑψηλότερα δόγματα τούτοις νέμει. τὸ πρὶν μὲν γὰρ ἐδίδασκεν αὐτοῖς ὡς νεωτέροις πατέρα σέβειν καὶ υἱὸν καὶ πνεῦμα, θεὸν ἕνα, ὅπερ ὡς γάλα πέφυκε δῆθεν διδασκαλίας, νῦν δὲ διδάσκει σωφρονεῖν, φυλάττειν παρθενίαν, ἐγκράτειαν ἀσπάζεσθαι, τηρεῖν δικαιοσύνην, ἅπερ ὡς οἶνος λέγεται διδασκαλίας εἶναι. καὶ ὀσμὴ ἱματίων σου ὑπὲρ πάντα τὰ ἀρώματα [4, 10]. Ἣν δ' ἀπὸ σοῦ περιβολὴν τῶν ἱματίων ἔχω ἐκ τῶν προσαγομένων μοι, φησί, θυμιαμάτων, κρείττονα πάντων ἥγημαι τῶν ἀρωμάτων μόνην. κηρίον ἀποστάζουσι τὰ χείλη σου, νύμφη [4, 11]. Ἣν γάρ, φησί, τοῖς τέκνοις σου νέμεις διδασκαλίαν, ὑπὲρ κηρίον πέφυκε γλυκάζουσα καὶ μέλι. μέλι καὶ γάλα ὑπὸ τὴν γλῶσσάν σου [4, 11]. Οὐ γάρ, φησί, μονοειδῆ τὸν λόγον νέμεις πᾶσιν, ἀλλὰ κατάλληλον παντὶ καὶ πᾶσι κατ' ἀξίαν· τοὺς μὲν γὰρ γαλακτοτροφεῖς, τοὺς νηπιωδεστέρους, τοὺς δ' αὖ γε μελιτοτροφεῖς, τοῦτ' ἔστι τοὺς τελείους. καὶ ὀσμὴ ἱματίων σου ὀσμὴ λιβάνου [4, 11]. Κἂν ὑπερτέραν ἄνωθεν πάντων τῶν ἀρωμάτων τῶν ἱματίων τὴν ὀσμὴν εἶπε τῆς ἐκκλησίας, ἀλλ' ἴσην ἀπεφήνατο νῦν εἶναι τῷ λιβάνῳ, ἤγουν ἁπάντων κρείττονα τῶν ἀρωμάτων εἶναι. κῆπος κεκλεισμένος ἀδελφή μου νύμφη, κῆπος κεκλεισμένος, πηγὴ ἐσφραγισμένη [4, 12]. Ποικιλοτρόπως ἐπαινεῖ τὴν νύμφην ὁ νυμφίος. κῆπος γὰρ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πέφυκας, φησίν, ὦ νύμφη, κεκλεισμένος, ἔχουσα πάντων τῶν καλῶν ἐν ἑαυτῇ τὴν ὥραν, ἐλαίαν τὴν κατάκαρπον συκῆν τε τὴν γλυκεῖαν· πηγὴ δὲ πάλιν πέφυκας καλῶς ἐσφραγισμένη, καθ' ὅσον μάτην οὐδαμῶς τὸ νᾶμά σου προχέεις, ἀλλὰ ποτίζεις τοὺς πιστοὺς διψῶντας σωτηρίαν. ἀποστολαί σου παράδεισος ῥοῶν μετὰ καρπῶν ἀκροδρύων, κύπροι μετὰ νάρδων, νάρδος καὶ κρόκος, κάλαμος καὶ κινάμωμον μετὰ πάντων ξύλων τοῦ Λιβάνου, σμύρνα ἀλόη μετὰ πάντων πρώτων μύρων [4, 13–14]. Ἐν τούτοις ὑπαινίττεται ξύμπασιν ὁ νυμφίος τοῦ δόγματος τῆς πίστεως ἡμῶν τῆς ἀμωμήτου τὸ φοβερὸν καὶ κάλλιστον εὐῶδές τε καὶ θεῖον, ἥνπερ πρεσβεύει πάντοτε στόμα τῆς ἐκκλησίας. ἀποστολαί σου, γάρ φησιν, ἤγουν αἱ διδαχαί σου, παράδεισος πεφύκασι ῥοῶν ἠγλαϊσμένος καὶ πάσης χάριτος μεσταὶ τυγχάνουσιν, ὦ νύμφη. πηγὴ κήπων [4, 15]. Οὐ γὰρ εἰς μάτην σου, φησί, τὰ νάματα προχέεις, ἀλλὰ ποτίζεις τοὺς πιστούς, ἤγουν φυτὰ τὰ θεῖα. φρέαρ ὕδατος ζῶντος καὶ ῥοιζοῦντος ἀπὸ τοῦ Λιβάνου [4, 15]. Τοσοῦτον γάρ, φησί, καλῶς πρὸς ἀρετὰς ὑψώθης, ὡς καὶ τῆς κλήσεως αὐτῆς ἔμοιγε συμμετέχεις. ἐγὼ γὰρ ζῶντος ὕδατος ὄντως τυγχάνω φρέαρ, ὁ κατελθὼν ἐξ οὐρανοῦ ὡς ὑετὸς εἰς πόκον, ὥσπερ ἐξ ὄρους ὑψηλοῦ τοῦ θαυμαστοῦ Λιβάνου. ἐξεγέρθητι, βορρᾶ, καὶ ἔρχου, νότε, διάπνευσον κῆπόν μου καὶ πνευσάτωσαν ἀρώματά μου [4, 16]. Ἐπείπερ ἐπελάβετο πάντων τῆς ἐξουσίας ἡ ἐκκλησία τοῦ θεοῦ, κῆπος ὀνομασθεῖσα ἔχων ἁπάντων τῶν φυτῶν ἐν ἑαυτῷ τὴν ὥραν, τοῦ μὲν βορρᾶ τὴν κάκιστον ἔμπνευσιν ἀφορίζει τὴν ἀποκρυσταλλώσασαν τὸ κάλλος τῶν ἀνθέων, τὸν νότον δὲ τὸν κάλλιστον καλεῖ προσεπιπνεῦσαι, ὃς ἐπιπνεύσας ἐν Σιὼν τοῖς ἀποστόλοις πάλαι ῥεύματα λόγου δέδωκε τοῖς ἀγραμμάτοις χέειν. ἐκεῖνο τὸ πανάγιον τοίνυν ἡ νύμφη πνεῦμα καλεῖ πρὸς κῆπον τὸν αὐτῆς πνεῦσαι τὴν σωτηρίαν, ὡς ἂν καρποφορήσωσι πάντα τὰ τέκνα ταύτης καὶ τὸν Χριστὸν εὐφράνωσι τὸν λόγον καὶ νυμφίον. Ἐπεὶ γοῦν ὃ κεκέλευκεν εἰς ἔργον ἐγεγόνει καὶ τὸν βορρᾶν σιγήσαντα κατεῖδεν ἡ παρθένος καὶ πνεύσαντα τὸν κάλλιστον ὄντως καὶ θεῖον νότον καὶ καρποφόρα δείξαντα πάντα τὰ τέκνα ταύτης, ἐπεύχεται τὸ κατελθεῖν τὸν θαυμαστὸν νυμφίον εἰς τὸν καρποφορήσαντα κῆπον αὐτῆς ἐν τάχει, ὡς ἂν τρυγήσῃ τοὺς καρποὺς αὐτῆς τῶν ἀκροδρύων, τοῦτ' ἔστιν ὅπως εὐφρανθῇ τοῖς καρποφόροις τέκνοις. εἰ μὴ γὰρ οὕτως πρὸς ἡμᾶς τοὺς ταπεινοὺς κατέλθῃ, ἀναλαμβάνων τοὺς πραεῖς κατὰ τὸν ψαλμογράφον, οὐκ ἔστιν ἄλλως πως ἡμᾶς εἰς οὐρανοὺς ἀρθῆναι. Ταῦτα μὲν λελιπάρηκεν ἡ νύμφη τὸν νυμφίον· ὁ δὲ πληρῶν τὰ σύμπαντα καὶ πανταχοῦ τυγχάνων, ὁ λέγων «ἰδοὺ πάρειμι» τοῖς ἐπικαλουμένοις, πρὶν πληρωθῆναι τὴν εὐχὴν τῆς νύμφης ἐπακούσας εἰς κῆπον κατελήλυθεν αὐτῆς ὡς ἠβουλήθη καὶ τοὺς καρποὺς ἐτρύγησε ταύτης τῶν ἀκροδρύων. φησὶ γὰρ οὕτω πρὸς αὐτήν, ὡς καθ' εἱρμὸν εὑρήσεις· εἰσῆλθον εἰς κῆπόν σου, ἀδελφή μου νύμφη, ἐτρύγησα σμύρναν μου μετὰ ἀρωμάτων, ἔφαγον ἄρτον μου μετὰ μέλιτος, ἔπιον οἶνόν μου μετὰ γάλακτος [5, 1].

Κατῆλθον ἔγωγε, φησί, πρὸς κῆπόν σου, παρθένε, καὶ τῶν καρπῶν ἀπήλαυσα τῶν σῶν φυτῶν εἰς κόρον, καὶ τῇ θερμῇ τῶν τέκνων σου πίστει καὶ μετανοίᾳ μεγάλην ἔσχηκα χαράν, μεγάλην εὐφροσύνην. τοῦτο γὰρ ὅλον πέφυκεν ὁ τρυγητὸς τῆς σμύρνης ἡ βρῶσίς τε τοῦ μέλιτος, τοῦ γάλακτος ἡ πόσις. Ταῦτα τὴν νύμφην προσειπὼν Χριστὸς ὁ καὶ νυμφίος ὥσπερ ἀντίχαρίν τινα τῆς μελιτοτροφίας τὸ σῶμα δίδωσιν αὐτοῦ τοῖς τέκνοις τῆς παρθένου. φησὶ γὰρ οὕτω πρὸς αὐτούς, πλὴν μόνους τοὺς ἀξίους, οὓς καὶ πλησίον εἴρηκεν ὄντως αὐτοῦ τυγχάνειν· φάγετε, οἱ πλησίον μου, πίετε καὶ μεθύσθητε, ἀδελφοί μου [5, 1]. Ὅσοι πεφύκατε, φησί, τοῖς ἔργοις ἀδελφοί μου, τὸ σῶμα μέν μου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φάγετε, τὸ δ' αἷμα πίετέ μου. εἶτα μεθύσθητε, φησίν, ἀπὸ τῆς εὐφροσύνης καὶ πάντων λήθην λάβετε τῶν κοσμικῶν φροντίδων, ὡς ἐν ἐκστάσει δήπουθεν γενόμενοι τῇ μέθῃ. Εἶτα δεικνὺς ὁ καθαρὸς δεσπότης καὶ νυμφίος ὡς ἑκουσίως θάνατον ὑπὲρ ἡμῶν ὑπέστη ἡ σάρξ τε πέπονθεν αὐτοῦ, πάντως οὐχ ἡ θεότης, φησὶ καὶ τοῦτο πρὸς αὐτούς, οὓς εἴρηκε πλησίον· ἐγὼ καθεύδω καὶ ἡ καρδία μου ἀγρυπνεῖ [5, 2]. Ἐγώ, φησί, κἂν τέθνηκα σαρκὶ τῇ προσληφθείσῃ, ἀλλ' ἡ θεότης ἀπαθὴς ὅλως μεμένηκέ μου. Ἀλλ' αὖθις ἀκουσώμεθα τῆς νύμφης τῶν Ἀισμάτων. φωνὴ τοῦ ἀδελφιδοῦ μου, κρούει ἐπὶ τὴν θύραν μου· ἄνοιξόν μοι, ἀδελφή μου, πλησίον μου, περιστερά μου, τελεία μου, ὅτι ἡ κεφαλή μου ἐπλήσθη δρόσου καὶ οἱ βόστρυχοί μου ψεκάδος νυκτός [5, 2]. Φησίν· ἐν μέσῳ τῆς νυκτὸς ὡς ἦλθεν ὁ νυμφίος, τὰς θύρας ἀναπέτασον, εἶπέ μοι, τῆς καρδίας, ὡς ἂν ἐν σοὶ ποιήσωμαι μονὴν σὺν τῷ πατρί μου. ταῖς ἀρεταῖς γὰρ πέφυκας ὄντως ἐμοῦ πλησίον. εἰ γοῦν ἀνοίξεις μοι, φησί, δώσω σοι δῶρον μέγα, τὴν δρόσον μου τῆς κεφαλῆς, ψεκάδας τῶν βοστρύχων, ἤγουν, ἰάσεις ἐκτελεῖν δώσω σοι πρὸς ἀνθρώπους· ἴαμα γὰρ ἡ δρόσος μου τυγχάνει τοῖς ἀνθρώποις. Ταῦτα μὲν οὖν θυροκρουστῶν, φησίν, ἐκεῖνος εἶπεν, ἐγὼ δ' ἐξεῖπον πρὸς αὐτόν, τοῦτ' ἔστι τὸν νυμφίον· ἐξεδυσάμην τὸν χιτῶνά μου, πῶς ἐνδύσομαι αὐτόν; ἐνιψάμην τοὺς πόδας μου, πῶς μολυνῶ αὐτούς; [5, 3]. Ἐγώ, φησί, καὶ πρόπαλαι τὰς θύρας ἤνοιξά σοι· τὸ γὰρ τῆς παραβάσεως ἐξεδυσάμην πάχος, ὅπερ οὐκ ἐπενδύσομαι πώποτε μεταγνοῦσα, καὶ μολυσμὸν ἀπέρριψα τῆς γῆς ἐκ τῶν ποδῶν μου καὶ τούτους παρεσκεύασα πρὸς τρίβους σωτηρίας, οὕσπερ οὐκέτι μολυνῶ στραφεῖσα πρὸς τοὐπίσω. Τούτων αὐτῆς ὡς ἤκουσε τῶν λόγων ὁ νυμφίος, ἔνδον ἠθέλησεν αὐτῆς ὥσπερ κατασκηνῶσαι, ἀλλ' οὔκουν τὸν ἀχώρητον ἦν ὅλως χωρηθῆναι· ταύτην καὶ γὰρ ἐπλήρωσεν ἡ χεὶρ αὐτοῦ καὶ μόνη, ὡς ἀπ' αὐτῶν μαθεῖν ἔστι τῆς νύμφης τῶν ᾀσμάτων. φησὶ γὰρ οὕτω καθεξῆς ἡ νύμφη καὶ παρθένος· ἀδελφιδός μου ἀπέστειλε χεῖρα αὐτοῦ ἀπὸ τῆς ὀπῆς, καὶ ἡ κοιλία μου ἐθροήθη ἐπ' αὐτόν [5, 4]. Ἐγώ, φησί, κἂν ἤνοιξα πᾶσαν ἐμοῦ τὴν θύραν, ὡς ὑποδέξασθαι Χριστόν, τὸν λόγον καὶ νυμφίον, πλὴν μόλις εἰσελήλυθεν ἡ χεὶρ αὐτοῦ καὶ μόνη· ὅθεν τὸ μέγεθος αὐτοῦ μεγάλως κατεπλάγην. καλῶς ἐφιλοσόφησεν ἡ καθαρὰ παρθένος. ἡ τῶν ἀνθρώπων φύσις γάρ, ἡ βραχυτάτη πάνυ ὅσον πρὸς φύσιν θεϊκήν, τοῦ θαυμαστοῦ νυμφίου ὅλην οὐ δύναται χωρεῖν τὴν θειοτάτην φύσιν, ὅσον ἐν ὑπολήψεσι καὶ ταῖς θεολογίαις. ἀνέστην ἐγὼ ἀνοῖξαι τῷ ἀδελφιδῷ μου· χεῖρές μου ἔσταξαν σμύρναν, οἱ δάκτυλοί μου σμύρναν πλήρη ἐπὶ χεῖρας τοῦ κλείθρου [5, 5]. Ἐγώ, φησίν, ὡς ἤνοιξα δέξασθαι τὸν νυμφίον, κἀκεῖνος ἦν ἀχώρητος ἐν τοῖς ἐμοῖς ἐγκάτοις, ἀνέστην πρὸς ἐπίπονον καὶ σκληροτέραν πρᾶξιν, ὅπως τοῖς πόνοις τοῖς πολλοῖς σαρκός τε τῇ νεκρώσει πλατύτερον ἀνοίξω μου τοῦ λογισμοῦ τὰς θύρας καὶ τὸν ἀχώρητον τὸ πρὶν εἰσδέξομαι νυμφίον. ὅθεν αἱ χεῖρές μου, φησί, μετὰ καὶ τῶν δακτύλων τοῖς πόνοις σμύρναν ἔσταξαν μέχρις αὐτῶν τῶν κλείθρων, τοῦτ' ἔστιν, ἀπενέκρωσα τὰ μέλη τῆς σαρκός μου, μέχρις τὰ κλεῖθρα ξύμπαντα καὶ θύρας ἤνοιξά μου καὶ πάσας ἀνεπέτασα τὰς τῆς ψυχῆς αἰσθήσεις. ἤνοιξα ἐγὼ τῷ ἀδελφιδῷ μου, ἀδελφιδός μου παρῆλθε [5, 6]. Ἀλλὰ κἂν ἤνοιξα, φησίν, ἁπάσας μου τὰς θύρας, οὐδ' οὕτως ἦν μοι χωρητὸς ὁ λόγος καὶ νυμφίος. ἡ ψυχή μου ἐξῆλθεν ἐν τῷ λόγῳ αὐτοῦ [5, 6]. Εἶτα, φησίν, ἀνύψωσα τὸν νοῦν πρὸς τὸν αἰθέρα ποθοῦσα δήπουθεν μαθεῖν σαφές τι περὶ τούτου, ἀλλ' ὅμως ὑψηλότερος καὶ τῶν φρενῶν ὑπῆρχε. Φησὶ γὰρ οὕτω καθεξῆς ἡ νύμφη καὶ παρθένος· ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον αὐτόν, ἐκάλεσα αὐτὸν καὶ οὐχ ὑπήκουσέ μου [5, 6]. Καὶ πῶς γὰρ εὑρεθήσεται καὶ κρατηθήσεταί που, ὅστις οὐδέν τι πέφυκεν ἐκ τῶν γινωσκομένων, οὐκ εἶδος, οὐ χρωματισμός, οὐ τόπος, οὐ ποσότης; εὕροσάν με οἱ φύλακες οἱ κυκλοῦντες ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῇ πόλει, ἐπάταξάν με, ἐτραυμάτισάν με [5, 7]. Ὢ τῆς καλλίστης προκοπῆς τῆς νύμφης καὶ παρθένου. ἰδοὺ γὰρ ἀνελήλυθε καὶ μέχρι τῶν ἀγγέλων· οὗτοι γὰρ φύλακές εἰσι τῆς πόλεως τῆς ἄνω. εὕροσαν τοίνυν με, φησί, τὸν λόγον ψηλαφῶσαν, καὶ λόγοις ἐτραυμάτισαν καὶ κατεπλήγωσάν με· τοῦτο καὶ γὰρ ἐξεῖπόν μοι τῶν ἄγαν ἀδυνάτων, τὸ τὴν κατάληψιν ζητεῖν τῆς ἀκαταληψίας. ἦραν τὸ θέριστρον ἀπ' ἐμοῦ οἱ φύλακες τῶν τειχέων [5, 7]. Ἦραν τὸ περικάλυμμα, φησί, τῶν ὀφθαλμῶν μου, ὥστε με καθαρώτερον γνωρίσαι τὸν νυμφίον τοῖς πᾶσιν ἀκατάληπτον εἶναι, καὶ τοῖς ἀγγέλοις. Ὅθεν ἐπαπορήσασα πάντοθεν ἡ παρθένος τοὺς φύλακας ἐκδυσωπεῖ, τοῦτ' ἔστι τοὺς ἀγγέλους, τὸν πόθον ταύτης τὸν πολὺν μηνῦσαι τῷ νυμφίῳ. φησὶ γὰρ οὕτω πρὸς αὐτοὺς ἐξ ὅλης τῆς καρδίας· ὥρκισα ὑμᾶς, θυγατέρες Ἱερουσαλήμ, ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ, ἐὰν εὕρητε τὸν ἀδελφιδόν μου, ἀπαγγείλατε αὐτῷ ὅτι τετρωμένη ἀγάπης εἰμὶ ἐγώ [5, 8]. Ὁρκίζω δή, φησίν, ὑμᾶς τῇ τοῦ ἀγροῦ δυνάμει, τοῦτ' ἔστιν ἐν τῇ χάριτι τῆς θείας δυναστείας, ἵνα τὸν πόθον τὸν ἐμὸν εἴπητε τῷ νυμφίῳ. Ταῦτα μὲν λελιπάρηκεν ἡ νύμφη τοὺς ἀγγέλους· ἀμηχανοῦντες δὲ λοιπὸν τὴν εὕρεσιν ἐκείνου καὶ τῶν ἀγγέλων οἱ χοροί, φασὶ πρὸς τὴν παρθένον· τί ἀδελφιδὸς ἀπὸ ἀδελφιδοῦ, ἡ καλὴ ἐν γυναιξί; τί ἀδελφιδός σου ἀπὸ ἀδελφιδοῦ, ὅτι οὕτως ὥρκισας ἡμᾶς; [5, 9]. Ὁποδαπός τις πέφυκε, φασίν, ἀδελφιδοῦς σου; ἐν τίσι δὲ σχηματισμοῖς χαρακτηρίζεταί σοι; δίδαξον ἅπαντα καλῶς ἡμῖν ὡς ἀγνοοῦσιν. ἀδελφιδός μου λευκὸς καὶ πυρρός, ἐκλελοχισμένος ἀπὸ μυριάδων [5, 10]. Ἐκεῖνος πέφυκε, φησίν, ὄντως ἀδελφιδοῦς μου, ὃς ἐν σταυρῷ τὴν ἄχραντον πλευρὰν λελογχισμένος αἷμα καὶ ὕδωρ ἔβλυσεν ἀνθρώποις παραδόξως· ὃς ἀπὸ πάντων τῶν βροτῶν μόνος ἐκ τῆς παρθένου ἄνευ λοχείας προελθὼν ἄνθρωπος ἐγνωρίσθη. κεφαλὴ αὐτοῦ χρυσίον Ὀφάζ [5, 11]. Ὅστις τυγχάνει καθαρός, φησίν, ἐξ ἁμαρτίας. βόστρυχοι αὐτοῦ ἐλατοί, μέλανες ὡσεὶ κόρακες [5, 11]. Οὗτινος πέφυκε, φησί, κόσμος βοστρύχων δίκην Πέτρος καὶ Παῦλος οἱ τὸ πρὶν ὄντες ζεζοφωμένοι καὶ πᾶς ἐξ ἔθνους βαπτισθεὶς καὶ προσελθὼν ἐκείνῳ. ὀφθαλμοὶ αὐτοῦ ὡς περιστεραὶ ἐπὶ πληρώματος ὑδάτων λελουμέναι, ἐν γάλακτι καθήμεναι ἐπὶ πληρώματα [5, 12]. Οὗτινος πάλιν ὀφθαλμοὶ τυγχάνουσι προφῆται, ἀκέραιοι τὴν φρόνησιν καὶ θαυμαστοὶ τοῖς τρόποις, ἐπὶ πληρώματος, φησίν, ὑδάτων λελουμένοι, ἤγουν ἐν πάσαις ἀρεταῖς ὄντες ἠγλαϊσμένοι. ἐν γάλακτι καθήμενοι πληρώματος ὑδάτων· οὐκ ἐπιδεικτικῶς, φησί, τὴν ἀρετὴν αὐχοῦντες, ἀλλὰ καὶ πάνυ γαληνῶς αὐτὴν ἐπιτελοῦντες. σιαγόνες αὐτοῦ ὡς φιάλαι τῶν ἀρωμάτων φύουσαι τὰ μυρεψικά, χείλη αὐτοῦ κρίνα στάζοντα σμύρναν πλήρη [5, 13]. Τὸν πάγχρυσον αἰνίττεται Χρυσόστομον ὁ λόγος καὶ τοὺς αὐτῷ τυγχάνοντας ἴσους καὶ διδασκάλους, τὸν μέγιστον Βασίλειον, Γρηγόριον τὸν πάνυ, τοὺς ἐκ χειλέων στάζοντας λόγους διδασκαλίας καὶ μέλι τὸ ἡδύτερον, οὗπερ οἱ γεγευσμένοι σμύρνης ἐμπίπλανται πολλῆς τοῦ λόγου τῇ δυνάμει, ἤγουν νεκροῦσι τὰ τῆς γῆς αὐτῶν ἐν πόνοις μέλη καὶ συσταυροῦνται τῷ Χριστῷ καὶ συνυψοῦνται τούτῳ. χεῖρες αὐτοῦ τορνευταὶ χρυσαῖ πεπληρωμέναι θαρσείς, κοιλία αὐτοῦ πυξίον ἐλεφάντινον ἐπὶ λίθου σαπφείρου, κνῆμαι αὐτοῦ στῦλοι μαρμάρινοι τεθεμελιωμένοι ἐπὶ πτώσεις χρυσᾶς [5, 14–15]. Ταῦτα μὲν οὖν ἡ καθαρὰ παρθένος τε καὶ νύμφη τοῖς φύλαξιν ὡμίλησε, τοῦτ' ἔστι τοῖς ἀγγέλοις, τὸ κάλλος ὑπεμφαίνουσα δῆθεν τὸ τοῦ νυμφίου. σὺ δέ μοι πάντων τροπικῶς τὰς ἐξηγήσεις δέχου. ἐπεὶ γὰρ πάντων κεφαλὴ Χριστὸς τυγχάνει μόνος, σῶμα δὲ τούτου πέφυκεν ἡ θεία ἐκκλησία καὶ μέλη τούτου λέγομεν καὶ μέρη τοὺς ἁγίους, τὸν μὲν ἐκείνου τράχηλον, τὸν δ' αὖ ἐκείνου πόδας, λοιπὸν καὶ χεῖρας γίνωσκε τούτου τετορνευμένας τοὺς ἀποστόλους τοὺς σεπτούς, τοὺς θείους ἱεράρχας, τοὺς οἰκονόμους τοὺς πιστοὺς τῆς χάριτος τῆς θείας, οἵτινες κατετόρνευσαν αὐτοὺς εὐεπηβόλως, ἅπασαν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀποξύσαντες ἀφ' ἑαυτῶν κακίαν, ὅθεν ἐλπίδων ἀγαθῶν εἰσὶν ἐμπεπλησμένοι. τούτου δὲ πάλιν γίνωσκε κοιλίαν ὡς πυξίον τῶν ἐναρέτων τὰς ψυχὰς πάντων καὶ τὰς καρδίας, ἐν αἷς ὁ νόμος τοῦ θεοῦ ἐστὶν ἐγγεγραμμένος. οἵτινες ἔχουσιν αὐτῶν τὸν νοῦν καὶ τὰς αἰσθήσεις τῷ βασιλεῖ τῶν οὐρανῶν ἐπαναπαυομένας· ὁ λίθος γὰρ ὁ σάπφειρος τοῦτο σημαίνειν θέλει, ἔστι γὰρ οὐρανοειδὴς μόνος ὁ λίθος οὗτος. κνήμας δὲ τούτου γίνωσκε Πέτρον τὸν κορυφαῖον, ἐν τούτῳ γὰρ ὁ κύριος αὐτοῦ τὴν ἐκκλησίαν οἰκοδομεῖν ὑπέσχετο κἀν τοῖς εὐαγγελίοις. εἶδος αὐτοῦ ὡς Λίβανος ἐκλεκτός [5, 15]. Εἶδος αὐτοῦ δὲ γίνωσκε, τοῦτ' ἔστι τοῦ νυμφίου, μέγιστον ὄντως καὶ φρικτὸν καὶ πυραυγὲς καὶ θεῖον· ταῦτα γὰρ εἶδος ἐκλεκτὸν σημαίνει τοῦ νυμφίου. φάρυγξ αὐτοῦ γλυκασμὸς καὶ ὅλος ἐπιθυμία [5, 16]. Φάρυγξ αὐτοῦ δὲ πέφυκεν ὁ πρόδρομος ὁ θεῖος, φωνὴ γὰρ οὗτος λέγεται τοῦ λόγου καὶ νυμφίου. Ταῦτα μὲν οὖν λελάληκε τοῖς φύλαξιν ἡ νύμφη, κἀκεῖνοι δ' ἀκριβέστερον αὖθις ἐπερωτῶσιν· ποῦ ἀπῆλθεν ὁ ἀδελφιδός σου, ἡ καλὴ ἐν γυναιξί; ποῦ ἀπέβλεψεν ὁ ἀδελφιδός σου; καὶ ζητήσομεν αὐτὸν μετὰ σοῦ [6, 1].

Ὁποδαπὸς ἦν πρότερον οὗτος μεμαθηκότες, νῦν ἐκζητοῦσι τοῦ μαθεῖν καὶ ποῦ ποτε μετέβη· οὐδέπω γὰρ ἐπέγνωσαν τὴν σάρκωσιν τοῦ λόγου, ἣν κατελθὼν ἐξ οὐρανοῦ ἀρρήτως ἐσαρκώθη. ὅτι δ' οὐ πᾶσιν ἔγνωστο, δέσποτα, τοῖς ἀγγέλοις τὸ τῆς ἐνανθρωπήσεως μυστήριον τοῦ λόγου μέχρι τῆς ἀναλήψεως αὐτοῦ πρὸς τὸν πατέρα, ἄκουσον τί φησι Δαυὶδ ἡ προφητῶν ἀκρότης. τῶν λειτουργούντων τότε γὰρ ταγμάτων τῷ σωτῆρι πρὸς τὴν ἀνάληψιν αὐτοῦ μεγάλως κεκραγότων «ἄρατε πύλας, ἄρατε, ταγμάτων ἀρχηγέται, ὡς εἰσελεύσεται Χριστὸς ὁ βασιλεὺς τῆς δόξης», οἱ μὴ γινώσκοντες, φησί, τὰ τῆς οἰκονομίας ἀντικεκράγασιν αὐτοῖς ὥσπερ ἐπαποροῦντες, «τίς ἐστιν οὗτος» λέγοντες «ὁ βασιλεὺς τῆς δόξης;» Ἀλλ' οὕτω μὲν εἰρήκασιν οἱ φύλακες τῇ νύμφῃ, ἡ δ' ἀπεκρίθη πρὸς αὐτοὺς λέγουσα τοὺς ἀγγέλους· ἀδελφιδός μου κατέβη εἰς κῆπον αὐτοῦ εἰς φιάλας τοῦ ἀρώματος, τοῦ ποιμαίνειν ἐν κήποις καὶ συλλέγειν κρίνα [6, 2]. Ἐκεῖνος κατελήλυθε, φησίν, ἀρρητοτρόπως, ὡς ἐπὶ πόκον ὑετός, ὡς ἐπὶ χλόην δρόσος, ἐν τῇ γαστρὶ τῆς καθαρᾶς καὶ παναμώμου κόρης ὡς εἰς φιάλην καθαρὰν τῶν θείων ἀρωμάτων, ἐξ ἧς ἀρρήτως προελθών, μόνος αὐτὸς ὡς οἶδεν, εἰς τὰς ψυχὰς τῶν καθαρῶν ἀνθρώπων μετερρύη. ταύτας γὰρ ἴσθι, δέσποτα, φιάλας ἀρωμάτων, ὥσπερ καὶ κῆπον γίνωσκε τοῦτον τὸν κόσμον, ἄναξ, ἐν ᾧ κατῆλθεν ὁ Χριστός, καὶ τοὺς πεπιστευκότας ἐποίμανεν ὡς ἀληθῶς τοῖς σεβασμίοις λόγοις· κρίνα γὰρ ταῦτα λέγονται, τὰ λόγια τὰ θεῖα. ἐγὼ τῷ ἀδελφιδῷ μου καὶ ὁ ἀδελφιδός μου ἐμοί [6, 3]. Ἀλλ' ἵνα τι, φησίν, ὑμᾶς σαφέστερον διδάξω, ἐκεῖνος ὅμοιος ἐμοὶ τυγχάνει κατὰ πάντα· ἔπλασε γάρ με πρότερον ἐκείνου κατ' εἰκόνα καὶ πάλιν ἀνεκαίνισε δεινῶς με συντριβεῖσαν ὡς τὴν ἐμὴν ἀνειληφὼς μορφὴν ἐκ τῆς παρθένου. Ταῦτα μὲν οὖν λελάληκεν ἡ νύμφη τοῖς ἀγγέλοις. ἀλλ' ὁ φιλανθρωπότατος δεσπότης καὶ νυμφίος, ἰδὼν τυρβάζουσαν αὐτὴν καὶ κατατρυχομένην καὶ μεριμνῶσαν περιττὰ καὶ ψηλαφῶσαν τοῦτον, πάλιν ἐπῄνεσεν αὐτὴν φωνήσας ἀοράτως· καλὴ εἶ, πλησίον μου, ὡς εὐδοκία, ὡραία ὡς Ἱερουσαλήμ, θάμβος ὡς τεταγμέναι [6, 4]. Καλή, φησί, γεγένησαι καὶ μῶμον οὔκουν ἔχεις, τῇ εὐδοκίᾳ τῇ ἐμῇ καλῶς ὁμοιωθεῖσα· καὶ σὺ γὰρ θέλεις ἅπαντας σωθῆναι τοὺς ἀνθρώπους. καὶ πάλιν Ἱερουσαλὴμ καλῶς ἐξωμοιώθης, ἐν ᾗπερ ἀναπέπαυμαι μετὰ καὶ τοῦ πατρός μου· ὅθεν καὶ θάμβος κέκτησαι καὶ φοβερὰ τυγχάνεις, ὥσπερ αἱ τεταγμέναι μου δυνάμεις τῶν ἀγγέλων. ἀπόστρεψον τοὺς ὀφθαλμούς σου ἀπεναντίον μου, ὅτι αὐτοὶ ἀνεπτέρωσάν με [6, 5]. Ἐμοί, φησί, λελάληκεν, ἐμοὶ σεπτὸς νυμφίος. λοιπὸν καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πρόσσχες· ἐπ' ἐμὲ τοὺς ὀφθαλμούς σου στρέψον, τὸ φῶς γὰρ ἀνεπτέρωσεν ἐμὲ τῶν ὀφθαλμῶν σου καὶ πάντων κατεφρόνησα τῶν ἐπὶ γῆς πραγμάτων. Ἀλλ' ὁ πληρῶν τὸ θέλημα τῶν φοβουμένων τοῦτον εὐθὺς ἐπέβαλεν αὐτῇ τοὺς ὀφθαλμοὺς τοὺς θείους, ἰδὼν δὲ ταύτην ἀρεταῖς κατακεκοσμημένην ἤρξατο ταύτην ἐπαινεῖν, φησὶ γὰρ οὕτω τάδε· τριχώματά σου ὡς ἀγέλαι τῶν αἰγῶν αἳ ἀνεφάνησαν ἀπὸ τοῦ Γαλαάδ. ὀδόντες σου ὡς ἀγέλαι τῶν κεκαρμένων αἱ ἀναβαίνουσαι ἀπὸ τοῦ λουτροῦ, αἱ πᾶσαι διδυμεύουσαι, καὶ ἀτεκνοῦσα οὐκ ἔστιν ἐν αὐταῖς. ὡς σπαρτίον κόκκινον χείλη σου, καὶ ἡ λαλιά σου ὡραία. λέπυρον ῥοᾶς μῆλόν σου ἐκτὸς τῆς σιωπήσεώς σου [6, 5–7]. Οὕτω μὲν οὖν ἐπῄνεσε τὴν νύμφην ὁ νυμφίος, γυναικικῶς, ἐρωτικῶς καὶ νυμφοπρεπεστάτως. σὺ δ' ἀλλὰ τούτους ξύμπαντας τῆς νύμφης τοὺς ἐπαίνους, ὡς ἡρμηνεύθης ἄνωθεν, γίνωσκε, στεφηφόρε· ταύτην τὴν ῥῆσιν γὰρ ἡμεῖς ἄνωθεν εὑρηκότες ἅπασαν ἡρμηνεύσαμεν ὡς δυνατὸν ἦν ὅλως. Ἀλλ' ἀκουσώμεθα λοιπὸν τοῦ τέλους τῶν Ἀισμάτων. ἑξήκοντά εἰσι βασίλισσαι καὶ ὀγδοήκοντα παλλακαί, καὶ νεανίδες ὧν οὐκ ἔστιν ἀριθμός· μία ἐστὶ περιστερά μου τελεία. εἴδοσαν αὐτὴν πᾶσαι θυγατέρες καὶ μακαριοῦσιν αὐτήν [6, 8–9]. Ὁ Σολομῶν ὁ πάνσοφος, ὁ θαυμαστὸς προφήτης, προφητικοῖς ἐν ὄμμασιν εἶδεν ὡς ἐν κατόπτρῳ τοὺς τρόπους καὶ τὰς ἀφορμὰς ψυχῶν τῶν σεσωσμένων, μᾶλλον δ' εἰπεῖν ὡς ἀληθῶς τὰς τάξεις καὶ τὰς βάσεις. τρεῖς γάρ εἰσιν, ὡς πέπεισμαι, τῶν σεσωσμένων τάξεις, υἱότης μισθαρνία τε καὶ μετ' αὐτὴν δουλότης. οἱ μὲν γὰρ ἀγαπήσαντες ἐξ ὅλης τῆς καρδίας τὸν εὐεργέτην τοῦ παντὸς ἐξ ἁπαλῶν ὀνύχων καὶ τῆς ἀγάπης ἕνεκα τούτου καὶ τῆς φιλίας τὸν κόσμον βδελυξάμενοι καὶ τὰ περὶ τὸν κόσμον, προσκολληθέντες τῷ Χριστῷ, τῷ λόγῳ καὶ νυμφίῳ, εἰς τάξιν ἔφθασαν υἱοῦ τῇ χάριτι τῇ θείᾳ. οἱ δὲ γλιχόμενοι τυχεῖν τῆς ἀκηράτου δόξης καὶ ταύτης χάριν ἔσπευσαν Χριστῷ δεδουλευκότες εἰς τάξιν ἔφθασαν αὐτοὶ καὶ τόπον τῶν μισθίων. οἱ δέ γε πλημμελήσαντες, ὥσπερ ἐγὼ ὁ τάλας, καὶ πᾶσαν ἐκτελέσαντες ἄτοπον ἁμαρτίαν καὶ φοβηθέντες τὰς πολλὰς βασάνους καὶ κολάσεις καὶ τούτου χάριν φθάσαντες εἰς τρόπους μετανοίας (ὡς εἴθε τούτους φθάσαιμι κἀγώ, Χριστέ μου λόγε) εἰς τάξιν ἐληλύθασι δούλων, πλὴν σεσωσμένων. Ταύτας τὰς τάξεις κατιδὼν ὁ Σολομῶν ἐκεῖνος, προκατιδὼν δὲ μάλιστα τῷ πνεύματι τῷ θείῳ καὶ τὴν τοῦ λόγου σάρκωσιν, τοῦ καθαροῦ νυμφίου, καὶ τὴν γεννήσασαν αὐτὸν ἀσπόρως θεοτόκον, τὴν ὄντως παναμώμητον καὶ καθαρὰν Μαρίαν, ἥντινα μακαρίζουσι φωναῖς ἀκαταπαύστοις αἱ γενεαὶ τῶν γενεῶν ἁπάντων τῶν ἀνθρώπων ὅτι σωτῆρα τέτοκε τῆς ὅλης οἰκουμένης, ταύτην ἐξεῖπε τὴν ᾠδὴν προσώπῳ τοῦ νυμφίου. Σὺ δέ μοι τὰς ἑξήκοντα βασιλίσσας ἀκούων ἐκείνους εἶναι γίνωσκε, δέσποτα στεφηφόρε, τοὺς δεκαπλασιάσαντας ἐν ἀγαθοεργίαις τὴν δεδομένην πρὸς αὐτοὺς ἑξάδα τῶν ταλάντων καὶ τόπον φθάσαντας υἱῶν τῇ χάριτι τῇ θείᾳ. καὶ παλλακὰς ὡς ἀληθῶς ἐκείνους εἶναι νόει, τοὺς ὀκταπλασιάσαντας ἐν κόποις σωτηρίας τὸ δεδομένον τάλαντον αὐτοῖς ἐκ τοῦ δεσπότου καὶ γεγονότας μισθωτοὺς τοῦ λόγου καὶ νυμφίου. ἀκούων δὲ νεανίδας πολλὰς ἀναριθμήτους γίνωσκε ταύτας ἀληθῶς ἁμαρτωλοὺς ἀνθρώπους, οἵτινες τὸ μὲν τάλαντον λαβόντες τοῦ δεσπότου εἰς γῆν αὐτὸ κατέχωσαν ἐξ ἄκρας ῥαθυμίας, καὶ δοῦλοι μὲν γεγόνασιν, ἀλλ' ὅμως σεσωσμένοι. Τῶν σεσωσμένων γοῦν ψυχῶν τοσούτων πεφυκότων, ἁπάντων ὑπερέχουσα τῶν ἐπὶ γῆς ἀνθρώπων ὡς ἐκλεκτὴ περιστερὰ τυγχάνει μόνη μία, ἡ χερουβὶμ καὶ σεραφὶμ ὄντως καθαρωτέρα, ἡ τὸν Χριστὸν γεννήσασα παρθενομήτωρ κόρη. Ἔχεις τὸ σὸν ἐπίταγμα πεπληρωμένον, ἄναξ· ἰδοὺ γὰρ τέλος εἴληφε τὸ τῶν ᾀσμάτων Ἆισμα. ἀλλ' ἐρωτᾷς, ὦ κράτιστε, καὶ πλέον φιλολόγε, καὶ τί τὸ συναγόμενον ἐν καθαρῷ τυγχάνει ἐκ ταύτης τῆς προφητικῆς ᾀσματογράφου βίβλου; ἅπαν τὸ συναγόμενον τοῦτο τυγχάνει μόνον, ὅτι τὴν φύσιν τῶν βροτῶν τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκπεσοῦσαν πάλαι ὁ λόγος ἀνεζήτησεν ὁ ταύτην πλαστουργήσας· εὑρὼν δὲ ταύτην καὶ λαβὼν ἐπ' ὤμων ὁ δεσπότης εἰς οὐρανοὺς ἀνήγαγε καὶ τῷ πατρὶ παρέσχε καὶ τῶν ἀγγέλων ἔδειξε ταύτην ὑψηλοτέραν. ὅπερ προγνοὺς ὁ Σολομῶν πνεύματι προφητείας ποικίλως συνεγράψατο καὶ πολυπλόκως τάδε. Ἡμεῖς μὲν οὖν τοὐπίταγμα τὸ σόν, ὦ στεφηφόρε, ἀποπληρῶσαι θέλοντες ὡς δοῦλοι τοῦ σοῦ κράτους, ὡς δυνατὸν ἐγράψαμεν πολιτικοῖς ἐν στίχοις τὴν τῶν Ἀισμάτων δύναμιν, ἐξήγησιν καὶ γνῶσιν. εἰ δ' ἴσως παρεσφάλημεν καί τι τῆς ἀληθείας, οὐ ξένον οὐδὲ θαυμαστὸν οὐδὲ καινὸν τυγχάνει. ἐχρῆν μὲν γὰρ μηδὲ ποσῶς ἡμᾶς ἐπιχειρῆσαι τὴν βίβλον τὴν πνευματικὴν ταύτην ἐφερμηνεῦσαι· τοῦτο γὰρ τοῖς πνευματικοῖς εἰκός ἐστι καὶ μόνοις, τὸ τὰ τοῦ πνεύματος λαλεῖν καὶ φράζειν καὶ διδάσκειν· ἐπεὶ δὲ τοῦτο γέγονε καὶ παρ' ἡμῶν ἐκ τόλμης, ὁ παντοκράτωρ μου Χριστὸς ἵλεως γένοιτό μοι. 3 Τοῦ ὑπερτίμου Ψελλοῦ περὶ δόγματος πρὸς τὸν βασιλέα τὸν Μονομάχον Δέχου καὶ τὸν θεμέλιον τῶν καθ' ἡμᾶς δογμάτων, σύντομον καὶ συνοπτικὸν καὶ περιγεγραμμένον. Θεὸν δεσπότην γίνωσκε σωμάτων, ἀσωμάτων, ἄχρονον, ἀτελεύτητον, τῶν ὅλων ὑποστάτην, ἀσώματον, ἀόρατον, ἀσχημάτιστον φύσει· τὴν μὲν οὐσίαν ἄληπτον, ληπτὸν ταῖς ἐνεργείαις· ἕνα καὶ τρία κατ' αὐτό, ἕνα μὲν τῇ οὐσίᾳ, τρία ταῖς ὑποστάσεσιν, εἰ βούλει, καὶ προσώποις. Ἑνὰς γὰρ τρισυπόστατος ὁ θεὸς χρηματίζει· πατήρ, υἱὸς καὶ ἅγιον ὁμοούσιον πνεῦμα. μόνος πατὴρ καὶ ἄναρχος ὁ πατήρ, στεφηφόρε, μόνος υἱός, οὐκ ἄναρχος, ὁ υἱός, δέσποτά μου, ἀρχὴ γὰρ τούτου ὁ πατήρ· εἰ δὲ τὴν ἀπὸ χρόνου ἀρχὴν λαμβάνειν βούλοιο, καὶ ἄναρχος τυγχάνει· πνεῦμα τὸ πνεῦμα ἅγιον καὶ θεὸς κατ' οὐσίαν, ἐκ τοῦ πατρὸς τὴν πρόοδον ἐσχηκὸς ὑπὲρ φύσιν, ἐκπορευτήν, οὐχ υἱικήν, κἂν ἄγνωστος ὁ τρόπος. ὑπόστασις μὲν ἕκαστον, εἷς δὲ θεὸς τὰ τρία. Μόνος δ' υἱὸς σεσάρκωται ἐν τέλει τῶν αἰώνων καὶ φύσιν ἀνελάβετο τὴν ἡμῶν ἐκ παρθένου, οὐσιωδῶς, οὐ σχετικῶς, φύσει, οὐ φαντασίᾳ, σάρκα λαβὼν ὡς ἤθελεν ἔννουν, ἐμψυχωμένην, ἐκ τῶν αἱμάτων τῶν σεπτῶν τῆς πανάγνου παρθένου, καὶ ταύτῃ καθ' ὑπόστασιν ἑνωθεὶς ἀσυγχύτως ἄνθρωπος γέγονεν αὐτός, θεὸς ὢν κατ' οὐσίαν. Ἄλλο δ' ἐστὶν ὑπόστασις καὶ ἕτερον οὐσία. ἡ μὲν οὐσία τὸ κοινὸν ὑποστάσεως εἶδος, ἡ δὲ ὑπόστασίς ἐστιν ἓν πρόσωπον καὶ μόνον· τὸ μὲν γὰρ τῆς θεότητος τῆς ἀνθρωπότητός τε δηλωτικὸν τῶν φύσεων καὶ οὐσιῶν τυγχάνει, ὁ δὲ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα καὶ πρόσωπα πεφύκασι, ναὶ μὴν καὶ ὑποστάσεις. Ὁ σαρκωθεὶς τοίνυν υἱὸς ἀτρέπτως, ἀσυγχύτως, οὐ σχετικῶς, ὡς εἴπομεν, οὔτε μὴν κατ' ἀξίαν, ὡς ὁ δεινὸς Νεστόριος δυσσεβῶς παρελήρει, ἀλλὰ καθὼς ηὐδόκησε δι' ἡμᾶς τοὺς ἀνθρώπους, ἡνώθη καθ' ὑπόστασιν τῇ προσληφθείσῃ φύσει, μία μείνας ὑπόστασις θεία τε καὶ τελεία, ἐν δύο δὲ ταῖς φύσεσιν οὐσιωδῶς τυγχάνων. οὕτω δὴ καὶ πρεσβεύομεν, οὕτω δὴ καὶ τιμῶμεν, οὕτω δὴ καὶ σεβόμεθα, οὕτως ὁμολογοῦμεν, τὰς δύο φύσεις ἀληθῶς, θείαν καὶ ἀνθρωπίνην, ἀλλήλαις καθ' ὑπόστασιν ἀτρέπτως ἑνωθείσας, ἑκάστην ἀναλλοίωτον μένειν ἐν τῇ ἑνώσει, ἐκ δὲ τῶν δύο φύσεων μίαν ἀποτελεῖσθαι σύνθετον τὴν ὑπόστασιν· οὗτος πίστεως ὅρος. Ὁμολογοῦμεν τοιγαροῦν τοῦ πατρὸς υἱὸν ἕνα μετὰ τὴν ἐνανθρώπησιν τὴν ἄρρητον τοῦ λόγου, καὶ τὸν αὐτὸν υἱὸν σαφῶς ἀνθρώπου πεφυκέναι, ἕνα Χριστὸν καὶ κύριον, τὸν μονογενῆ λόγον, ὅλον θεὸν καὶ ἄνθρωπον τῇ μιᾷ ὑποστάσει. ἥνωνται γοῦν αἱ τοῦ Χριστοῦ φύσεις, ἀλλ' ἀσυγχύτως· ἥνωνται καθ' ὑπόστασιν, διῄρηνται δὲ πάλιν τῷ τρόπῳ τῆς διαφορᾶς, ἄλλη γὰρ θεοῦ φύσις καὶ ἄλλη ἀνθρωπότητος, εἷς δ' ἐν ἀμφοῖν ὁ λόγος. εἷς τοίνυν ἐστὶν ὁ Χριστός, ὁ δὲ αὐτὸς καὶ δύο· εἷς μὲν γὰρ τὴν ὑπόστασιν, ἀλλὰ διπλοῦς τὴν φύσιν. Ὡς οὖν πρεσβεύομεν καλῶς τοῦ Χριστοῦ δύο φύσεις, οὕτω καὶ δύο λέγομεν φυσικὰς ἐνεργείας καὶ δύο τὰ θελήματα φυσικῶς ἐνεργοῦντα. Οὐσία μὲν οὖν καὶ μορφὴ καὶ φύσις ἓν τῷ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λόγῳ, ἄτομον δὲ καὶ πρόσωπον ἓν σὺν τῇ ὑποστάσει. τὴν σάρκα δὲ τὴν τοῦ θεοῦ ὑπόστασιν μὴ λέγε, λέγε δὲ ἐνυπόστατον, ἀκριβὲς γὰρ τὸ δόγμα. Τὸ δέ γε ἐνυπόστατον πολυσήμαντον, ἄναξ. ἔστι γὰρ ἐνυπόστατον τὸ ἀληθῶς ὑπάρχον· καὶ αὖθις ἐνυπόστατον τὸ κοινὸν τῆς οὐσίας, ἤγουν τὸ εἶδος τὸ κοινὸν τὸ ἐπὶ τοῖς ἀτόμοις πραγματικῶς ὑφεστηκός, οὐ ψιλῇ ἐπινοίᾳ· ἔστι δὲ ἐνυπόστατον οὗ πλέον φροντιστέον, ὅπερ ἐστὶ συγκείμενον μετ' ἄλλου διαφόρου κατὰ οὐσίαν, δέσποτα, εἰς σύστασιν προσώπου ἑνὸς καὶ ὑποστάσεως μιᾶς γένεσιν, ἄναξ. Τὸ μὲν οὖν ἐνυπόστατον τοιοῦτον ἔσχεν ὅρον· ὑπόστασις δὲ πέφυκε κυριολογουμένη πρᾶγμα ἰδιοσύστατον, ἓν μᾶλλον πρόσωπόν τι. Ἐνούσιον δὲ πέφυκε τὸ κοινὸν τῆς οὐσίας. Ἐνέργεια ποιά ἐστι κίνησις τῆς οὐσίας. Ἕξις ποιότης ἔμμονος καὶ δυσμετάβλητός πως. ἕξεως ἄλλος ὁρισμός· ἑκάστου κατὰ φύσιν ὁλόκληρος ἐνέργεια ἐν ψυχῇ σώματί τε, ἕξις δὲ ἡ ἐνέργεια τοῦ κοινοῦ πέφυκέ πως. Πρὸς τούτοις πᾶσι γίνωσκε ὡς ὁ σαρκωθεὶς λόγος τὴν ἡμετέραν προσλαβὼν ἐν τῷ σαρκοῦσθαι σάρκα κατάρα ἐχρημάτισε, τυγχάνων εὐλογία, καὶ τέθνηκεν ὡς ἄνθρωπος, ἀθάνατος ὢν φύσει, ἐπὶ σταυροῦ τὴν νέκρωσιν ὑποστὰς ἑκουσίως· ἀνέστη δὲ τριήμερος τὸν ᾅδην καταλύσας, εἶτα καὶ ἀνελήλυθεν εἰς οὐρανοὺς ἐνδόξως, καὶ αὖθις ἥξει σὺν πατρὶ καὶ πνεύματι ἁγίῳ κρῖναι δικαίως ἅπαντας ὁμοῦ καὶ φιλανθρώπως. Τοῦτο συγκεφαλαίωσις τῶν θεολογουμένων καὶ λεγομένων, δέσποτα, εἰς τὴν οἰκονομίαν. πολὺς γὰρ καὶ δυσνόητος ὁ λόγος τῶν δογμάτων, ἀλλ' ἐγὼ τὰ σαφέστατα συλλέξας σοι προσφόρως καὶ πληρεστάτως εἴρηκα, ὁμοῦ δὲ καὶ συντόμως. Δεῖ γὰρ τὸν βασιλεύοντα καὶ τἆλλα μὲν εἰδέναι, τὸ ἀληθὲς δὲ μάλιστα τῶν καθ' ἡμᾶς δογμάτων· ἀρχὴ γὰρ τοῦτο καὶ κρηπὶς τυγχάνει βασιλείας. 4 Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν περὶ τῶν ἑπτὰ συνόδων Γίνωσκε καὶ τὸν ἀριθμὸν τῶν ἱερῶν συνόδων, ὁπόσαι κατὰ δυσσεβῶν ἐκροτήθησαν, ἄναξ. Ἑπτὰ πᾶσαι πεφύκασι· πρώτη δ' ἡ ἐν Νικαίᾳ, τοῦ θείου βασιλεύοντος δεσπότου Κωνσταντίνου καὶ ἀρχιερατεύοντος ἐν Κωνσταντινουπόλει τοῦ πανσεβάστου καὶ ψυχὴν καὶ λόγον Μητροφάνους. δεκαοκτὼ δ' ἠθροίσθησαν πρὸς τοῖς τριακοσίοις πατέρες θεῖοι καὶ σεπτοὶ ἐν ταύτῃ τῇ συνόδῳ. οἳ καὶ τὴν γλῶτταν ἔτεμον τοῦ μανέντος Ἀρείου, τὴν ὁμοουσιότητα τέμνοντος τῆς τριάδος καὶ κτίσμα τὸν δημιουργὸν δυσσεβοῦντος ἀθλίως ἐλάττονά τε τοῦ πατρὸς τὸν ἰσότιμον φύσει. Ἡ δὲ δευτέρα γέγονε τῶν ἱερῶν συνόδων, ὡς ἱστοροῦσιν ἅπαντες, ἐν Κωνσταντινουπόλει· ἧς ὁ μὲν Θεοδόσιος ἦρχε καλῶς ὁ μέγας, Νεκτάριος δ' ἀρχιερεὺς ἐτύγχανεν ὁ θεῖος. πεντήκοντα δ' ἠθροίσθησαν καὶ ἑκατὸν πατέρες, τὸν θεολόγον ἔχοντες Γρηγόριον κρηπῖδα καὶ πρόμαχον καὶ κορυφὴν ἐν ταύτῃ τῇ συνόδῳ. αὕτη τὸν Μακεδόνιον ἀνέσπασε ῥιζόθεν, τὸ πνεῦμα τὸ πανάγιον ἀλλοτριοῦντα μάτην τῆς ὑψηλῆς θεότητος καὶ κτίσμα βλασφημοῦντα. Ἡ δέ γε τρίτη σύνοδος γέγονεν ἐν Ἐφέσῳ, Θεοδοσίου τοῦ μικροῦ δεσπόζοντος ἀξίως καὶ ἀρχιερατεύοντος τότε Ἀλεξανδρείας καὶ δόγμασιν ἐκλάμποντος Κυρίλλου τοῦ πανσόφου. ἑκατὸν ἑβδομήκοντα δ' ἠθροίσθησαν πατέρες κατὰ τοῦ ματαιόφρονος καὶ δεινοῦ Νεστορίου, τὴν τοῦ θεοῦ μὲν σάρκωσιν οὐδ' ὅλως δεχομένου, ἀλλὰ ψιλὸν μὲν ἄνθρωπον τὸν Χριστὸν βλασφημοῦντος καὶ σχετικὴν τὴν ἕνωσιν τοῦ θεοῦ ληρωδοῦντος καὶ Χριστοτόκον λέγοντος, ἀλλ' οὐχὶ θεοτόκον τὴν θεοτόκον δέσποιναν καὶ παρθένον Μαρίαν. Ἡ δὲ τετάρτη σύνοδος ἔστιν ἐν Χαλκηδόνι, Ῥωμαίων βασιλεύοντος Μαρκιανοῦ δεσπότου, Ἀνατολίου δ' ἔχοντος τὸν θρόνον Νέας Ῥώμης. ὁ δ' ἀριθμὸς τῶν ἱερῶν καὶ σεβαστῶν πατέρων τριάκοντα συνέστησαν πρὸς τοῖς ἑξακοσίοις κατ' Εὐτυχοῦς τοῦ δυσσεβοῦς καὶ κατὰ Διοσκόρου, τὸ σῶμα τὸ δεσποτικὸν δυσσεβῶς φαντασάντων καὶ παντελῶς ἀλλότριον φύσεως ἀνθρωπίνης ὡς κατελθὸν ἐξ οὐρανοῦ ἀθέως ληρησάντων. Ἡ δέ γε πέμπτη γέγονεν ἐν Κωνσταντινουπόλει, κρατοῦντος καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἰθύνοντος τὰ σκῆπτρα τῶν Ῥωμαίων θείου Ἰουστινιανοῦ καὶ νέου νομοθέτου καὶ Εὐτυχίου τοῦ σοφοῦ τότε πατριαρχοῦντος. πέντε δὲ πρὸς ἑξήκοντα καὶ ἑκατὸν πατέρες ἐν ταύτῃ συνηθροίσθησαν, καὶ τὴν ἐν Χαλκηδόνι σύνοδον συνεκρότησαν ὡς πανευσεβεστάτην. ἀπήλασάν τε εὐσεβῶς τῶν θείων περιβόλων Εὐάγριον καὶ Δίδυμον μετὰ τοῦ Ὠριγένους, ἄνδρας προτελευτήσαντας, ἀλλὰ συγγραψαμένους νόθα καὶ ξένα δόγματα τῆς θείας ἐκκλησίας· σωμάτων μὲν ἀνάστασιν νῦν μὲν ἀνεῖλον ὅλως, νῦν δὲ παρεδογμάτισαν ἔγερσιν ἀλλοτρίων, Ἀδάμ τε καὶ παράδεισον ἐξεῖπον ἀσωμάτους, καὶ τέλος συνεπέραναν τὴν κόλασιν ἐν χρόνῳ καὶ τῶν δαιμόνων ἔγραψαν (φεῦ) ἀποκαταστάσεις. ἀνεῖλον καὶ Θεόδωρον τὸν τῆς Μοψουεστίας μυσταγωγὸν τυγχάνοντα τοῦ δεινοῦ Νεστορίου καὶ τὴν πρὸς Μάριν πρότερον ἐπιστολὴν τοῦ Ἴβα ὅσα τε συνεγράψατο κατὰ Κυρίλλου πάλαι ὁ Κύρου Θεοδώρητος, ἴσως ἐν ὑποκρίσει. Ἡ δ' ἕκτη πάλιν σύνοδος ἐν Κωνσταντινουπόλει συνέστη βασιλεύοντος τοῦ νέου Κωνσταντίνου καὶ Γεωργίου ἔχοντος τὸν θρόνον Νέας Ῥώμης, ἑκατὸν ἑβδομήκοντα πατέρων ἀθροισθέντων κατὰ τῶν μίαν θέλησιν ἀφρόνως δοξαζόντων, ὧν οἱ προστάται λόγιοι καὶ πολλοὶ καὶ μεγάλοι, ὁ τῆς Φαρὰν Θεόδωρος, Ὁνώριος ὁ Ῥώμης Κῦρος Ἀλεξανδρείας τε Σέργιός τε καὶ Πύρρος καὶ Παῦλος ὁ Σαμοσατεύς, πρὸς τούτοις δὲ καὶ Πέτρος, Μακάριος ὁ ἄθλιος καὶ Στέφανος πρὸς τούτοις, οὐ δύο φύσεις λέγοντες τοῦ σαρκωθέντος λόγου, μίαν δέ τινα σύνθετον ἐνέργειάν τε μίαν. σὺν τούτοις Πολυχρόνιον ἀπέκτειναν τελείως καὶ δύο ἐδογμάτισαν τοῦ σαρκωθέντος λόγου τὰς φύσεις ὡς πανευσεβεῖς, ὧς δὲ καὶ τὰς θελήσεις. Ἡ δὲ ἑβδόμη γέγονεν ἐσχάτως ἐν Νικαίᾳ, Εἰρήνης τῆς δεσπότιδος τότε βασιλευούσης σὺν Κωνσταντίνῳ τῷ υἱῷ καὶ νέῳ στεφησόρῳ καὶ Ταρασίου τοῦ σοφοῦ πατριαρχοῦντος θείως. πεντήκοντα συνῆλθον γὰρ πρὸς τοῖς τριακοσίοις λογὰς ἐν ταύτῃ εὐσεβῶν πατέρων θεοφόρων, καὶ τὰς εἰκόνας τὰς σεπτὰς ἐθέσπισαν τιμᾶσθαι, καλῶς δ' ἀνεθεμάτισαν τοὺς δυσσεβοῦντας τότε, Βασίλειον ἐπίσκοπον ὄντα τῆς Πισιδίας, Ἐφέσου Θεοδόσιον, Σισίννιον τὸν Πέργης, ἄλλους τε πλείστους τὰς σεπτὰς εἰκόνας μὴ τιμῶντας. Ἡ δὲ ὀγδόη γέγονε σύνοδος ἐν Λουγδούνῳ, Ῥώμης πρωτεύοντος σεπτῶς τοῦ θείου Ἰωάννου, μετὰ Νικόλαον λαμπρῶς τὰς κλεῖς ἐκδεξαμένου, κατὰ Φωτίου πρώτου τε τοῦ σχίσματος αἰτίου, ὃς ἀναιδῶς συνέγραψε κατὰ τῆς ἐκκλησίας, τῆς πρεσβυτέρας δηλαδὴ Ῥωμαϊκῆς τῆς θείας, καὶ πρῶτος ἐξηρεύξατο λέγειν κατὰ Λατίνων ὡς οὐκ εἰσὶν ὀρθόδοξοι, ψάλλοντες ἐν συμβόλῳ καὶ τὴν προσθήκην, ὡς φασί, τὸ ἐκ πατρὸς υἱοῦ τε, ἥτις σαφήνειά ἐστι μᾶλλον καὶ οὐ προσθήκη. αὕτη οὖν κατεδίκασε τὴν ἀναίδειαν τούτου καὶ ἐξ υἱοῦ ἐδίδαξε τὸ πνεῦμα ὀρθοδόξως. <Ἡ> δὲ ἐννάτη γέγονεν ἐν Κωνσταντινουπόλει, Ῥώμης ἱερατεύοντος τοῦ θείου Γρηγορίου δεκάτου τε ὑπάρχοντος τὸν ἀριθμὸν ἐκείνου. ταύτης δ' ἐξῆρχεν ἱερῶς καὶ εὐσεβῶς ὁ θεῖος Βέκκος ὁ τρισμακάριος, ὁ θαυμαστὸς ἐκεῖνος, ἀρχιεπίσκοπος αὐτῆς ὑπάρχων Βυζαντίδος· ἣ τὴν αὐτὴν ἐδίδαξε πίστιν τε καὶ λατρείαν ὡς ἡ λαμπρὰ καὶ πάνσεμνος σύνοδος ἐν Λουγδούνῳ. <Ἡ> δὲ δεκάτη γέγονεν ἐν Φλωρεντίᾳ πόλει, Ῥώμης ἱερατεύοντος τοῦ θείου Εὐγενίου, τὰ σκῆπτρα δὲ κατέχοντος τῆς βασιλείας τότε Παλαιολόγου τοῦ χρηστοῦ μεγάλου Ἰωάννου καὶ Ἰωσὴφ τοῦ θαυμαστοῦ καὶ θείου πατριάρχου. ὑπῆρχον δὲ τὸν ἀριθμὸν οἱ ἱεροὶ πατέρες ἑπτάκις καὶ τριάκοντα πρὸς τοῖς ὀκτακοσίοις. αὕτη γὰρ κατεδίκασε τοὺς ἀμαθῶς ληροῦντας τὸ πνεῦμα τὸ πανάγιον ἐκ τοῦ υἱοῦ μὴ εἶναι, ἀλλὰ ἐκ μόνου τοῦ πατρός, ὢ φεῦ τῆς ἀμαθίας. εἰ γὰρ τῶν πάντων ἀγαθῶν φυσικῶν τοῦ πατρός τε ὑπάρχων <.....> κοινωνὸς ἀληθῶς ὁ Χριστός μου, ἔχει <...> καὶ τὸ πνεῦμα οὖν κατὰ τοῦτον τὸν τρόπον καθ' ὃν <ἔχειν> καὶ ὁ πατὴρ νοεῖται, καὶ οὐκ ἄλλως, τοῦ ἐκπορεύειν ὁ υἱός, ὥσπερ καὶ τὸν πατέρα Κύριλλος ἐν τοῖς Θησαυροῖς ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θεῖος ἐκδιδάσκει καὶ ἄλλοι πλεῖστοι πανταχοῦ τῶν ἱερῶν βιβλίων ἐκήρυξαν, ἐδίδαξαν, ἐτράνωσαν ὡσαύτως. ὃ μὴ καταδεξάμενοι ἐφθάρημεν μετ' ἤχου.

**5 Τοῦ αὐτοῦ ὑπερτίμου Ψελλοῦ περὶ νομοκανόνου καὶ τῶν τοπικῶν συνόλων**

Ἔχε μοι γνῶσιν, δέσποτα, καὶ τοῦ νομοκανόνου. Σύνθετος βίβλος πέφυκε νόμων τε καὶ κανόνων, κανόνων μὲν συνοδικῶν καὶ νόμων διαφόρων, τῶν Νεαρῶν δὲ μάλιστα πανσόφων θεσπισμάτων, συνηγορούντων κάλλιστα τοῖς γραφεῖσι κανόσιν. Ἔστι δὲ πρώτη σύνοδος τῇ τιμῇ καὶ τῇ δόξῃ τῶν συνελθόντων εὐσεβῶν εἰς Νίκαιαν πατέρων ἐπὶ τοῦ αὐτοκράτορος καὶ πιστοῦ Κωνσταντίνου, ὃς Μέγας ὡς ἐξαίρετος καλῶς ἐπωνομάσθη· ὧν ὀκτωκαίδεκ' ἀριθμὸς πρὸς τοῖς τριακοσίοις. Δευτέρα ταύτης πέφυκε, τῷ χρόνῳ δὲ προτέρα, τῶν ἐλθόντων εἰς Ἄγκυραν πατέρων μακαρίων, οἳ τέσσαρας πρὸς εἴκοσιν ἐξέθεντο κανόνας, οἱ δ' ἐν Νικαίᾳ εἴκοσιν ἐξέθεντο καὶ μόνους. Τρίτη σύνοδος γέγονεν ἐν Νεοκαισαρείᾳ· αὕτη μὲν πρώτη πέφυκε καὶ τῆς ἐν τῇ Νικαίᾳ, τρίτην δὲ τάξιν εἴληχεν ὡς τῶν δυοῖν ἐλάττων, τῆς μὲν τῇ ἁγιότητι, τῆς δὲ χρόνου πρεσβείοις. κανόνες δεκατέσσαρες καὶ ταύτης τῆς συνόδου. Τετάρτη τῶν ἐν Σαρδικῇ μετὰ τοὺς ἐν Νικαίᾳ· κανόνες εἷς καὶ εἴκοσι καὶ ταύτης τῆς συνόδου. Ἡ πέμπτη τῶν ἐν Γάγγραις δὲ πατέρων συνελθόντων, ὧν οἱ κανόνες εἴκοσι τυγχάνουσι καὶ μόνοι. Ἕκτη τῶν εἰς Θεούπολιν κοινῇ δεδραμηκότων (οὕτω γὰρ ὀνομάζουσι τὴν Ἀντιόχου πόλιν), ὧν πέντε πρὸς τοῖς εἴκοσι τυγχάνουσι κανόνες. Ἑβδόμη τούτων πέφυκε τῶν ἐν Λαοδικείᾳ, ὑφ' ὧν ἐξεφωνήθησαν δογματικοὶ κανόνες ἐννέα πρὸς πεντήκοντα πίστεως ὅλοι πλήρεις. Τῶν δ' εἰς Κωνσταντινούπολιν πατέρων συνελθόντων, ὀγδόη τούτων σύνοδος· ὧν ἑπτὰ οἱ κανόνες. Ἡ δέ γ' ἐννάτη σύνοδος γέγονεν ἐν Ἐφέσῳ, ὑφ' ὧν ἐξεφωνήθησαν ἐννέα κανόνες μόνοι. Δεκάτη δὲ τὸν ἀριθμὸν τῶν ἐν τῇ Χαλκηδόνι, παρ' ὧν ἑπτὰ πρὸς εἴκοσιν ἐτέθησαν κανόνες. Ὁ μέγας δὲ Βασίλειος, ἡ βάσις τῶν δογμάτων, ὀκτὼ πρὸς τοῖς ἑξήκοντα ἐθέσπισε κανόνας. Εἰς δὲ Κωνσταντινούπολιν καὶ δὶς καὶ τρὶς ἠθροίσθη λογὰς πατέρων εὐσεβῶν, ὧν οἱ κανόνες δῆλοι. Ἄλλοι τε πλεῖστοι τῶν πιστῶν ἀνδρῶν καὶ σεβασμίων κανόνας ἐκτεθείκασι κρατύναντες τὴν πίστιν· ὥσπερ ὁ Διονύσιος ὁ τῆς Ἀλεξανδρείας, Γρηγόριος ἐπίσκοπος τῆς Νεοκαισαρείας, Τιμόθεος ὁ εὐσεβὴς καὶ Κύριλλος ὁ πάνυ, Γεννάδιος ὁ θαυμαστὸς θεσπίσας ἐγκυκλίως. πρὸ τούτων διὰ Κλήμεντος ἐγράφησαν κανόνες τῶν σεβασμίων καὶ σεπτῶν καὶ θείων ἀποστόλων, πέντε πρὸς ὀγδοήκοντα σεβάσμιοι κανόνες. Οὐ πάντες δὲ θεσπίζουσι περὶ θεολογίας, ἀλλ' οἱ μὲν τὰ τῆς πίστεως κρατύνουσιν εὐλόγως, οἱ δὲ τοῖς ἁμαρτάνουσι μέτρα τῆς μετανοίας εὐθέτως κανονίζουσιν ἐν ζυγοῖς ἀκριβέσιν, οἱ δέ γε δοκιμάζουσι τοὺς χειροτονουμένους· πάντες δὲ λυσιτέλειαν εἰσάγουσι τῷ βίῳ. Ὁ κανονίσας δ' ἅπαντας ἐντέχνως τοὺς κανόνας ὅσους ἐφεῦρε, δέσποτα, κανόνας τῶν πατέρων πρὸς τὴν αὐτὴν ὑπόθεσιν εὐκαίρως γεγραμμένους, πάντας εἰς ἓν συνήγαγεν ὥσπερ ὑποτιτλώσας. ἀλλ' ἔν γε παραδείγματι τοῦτο σαφηνιστέον. τῶν κληρουμένων, δέσποτα, πολλοὶ διά τι πταῖσμα ἄδεκτοι καθεστήκασιν εἰς ὃν ἄγονται κλῆρον. πολλοὶ γοῦν ἐκανόνισαν τὰ περὶ τῶν ἀδέκτων, ἥ τε λογὰς τῶν σεβαστῶν καὶ θείων ἀποστόλων, οἱ ἐν Νικαίᾳ, δέσποτα, καὶ Νεοκαισαρείᾳ, οἵ τε μὴν ἐν τῇ Σαρδικῇ καὶ οἱ ἐν Χαλκηδόνι, ὁ μέγας τε Βασίλειος ἔγραψε περὶ τούτων. ἵν' οὖν μὴ δυσχεραίνῃ τις ἐρευνῶν τοὺς κανόνας, ὁ συναθροίσας ἅπαντας εἰς ἓν πυκτίον, ἄναξ, τέχνην ἐδημιούργησεν ἐν τούτῳ θαυμασίαν· πρὸς τὴν ὑποκειμένην γὰρ καὶ ζητουμένην φύσιν κανόνας τοὺς προσήκοντας συνήθροισεν ἐντέχνως. Ἔστι δὲ τάξις, δέσποτα, καὶ βαθμὸς τῶν κανόνων, τοῖς διαφόροις πάθεσι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ταχθέντων διαφόρων. οἱ μὲν γὰρ ἀπελαύνουσι τῆς θείας ἐκκλησίας. οἱ δὲ μόνον καθαίρουσι τοὺς χειροτονηθέντας, οἱ δὲ προστίμοις ἄγχουσι τῆς ἀκοινωνησίας, οἱ δέ εἰσι σωφρονισταὶ ἐν τοῖς ἐπιτιμίοις. Δίδαξις αὕτη σύντομος τῶν ἱερῶν κανόνων.

**6 Τοῦ αὐτοῦ Ψελλοῦ Σύνοψις διὰ στίχων σαφῶν καὶ πολιτικῶν περὶ πασῶν τῶν ἐπιστημῶν γενομένη πρὸς τὸν εὐσεβέστατον βασιλέα κῦριν Μιχαὴλ τὸν Δούκαν ἐκ προστάξεως τοῦ πατρὸς αὐτοῦ καὶ βασιλέως, ὥστε διὰ τῆς εὐκολίας καὶ ἡδύτητος ἐνεχθῆναι τοῦτον εἰς τὴν μάθησιν τῶν ἐπιστημῶν Μελέτω σοι γραμματικῆς καὶ τῆς ὀρθογραφίας· πρῶτος αὕτη θεμέλιος καὶ βάσις μαθημάτων.**

Οὐκ ἔστι δὲ μονότροπος οὐδὲ κοινὴ καὶ μία, ἀλλ' ἔχει γλώσσας καὶ φωνὰς καὶ πέντε διαλέκτους, Αἰολικήν, Ἰωνικήν, Ἀτθίδα καὶ Δωρίδα καὶ τὴν συνήθη καὶ κοινὴν καὶ κατημαξευμένην· ἑκάστη δὲ διάλεκτος ἔχει φωνὰς ἰδίας. ἡ δὲ κοινή, κἂν πέφυκεν ἄθροισμα τῶν τεσσάρων, ἀλλ' ἔστι καὶ μονότροπος, ἄλλη παρὰ τὰς ἄλλας. Ἀλλ' ὡς ἐν παραδείγματι δεικτέον σοι τὰς πέντε. τὸ μὲν γὰρ «Πέρσης Πέρσεω» τυγχάνει τῆς Ἰάδος (ἣν εἶπον γὰρ Ἰωνικὴν καλῶ σοι νῦν Ἰάδα, Ἰὰς γὰρ ἀπὸ Ἴωνος· διώνυμος ἡ κλῆσις). ὣς δὲ τὸ «Δημοσθένεος» γενικῶς τῆς Ἰάδος καὶ τὸ «Περσέων» γενικῶς, ὣς δὲ καὶ τὸ «νυμφέων»· εἰ δέ τις μεταλλάξειε καὶ λέξειε «νυμφάων», Αἰολικὴν διάλεκτον εἶπεν, οὐ τὴν Ἰάδα. εἰ δέ τις εἴποι «θάλατταν» ἢ «τεῦτλον», Ἀττικίζει. εἰ δέ τις ὀνομάσειε τὰς Μούσας «Μώσας» πάλιν, ὑποδωρίσας εἴρηκε Δωρίδι διαλέκτῳ. ἡ δ' Αἰολὶς διάλεκτος τῷ ῥῶ βῆτα προσνέμει, «βράκος» τὸ ῥάκος λέγουσα, «βρυτῆρα» τὸν ῥυτῆρα. εἰ δέ τις εἴποι «θάλασσαν» καὶ «ῥάκος» καὶ «ῥυτῆρα», κοινὴν εἶπε διάλεκτον ἤτοι συνηθεστάτην. ταύτην μοι μόνην δίωκε, τῶν δ' ἄλλων καταφρόνει. Τῶν μέτρων μέντοι φρόντιζε, τῶν τομῶν καταφρόνει· ἡρώιζε, ἰάμβιζε, ἐλεγεῖά μοι γράφε, μάθε τὴν Ἀνακρέοντος ἡδυεπῆ κιθάραν καὶ τὴν Θηβαίαν μάλιστα τοῦ μελῳδοῦ Πινδάρου, τὴν δὲ βουκόλου σύριγγα τοῦ Θεοκρίτου μέθες. Τῶν ὀνομάτων μάθε μοι καὶ κλίσεις καὶ κανόνας, ἀρρενικῶν καὶ θηλυκῶν, πρὸς δὲ τῶν οὐδετέρων. Τί μὲν ὀρθοτονούμενον ἐν μέρεσι τοῦ λόγου, τί δ' ἐστὶν ἐγκλινόμενον, ἀκριβέστερον μάθε. τὸ μὲν γὰρ «ἄνθρωποι τινὲς» ὀρθότονον τυγχάνει, εἰ δ' εἴπῃς «ἄνθρωποί τινες» τὸν τόνον ἀνασύρας, ἐγκλίνας οὕτως εἴρηκας, τὸν τόνον μεταστήσας. πρόθεσις οὐκ ἐγκλίνεται, οὐ μετοχή, οὐκ ἄρθρον. Ἐγκλίσεις πέντε γίνωσκε τὰς διωνομασμένας, ὁριστικήν, προστακτικήν, εὐκτικὴν καὶ πρὸς ταύταις τὴν ὑποτακτικὴν φωνὴν καὶ τὴν ἀπαρεμφάτων. τί δ' ἐστὶν ἀπαρέμφατον καὶ πόθεν ὠνομάσθη; οὐ παρεμφαίνει βούλησιν τὸ «τύπτειν» καὶ τὸ «τύψαι», ἔγκλισις γὰρ ἡ βούλησις τεχνικῶς ὠνομάσθη. Τῶν πέντε γὰρ ἐγκλίσεων τρεῖς εἰσι διαθέσεις αἱ γνώριμοι, ἐνέργεια καὶ πάθος καὶ μεσότης. τὸ «τύπτω» μὲν ἐνέργεια, τὸ «τύπτομαι» δὲ πάθος, τούτοις δ' ἐπενεμήθησαν οἱ μέσοι μέσον χρόνοι. μέσος γὰρ καὶ τὸ «τέτυπα», πρὸς δὲ τὸ «ἐτυψάμην», ἐκεῖνο ἐνεργητικόν, παθητικὸν δὲ τοῦτο, τοῦτο μὲν παρακείμενος, ἀόριστος δ' ἐκεῖνο. Ὀνόματος καὶ ῥήματος ἡ μετοχὴ μεσότης ἀμφοῖν ἐστι μετέχουσα κοινῶν ἰδιωμάτων. ἔχει πτῶσιν ὡς ὄνομα, πρὸς τούτοις δὲ καὶ γένη («ὁ τύπτων», «τὸ τυπτόμενον», «ἡ τύπτουσα» τὰ γένη), τοῦ ῥήματος διάθεσιν, χρόνους καὶ συζυγίας. τὸ ῥῆμα γὰρ ὡς ἄπτωτον οὐ δύναται κλιθῆναι· γέγονεν οὖν ἡ μετοχή, ἵνα κλιθῇ τὸ ῥῆμα. «Τύπτω» καὶ «πλέκω» «πείθω» τε καὶ «φράζω» καὶ τὸ «σπείρω» καὶ τὸ «ἀκούω», δέσποτα, βαρύτονα τυγχάνει· τὸ δὲ «ποιῶ» καὶ τὸ «βοῶ» καὶ τὸ «χρυσῶ», τὰ τρία, γίνωσκε περισπώμενα, καὶ γὰρ καὶ περισπᾶται· τῶν δὲ εἰς μι τὸ «τίθημι», «ἵστημι» «δίδωμί» τε καὶ «πήγνυμι» τὸ τέταρτον ὡς ἀπὸ τοῦ «πηγνύω». Μάθε μοι καὶ τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δύναμιν τῶν λεγομένων χρόνων. ὁ ἐνεστὼς ὡς ἑστηκώς, ὡς σήμερον τυγχάνων· ὁ δέ γε παρατατικὸς ὡς παρατεταμένος («ἔτυπτον» γὰρ ἀπέραντον ἔχει τὴν σημασίαν)· ὁ δ' αὖ γε παρακείμενος οὐ κείμενος τελείως, ἀλλ' ἔστι παρακείμενος ὡς μὴ πεπληρωμένος, ὁ ἐνεστὼς συντελικός, οὕτω γὰρ ὠνομάσθη· ἀόριστος ὡς ἄδηλος, οὐχ ὡρισμένος χρόνος· ὁ μέλλων ὡς οὐκ ἐνεστώς, ἀλλ' αὐτὸ τοῦτο μέλλων. Καὶ τοῦτο δέ μοι γίνωσκε καὶ μή σε λανθανέτω· χρόνοι πολλοὶ λελοίπασιν ἔν τισι τῶν ῥημάτων καὶ πρόσωπα πληθυντικὰ τῆς κοινῆς διαλέκτου, ἀλλ' ἀντανεπληρώθησαν ἐξ ἄλλων διαλέκτων. αὐτίκα γὰρ τοῦ «τέτυμμαι», πρὸς δὲ τοῦ «ἐτετύμμην», παρακειμένου πάσχοντος καὶ ὑπερσυντελίκου, τὰ τρίτα τῶν πληθυντικῶν κοινὴν οὐκ ἔχει φράσιν, ἀλλ' ἀντανεπληρώθησαν τεχνικῶς ἐξ ἑτέρων. καθόλου πρῶτα πρόσωπα προστακτικῶν οὐκ ἔστιν. εὐκτικὸς παρακείμενος ἐκλέλοιπε τελείως. χρόνος ὑπερσυντέλικος, σὺν τῷ παρακειμένῳ, οὐκ ἔστιν ὑποτακτικὸς παθητικὸς οὐδ' ὅλως. τὸν μέσον παρακείμενον τοῦ «τίθημι» μὴ ζήτει, καὶ δεύτερος παθητικὸς ἀόριστος οὐκ ἔνι. πρῶτος πάλιν ἀόριστος ἐν τοῖς ἀπαρεμφάτοις οὐχ εὕρηται τοῦ «τίθημι», καὶ ζήτει τὴν αἰτίαν. ἐν μετοχαῖς ἀόριστον τοῦ «τίθημι» μὴ ζήτει, πλὴν ἐν τοῖς ἐνεργητικοῖς, παθητικὸς γὰρ ἔνι. Μάθε τοὺς πόδας ἅπαντας, τοὺς ἁπλοῦς, τοὺς συνθέτους. μάθε μοι τοὺς δακτυλικούς, σπονδείους καὶ τροχαίους· ἡρωϊκοῦ τυγχάνουσιν οὗτοι μάλιστα μέτρου. χορεῖον καὶ πυρρίχιον ὡς ἀσθενεῖς ἐκτρέπου, ἀλλὰ μηδὲ τοὺς ἴωνας ἐκτόπως ἀγαπήσῃς. ἀγάπησον, εἰ βούλοιο, καὶ ζήλωσον γενναίως τοὺς μολοσσούς, τοὺς παίονας, πρὸς δὲ τοὺς ἐπιτρίτους. ἄσπασαι καὶ τὸν ἴαμβον, ἀλλὰ σπονδείαζέ μοι· καὶ πρώτιστα ἰάμβιζε, ὕστερον δ' ἡρωίσεις. Ὁ τεχνικὸς μὲν τίθησι ψιλά τε καὶ δασέα καὶ μέσον τούτων, δέσποτα, τὰ μέσα κεκλημένα· ψιλὰ μὲν κάππα, πῖ καὶ ταῦ, δασέα φῖ, χῖ, θῆτα, μέσα δὲ τούτων ἐκφωνεῖ βῆτα, γάμμα καὶ δέλτα. καὶ τὸ μὲν βῆτα τίθησι τοῦ φῖ καὶ πῖ πως μέσον, τὸ γάμμα μέσον τίθησι τοῦ χῖ τε καὶ τοῦ κάππα, τοῦ ταῦ δὲ μέσον τίθησι τὸ δέλτα καὶ τοῦ θῆτα. σὺ δέ μοι τούτων μάνθανε τοὺς λόγους τῆς αἰτίας. δασέα μὲν τυγχάνουσιν ὅσα μετὰ δασέος ἐκφέρεται τοῦ πνεύματος· ἐκ γὰρ ῥήματος «σεύω» καὶ τοῦ «δα» ἐπιτατικοῦ τὴν σύνθεσιν λαμβάνει, ἤτοι τὰ ἄγαν τρέχοντα, «σεύω» γὰρ ἦν τὸ τρέχω. ἡ προφορὰ γὰρ κάτωθεν στοιχείων τῶν δασέων· τῶν δὲ ψιλῶν ἐκφώνησις ὡς ἀπεψιλωμένη, ἐξ ἄκρων γὰρ προφέρεται τὰ τρία τῶν χειλέων· τὰ μέσα μέσον πνεύματος τὴν ὁρμὴν προσλαμβάνει. Αὕτη ἐξήγησις κοινὴ καὶ καθωμιλημένη, μάνθανε δὲ τὴν κρείττονα καὶ πολλοῖς κεκρυμμένην. ἄτρεπτα μὲν τυγχάνουσιν ἐν λόγῳ τὰ δασέα, οὐ γὰρ τραπείη τὸ δασὺ δασείας συναφθείσης. «ὄρνυσθ' ἱππόδαμοι», φησίν, «ἀμφ' ἅλα ἔλσαι νῆας», «σὺ δ' ἔχ' ἡνία, κράτιστε», ἐπικῶς εἰρημένα· ἄτρεπτα γὰρ μεμένηκε τὰ τρία σοι δασέα. τὰ δὲ ψιλά, οἷα ψιλά, τρέπεται τῇ δασείᾳ· «ὣς ἔφαθ', οἱ δ' ἄρ' ἅπαντες»· «αὐτίχ' ὁ μὲν χιτῶνα»· «σὺ δέ μοι εἴφ' ὅπῃ τὴν ναῦν»· ὁρᾷς πῶς καὶ τὰ τρία ψιλά σοι παρετράπησαν δασείας συναφθείσης; βλέπε καὶ τὴν μεσότητα τῶν ἑτέρων στοιχείων, πῶς ἔχουσι δασύτητος ψιλότητος ἐν μέσῳ. ἐπικρατέστερα καὶ γὰρ τῶν ψιλῶν πέφυκέ πως, μηδὲν παρατρεπόμενα δασείας ἐπηγμένης, ὥσπερ «οὐδ' οἵ γ' ὡρμήθησαν» καὶ «λάβ' ἡνία», πάλιν «ὅ γ' ὣς εἰπών»· καὶ μένουσιν ἄτρεπτα τὰ στοιχεῖα. ἐντεῦθεν ἰσχυρότερα τῶν ψιλῶν σοι τὰ μέσα· ὅρα πῶς ἀσθενέστερα τυγχάνει τῶν δασέων. τὰ μὲν δασέα, δέσποτα, τὰ πρὸ αὐτῶν ψιλοῦσιν ὡς εὐσθενῆ καὶ δυνατά, «Ὀθρύς», «ὀφρῦς» καὶ «Ὦχος»· τὰ μέσα δὲ οὐ δύναται ὡς ἐλαττότερά πως, «Ἄδωνις», «ἤδη», «ἡγεμὼν» πάντα δασύνεταί πως. Πῶς δ' ἕκαστον ἀφώρισται μέσον τούτων δεικτέον. τοῦ πῖ καὶ φῖ καὶ γάρ ἐστι τὸ βῆτα μέσον, ἄναξ, συγγένεια καὶ γάρ ἐστι τοῦ βῆτα πρὸς ἐκεῖνα. ὅσα γὰρ ἔχουσι τὸ πῖ καὶ τὸ φῖ καὶ τὸ βῆτα ἐν ῥήμασι λεγόμενα, «λείβω», «τέρπω» καὶ «γράφω», εἰς ψῖ γράφει τὸν μέλλοντα, «λείψω», «τέρψω» καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

«γράψω»· τῶν ὀνομάτων δὲ εἰς ψῖ ὁπόσα λήγει πάλιν τούτων ἑνὶ τὴν γενικήν, δέσποτα, σχηματίζει· «ὁ Πέλοψ» γάρ, «τοῦ Πέλοπος», «τοῦ Κίνυφος», «ὁ Κίνυψ», καὶ «τοῦ λιβὸς» «ὁ λίψ» ἐστιν· εὔλογος ἡ μεσότης. οὕτως εἰσὶ καὶ τὰ λοιπὰ τῶν ἀπηριθμημένων. τοῦ γάμμα καὶ τοῦ κάππα γὰρ καὶ τοῦ χῖ ἓν τὸ γένος, τοῦ «λέγω» καὶ τοῦ «πλέκω» γὰρ τὸ ῥῆμα καὶ τοῦ «τρέχω» εἰς ξῖ ποιεῖ τὸν μέλλοντα, «λέξω», «πλέξω» καὶ «θρέξω»· εἰς ξῖ δὲ λῆγον ὄνομα τὴν γενικὴν ποιεῖται, ὥσπερ καὶ πρὶν εἰρήκαμεν, ἑνὶ τῶν εἰρημένων, «ὁ τέττιξ» γάρ, «τοῦ τέττιγος», «τοῦ πέρδικος», «ὁ πέρδιξ», «ὁ ὄνυξ» δέ, «τοῦ ὄνυχος»· ἐν τοῖς τρισὶ ταὐτότης. οὕτω τὸ δέλτα πέφυκε μέσον τοῦ ταῦ καὶ θῆτα, πᾶν ῥῆμα γὰρ λεγόμενον δι' ἑνὸς τούτων, ἄναξ, εἰς σῖγμα δρᾷ τὸν μέλλοντα, «ᾄδω», «πλήθω», «ἀνύτω», ὁ μέλλων «ᾄσω» γάρ ἐστιν «ἀνύσω» τε καὶ «πλήσω»· εἰς σῖγμα δέ γε τελευτῶν ὄνομα κατ' εὐθεῖαν τὴν γενικὴν τούτων ἑνὶ δείκνυσι τελουμένην, «Ἄδωνις» γὰρ «Ἀδώνιδος», «ὄρνις ὄρνιθος» γράφεις, «ἔρως» τε πάλιν «ἔρωτος»· ἴδε τὴν συμφωνίαν. Οὐ πάντων ἡ γραμματικὴ πέφυκεν ἐμπειρία· τῶν πολιτευομένων γὰρ λέξεων ἐπιστήμη, οὐ τῶν ἐν παραβύστῳ δὲ τισὶ συμπεπλασμένων. τὰς γὰρ ἐν τῷ Λυκόφρονι «εὐῶπας κόρας», κώπας, καὶ τὸν παρὰ τῇ Σύριγγι «ἀντίπετρον» οὐκ οἶδεν· ἀλλ' οὔτε τὸ «βαλάντιον» ὡς ἀκόντιον ἔχει οὔτ' ἔριον τὸ «σκέπαρνον» ἐκ τοῦ τὸν ἄρνα σκέπειν οὔτε φησὶ «ποτήριον» ἔνδυμα ἐξ ἐρίων· «ἑλκύδριον» οὐ τίθησιν οὐδέποτε τὸν κάδον. Τὸν τόνον ὁ γραμματικὸς τίθεται προσῳδίαν· πρὸς τόνον γὰρ τὸ μελῳδεῖν, πρὸς τόνον ἁρμονία. Τέσσαρες πρὸς τοῖς εἴκοσι τῶν ποιήσεων τρόποι· παραβολή, ὑπερβολὴ καὶ ἀντωνομασία, ἄλλοι τε προφανέστατοι καὶ γνώριμοι τοῖς πᾶσι. τρόποι δ' ἐπωνομάσθησαν ὡς τρέποντες τὴν φράσιν. Τὸ τρίτον τῆς γραμματικῆς τοῦτο τυγχάνει μέρος, ἱστοριῶν ἀπόδοσις καὶ γλωσσῶν πολυτρόπων. ἑκάστη γὰρ διάλεκτος παμπόλλους ἔχει γλώσσας. ἡ γὰρ Δωρὶς διάλεκτος ἔχει τοιάσδε γλώσσας, Ἀργείων Κορινθίων τε καὶ τῶν Συρακουσίων· ἡ δ' Αἰολὶς τῶν Βοιωτῶν, πρὸς δὲ καὶ τῶν Λεσβίων. ὀφείλει δ' ὁ γραμματικὸς εἰδέναι καὶ τὰς γλώσσας· Ἰάδος γὰρ τὸ «πίσυρες», ἀλλὰ Συρακουσίων. Πέμπτον δὲ μέρος, δέσποτα, γραμματικῆς τυγχάνει ἐκλογισμῶν ἀκρίβεια τῶν τῆς ἀναλογίας, τουτέστι παραθέσεως πρὸς ὅμοιον ὁμοίου. τὸ «Δημοφῶν» γάρ, δέσποτα, καὶ «Ξενοφῶν» κατ' ἴσον ὁμοίου τις παράθεσις κατὰ ἀναλογίαν. Ἔστι καὶ κρίσις ἀκριβὴς αὕτη τῶν ποιημάτων. οὐ κρίνει δ' εἰ συγγέγραπται κρειττόνως ἢ χειρόνως, ἀλλὰ τίνα νενόθευται, τίνα γνησίως ἔχει. πολλὰ γὰρ ἀμφιβάλλεται τῶν προσυγγεγραμμένων, Ὁμήρου μὲν τὰ Κύπρια, πρὸς δὲ καὶ ὁ Μαργίτης, Ἀράτου δὲ τὰ Θυτικὰ καὶ τὰ Περὶ ὀρνέων. κρίνεται δὲ ποιήματα χρόνῳ καὶ ἱστορίᾳ, οἰκονομίᾳ λέξει τε, πλάσματι καὶ συνθέσει. Βιωτικὴ δ' ἀνάγνωσις ἐστὶν ἡ κωμῳδία, οὐκ εὔτονος, οὐκ εὔφωνος, ἀλλ' ὥσπερ ὑφειμένη, συνήθους καὶ βιωτικῆς εἰκών τις ὁμιλίας. τὰ γάρ τοι τραγικώτερα ἄλλου τυγχάνει τύπου· ἡρωϊκὴ γὰρ μέστωσις ἐστὶν ἡ τραγῳδία. εὐτόνως προοιστέον δὲ τὸ ἔπος, στεφηφόρε· ἔπος δ' ὁ τόνος πέφυκεν, ἡ τάσις τῶν ἡρώων. Τὰ δίχρονα δὲ δίσημα οἱ ῥυθμικοὶ καλοῦσιν. Ἄνω δ' ἀποφηνάμενοι πολλοὺς τῶν χρόνων λείπειν αἰτίας οὐ δεδώκαμεν· νῦν δὲ καὶ ταύτας δέχου. «τέτυμμαι»· καὶ τὸ εὐκτικὸν ἀποίητον τυγχάνει, διότι παραλήγεται οὗτος ὁ χρόνος, ἄναξ, ἄλλῳ συμφώνῳ πρὸ τοῦ μῦ, οὐ πέφυκεν ἐντεῦθεν γίνεσθαι παρακείμενος εὐκτικὸς πάθος ἔχων· ἀλλ' οὐδὲ ὑποτακτικός, κοινὴ γὰρ ἡ αἰτία. «τέθεικα» παρακείμενος, ἀπέλιπε δ' ὁ μέσος· καὶ γὰρ ὅταν ὁ δεύτερος ἀόριστος τοῦ πρώτου μιᾷ ἐνδεῖ τῇ συλλαβῇ, ὡς παραδείξομέν σοι, ὁ μέσος παρακείμενος καθ' ὁμοιότητά πως μιᾷ τοῦ ἐνεργητικοῦ συλλαβῇ ἐλαττοῦται. ὁ πρῶτος γὰρ ἀόριστος «ἐλήκησα» τυγχάνων, «ἔλακον» ἐκληρώσατο τὸν δεύτερον εἰκότως· «λελήκηκα» καὶ «λέληκα» ὁμοίως προελέχθη. μέσος δὲ παρακείμενος ἀρχὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σύμφωνον ἔχων οὐδέποτε δισύλλαβος κανονικῶς τυγχάνει· ἐπεὶ δ' ἐστὶ τρισύλλαβον τὸ «τέθεικα» τῇ μέσῃ, πῶς ἂν ὁ μέσος γένοιτο; τοῦτο παρὰ κανόνα, ὀφείλει γὰρ δισύλλαβος παρὰ τὸν λόγον εἶναι. καὶ δεύτερος ἀόριστος ἐν τοῖς εἰς μι οὐκ ἔστι (φημὶ δὲ τοῖς παθητικοῖς· τοῦτο γὰρ προσθετέον), διότι προϋφήρπασαν τὴν κατάληξιν τούτου οἱ δεύτεροι ἀόριστοι τῆς ἐνεργείας, ἄναξ. τοῦ «τίθημι» ἀόριστος ἐν τοῖς ἀπαρεμφάτοις πρῶτος οὐκ ἔστι, δέσποτα· καὶ γὰρ οὐδέ τις κλίσις ὑστέρα τῶν ὁριστικῶν· εἰ δέ τις λέγειν θέλει, ἡμάρτηται τὸ «ἔθηκα», «ἔδωκα» καὶ τὸ «ἧκα». ἄλλως τε οὐδὲ δέχονται μετοχὴν τὰ τοιαῦτα, μὴ ἔχοντα δὲ μετοχὴν ἐστέρηνται τῶν ἄλλων, προστακτικῶν καὶ εὐκτικῶν καὶ τῶν ἀπαρεμφάτων. τὸ «ἔστησα» δὲ γράφομεν καὶ τὸ «ἔφησα», ἄναξ, τούτων γὰρ ἀπαρέμφατα «στῆσαι» καὶ «φῆσαι» γράφε. τοῦ «τίθημι» ἀόριστος προστακτικὸς καὶ μέλλων οὐκ ἔστιν ἐνεργητικός, καὶ σαφὴς ἡ αἰτία· τοῦ «ἔθηκα» καὶ γάρ, φημί, ἐκλέλοιπεν ἡ κλίσις. τοῦ «τίθημι» ἀόριστος πρῶτος οὐκ ἔστιν, ἄναξ, ἐνεργῶν ἐν τῇ μετοχῇ (τοῦτο γὰρ προσθετέον)· εἰ γὰρ καὶ ἔδει γράφεσθαι «θήκας», ἀλλ' ἐσιγήθη· παθητικὸς δὲ πέφυκε, «τεθεὶς» γὰρ πᾶς τις γράφει. τὰ πρῶτα τῶν προστακτικῶν ἐκλέλοιπε τελείως, οὐδεὶς γὰρ πάντων ἑαυτῷ προστάσσει, στεφηφόρε. τὰ τρίτα δ' ἐκλελοίπασι πληθυντικά πως, ἄναξ, τοῦ «τέτυμμαι» παθητικοῦ καὶ ὑπερσυντελίκου· πᾶν τρίτον γὰρ καὶ ἑνικὸν συμφώνῳ παραλῆγον, μὴ σθένον πρὸ τοῦ ταῦ τὸ νῦ δέξασθαι, στεφηφόρε, πληθυντικὸν οὐ πέφυκε πρόσωπον ποιεῖν τρίτον. Ὡς πρός τι τὰ ἡμίφωνα τυγχάνει τῶν γραμμάτων· πρὸς γὰρ τὴν φύσιν λέγεται, φημί, τῶν φωνηέντων, βραχὺ γὰρ ἀπολέλοιπε τούτων τῆς εὐφωνίας. καὶ δῆλον ἐκ τοῦ συριγμόν, μυγμὸν καὶ ῥοῖζον ἔχειν· τὸ μὲν γὰρ ζῆτα καὶ τὸ ξῖ τὸ ψῖ τε καὶ τὸ σῖγμα τὸν συριγμὸν ἐργάζονται, τὸ ῥῶ δὲ μόνον ῥοῖζον, μυγμὸς δὲ πάλιν γίνεται τῷ μῦ καὶ τῷ νῦ, ἄναξ. Ὁ τεχνικὸς μὲν εἴρηκε τῶν ὑγρῶν τὴν αἰτίαν· εἰσὶ γὰρ δυσμετάθετα καὶ δυσεξάλειπτά πως, ὑγροτάτης ποιότητος, κολλητικῆς τὴν φύσιν. σὺ δὲ καὶ ταύτην μάνθανε, τάχα μουσικωτέραν· ὑγρὰ γὰρ κατωνόμασται τῆς προφορᾶς τῷ λείῳ, ὑγρὰ γὰρ ὡς εὐόλισθα, τῇ ἀκοῇ δὲ πλέον. Μάθε καὶ χρῆσιν, δέσποτα, σπανίων ὀνομάτων. Ἄγγαρος μὲν ὁ ἄγγελος. ἀγῆλαι τὸ σεμνῦναι. ἀγχέμαχος ὁ πολεμῶν ἐγγύθεν, στεφηφόρε. ἀγχώμαλον ἰσόπεδον. ἀγωγεὺς τὸ σχοινίον. ἀγχομολῶν ὁ πολεμῶν συστάδην καὶ πλησίον. ἀκκισμὸς ἡ προσποίησις. ἀλέντες συγκλεισθέντες. ἁλίπεδον τὸ ὁμαλόν. ἀλίσας ὁ κονίσας. ἁλίζειν τὸ ἀλείφεσθαι. ἢ ἅλας ἐπιπάσσειν. ἡ λαμπηδὼν δ' ἀμάρυγμα, ἄμβη ὀφρῦς τῆς πέτρας. ἄμοτόν τε τὸ ἄπληστον. ἀμόργη ἡ τρυγία. ἀμφιρεφὲς ὃ πέφυκεν ἐγκατεστεγασμένον. ἀνασοβεῖ ἀνακινεῖ. ἀνασειράζω ἄγχω. ἀναζυγὴ ἀνάλυσις τῶν στρατοπεδευμάτων. ἀναρριχᾶσθαι δέ ἐστι τὸ τῆς σκαλοβασίας. ἄρσις ἐστὶ τὸ βάσταγμα. ἀπρὶξ ὅλῃ δυνάμει. αὐθέκαστος ὁ αὐστηρός. αἱ φάραγγες αὐλῶνες. αὐτόπρεμνον αὐτόρριζον. αὐτόχθων ὁ πολίτης. ἡ δέ γε ἀφοσίωσις ποίησις τῆς ὁσίας· ὁσίαν δ' ὀνομάζουσι, δέσποτα, τὴν κηδείαν. ἄορτο τὸ ἐκρέματο. καὶ ἄωτον τὸ ἄνθος. ἁλίπεδα τὰ νεύοντα πρὸς θάλασσαν πεδία. ἀνάγωγος ὁ ὑβριστής. ἀστεμφῶς ἀκινήτως. ἀποσκυθίσαι δέ ἐστι τὸ τεμεῖν δέρμα κάρας. ὁ δέ γε ἀνεψιαδὸς υἱὸς ὁ ἀνεψίου. ἄγγονες τὰ δοράτια. ἀκρήβης ὁ ἀκμάζων. ἀμαλλεῖον δεσμὸς μαλλῶν. αἰγίλωψ κόρης πάθος. ἀληθερὲς τὸ χλιαρόν. αἴητον τὸ πυρρῶδες. ἀναισιμῶσαι δέ ἐστιν, ἄναξ, τὸ ἀναλῶσαι. τὸ δέ γε ἀπεμύλαινε τὸ κατηυτέλιζέ πως. αὔθαιμοι οἱ αὐτάδελφοι. ἀχαίνειν δὲ τὸ παίζειν. ἀνδράχνη χοιροβότανον. ἀναιρεῖν τὸ μαντεύειν. ἀχὼρ ἀποπιθύρισμα. ἄγγρος δὲ ἡ ὀδύνη. ἄγγουρος τὸ μελίπηκτον. ἀλδαίνειν μεμηνέναι. ἀλυσθαίνειν ἀδημονεῖν. τὸ κλαίειν ἀλυκταίνειν. Βάκηλος ὁ ἀνόητος. βαλβὶς ἀφετηρία. λιμὸς ὁ μέγας βούλιμος. βούπαις νέος ἀφῆλιξ. βοσὸρ ἐσθής τις κόκκινος. βριμάζω τὸ βρυχῶμαι. βέτων ὁ πάνυ εὐτελής. βλῆτον εἶδος λαχάνου. ὁ προβατώδης βέκηλος. τὸ δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

στριγᾶν βλεμαίνειν. βριμαίνειν τὸ ὀργίζεσθαι. βουκάπη βοῶν φάτνη. Γνωσιμαχεῖν ἐπίστασθαι τὴν πρὸς κρείττονας μάχην. γαισσὸς μὲν τὸ δοράτιον. γρυνὸς τραχεῖα ῥάβδος. γεώρας ὁ ἀλλότριος. γέρδιος ὁ ὑφάντης. γράσσων μωρὸς ἀνούστατος. γλαγγάζει δὲ τὸ κρῴζει. Δάπιδες ὑποστρώματα. δέλιθες τὰ σφηκία. δαίσιμον τὸ ἐδώδιμον. δρύφακτοι δ' αἱ κιγκλίδες. δυσβάρκανος ὁ δύσληπτος. οἱ δασεῖς δασυλίδες. δικτάτωρ ὁ δισύπατος. διπλοΐς διπλῆ χλαῖνα. διχόμηνος σελήνη δὲ πεντεκαιδεκαταία. Ἐγκρὶς ἐλαίου γλύκασμα εὔχυτον ὑδαρῶδες. ὁ δ' ἐγκρυφίας ἄρτος τις σποδιασθεὶς ἐν μέρει. ἐγκίσσωσις ἡ ὄχευσις, ἡ σύλληψις δὲ πλέον. ἐξήνιοι ἀλλότριοι καὶ πόρρω τῶν ἡνίων. ἐπαρυστρὶς δὲ τρύβλιον τυγχάνει τοῦ λυχνάπτου. ἐπιφυλλὶς βραχύτατον βοτρύδιον ἀμπέλου. ἐχῖνος πολυώνυμον· ζῷον καὶ εἶδος χύτρας ὅ τε μὴν ἀκανθόχοιρος καὶ ἡ γαστὴρ καὶ πόλις. κορύμβοις ἐνδιάζεσθαι τὸ σκιάζεσθαι φύλλοις. εὐναῖος δὲ ὁ λαγωός. ἔνναιον ὕδωρ βλύζον. ἐπαίκλια τραγήματα. ἐλεὸν τράπεζά τις. εἰρεσιώνη πλέγμα τι ἐρίων προβατείων. ἐπώμαιος ὁ τράχηλος. ἔρσεον τὸ δροσῶδες. ἐγκιλικίζειν δέ ἐστι τὸ πονηρεύεσθαί τι. ἐννεός τε ὁ ἄφωνος. εὐέδρως τὸ βεβαίως. ἑδώλια αἱ ναυτικαὶ τυγχάνουσι καθέδραι. τὸ δὲ θυμιατήριον ἐσχάριόν μοι κάλει. καὶ πάλιν τὸ ἀσύμφωνον ἑτερόστοιχον λέγε. ἐντεριώνη τὸ ἐντός. ἐνώπια εὐθέα. ἐξεστακέναι δέ ἐστι θαυμάσαι, καταπλῆξαι. ἔπαυλις μάνδρα τῶν βοῶν, πρὸς δὲ καὶ τῶν προβάτων. ξυρός ἐστιν ὁ κίνδυνος. ἐρικτὰ τὰ σχιστὰ δέ. ἐρίπνη μέρος ὑψηλόν. ἑρσήεντα δροσώδη. Εὔιος ὁ Διόνυσος. ἔφεδρος ὁ κυβεύων. ἐχέγγυος ὁ ἀσφαλής. Ἡ λόγχη δὲ ζιβύνη. κορωνὶς τὸ κεφάλαιον. Ἠλαίνω τὸ μωραίνω. ἡμίοπος μικρὸς αὐλός. ἦτρον ὀμφαλοῦ μέρος. ἠρδαλωμένος ὁ λεπρός. ἤνυστρον δὲ τὸ κῶλον· ἐχῖνος γὰρ καὶ ἤνυστρον καὶ κεκρύφαλος μέρη ὁμοῦ γαστρὸς πεφύκασι, ταῦτα δὴ τρία μόνα. Θώμιγξ σπάρτος καννάβινος. θηβάνης ἄνεμός τις. θυμάλωπες οἱ ἄνθρακες. θίβη κιβώτιόν τι. θρῖα τὰ φύλλα τῆς συκῆς. Ἱμάντωσις ἡ δέσις. κεραία δὲ τὸ πλάγιον πρὸς τὸ ἱστίον ξύλον. ἴκταρ ἐστὶ τὸ σύντομον. ἵππερος ἵππων ἔρως. Κάμασον τὸ πικούτζουλον. κέπφος εἶδος ὀρνέου. κηκὰς ἀλώπηξ πέφυκε. καὶ κυφὼν ἡ κυνάγχη. κίμβιξ ὁ φιλοχρήματος. κνημὸς ὁ τραχὺς τόπος. καλχαίνειν τὸ ταράττεσθαι. κωμαίνειν τὸ νυστάζειν. κυρίβια ἐρείγματα τὰ ἀπὸ τῶν κυάμων. κυνοῦχος τὸ βαλάντιον. κύρβεις ἄξονες νόμων. κορκορυγὴ ὁ θόρυβος. ὁ δόλιος δὲ κέρκωψ. κλάρια δὲ τὰ ψέλια. κιχλισμὸς λεπτὸς γέλως. κρητίζει μὲν τὸ ψεύδεται. κόβαλος δ' ὁ πανοῦργος. κορδακισμὸς ἡ ὄρχησις. κωμάζει κῶμον ᾄδει. Λάγανον τὸ καπύριον. λορδὸν συγκεκαμμένον. λυκάβας ὁ ἐνιαυτός. ἡ ἅμαξα λαπίνη. Μαγὰς σανὶς τετράγωνος. μαιμάσσειν δὲ τὸ σφύζειν. μύρτα μυρρίνης ὁ καρπός. ὁ δὲ ποιμὴν μηλάτης. μήρυμα νῆμα, κάταγμα. φωλεὸς μυωξία. μονόζωνος ὁ μάχιμος. μαμωνᾶς δὲ ὁ πλοῦτος. Κουρεῖς οἱ τῶν προβάτων δὲ νακοτιλταὶ καλοῦνται. Ξυστὶς τὸ περιβόλαιον. Ὁ λῃστὴς ὁδοιδόκος. οἰσυπηρὸς ὁ ῥυπαρός, οἰσύπη γὰρ ὁ ῥύπος. οἴδακες τὰ μὴ πέπειρα ἀκρόδρυα τῶν δένδρων. γυναῖκα δὲ τὴν φίλοινον οἰνοκάχλαιναν λέγε. Πλούμβατον τὸ μολίβδιον. τὸ σήπομαι πλαδόω. τὰ τῶν ποδῶν εἰλήματα ὀνόμαζε ποδεῖα. πρυτανεῖον τὸ νόμισμα, ὁ τόπος δὲ πολλάκις. ποταίνιον τὸ πρόσφατον. πυρὴν ὀστοῦν ἐλαίας. προύνικος ὁ εὐκίνητος. πέριλος τὸ αἰδοῖον. ὁ κύριος τοῦ ἅρματος καλεῖται παραιβάτης. περίτταινος ὁ περιττῶς αἰνούμενος εἰς κάλλος. Ῥαικὸς ὁ Ἕλλην λέγεται. ῥῶπος ποικίλος φόρτος. ῥάδαμνος κλάδος καὶ βλαστός. Σκυτόμος λωροτόμος. στόρθυξ ἡ ἐπιδορατίς. σχαδόνες τὰ κηρία. σκυτάλη τὸ φραγγέλιον. στίβη ψῦχος καὶ πάχνη. στραγγαλίδες τὰ δύσλυτα. Τορεύειν δὲ τὸ γλύφειν. τηλαύγημα λέπρας ἀρχή. τευτάζειν τὸ πλανᾶσθαι. τυπὰς ἡ σφύρα πέφυκε. τυμβὰς ἡ φαρμακὶς δέ. τετύφωται τὸ μέμηνε. τριγχὸς δὲ τὸ τειχίον. Ὑπερμαζᾶν δὲ τὸ πλουτεῖν. ὑδατίδες σταγόνες. Φάτνωμα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ σανίδωμα. φοίδερα αἱ συνθῆκαι. Χελιδωνὶς τὸ πάτημα τὸ κάτω τῆς εἰσόδου. Ψαίρειν τὸ ψαύειν, τὸ κινεῖν. ψεφαῖον τὸ σκοτῶδες. Ὁ δὲ ἀγκὼν ὠλέκρανον. ὡραῖος ὁ ἀκμαῖος. Ζάγκλον ἐστὶ τὸ δρέπανον. ζάκορος νεωκόρος. ζατρεύειν τὸ ἐν μύλωνι κυρίως βασανίζειν· τὸ δὲ βασανιστήριον ὀνόμαζε ζητρεῖον. ζευγίσιον τὸ τέλεσμα τυγχάνει τοῦ ζευγίτου. Ἡγητορία πέφυκε τῶν σύκων ἡ παλάθη. καὶ ἤια τὰ βρώματα. ἠίθεος ὁ νέος. ἥκιστος ὁ μικρότατος. ἠλαίνω τὸ μωραίνω. ἠλέματος ὁ μάταιος. Ἠλέκτραι Θηβῶν πύλαι. τὴν ἐκ πολλῶν συναγωγὴν καλοῦσιν ἡλιαίαν. ἠλίβατον τὸ ὑψηλόν. ἠλύγη ἡ σκοτία. τὸ καθ' ἑκάστην ἀριθμεῖν ἡμερόλεκτον κάλει. τὸ δὲ ἡμιδιπλοίδιον ἔσθημα γυναικεῖον. τὸ δίκροσσον ἐξύφασμα ἡμιτύβιον λέγε. ἡμιδαὴς ἡμίφλεκτος. ἡνία δὲ τὰ λῶρα. ἦνις ὁ ἐνιαύσιος. ἀνδρεία ἠνορέα. Ἤπυτον ὄρος Θρᾳκικόν. ἠπύτης ὁ κεκράκτης. ἦτρον τὸ ὑπομφάλιον. ἤτριον ἔνδυμά τι. Θαιροὺς δὲ κατονόμαζε τῶν θυρῶν τοὺς στροφέας. θαμάλωπες ἡμίφλεκτοι. θεόφιν θεοῖς ἴσος. τὸ ὑπὸ σκώληκος βρωθὲν θριπηδέστατον λέγε. θωμοὶ σπερμάτων οἱ σωροί. θωμίζω τὸ κεντρίζω. Ἴακχος ὁ Διόνυσος. ἰάλεμος ὁ θρῆνος. ἴθματα τὰ βαδίσματα. ἴθρις ὁ ἐκτομίας. ἰλλόμενος δεσμούμενος. ἰλίζειν διανεύειν. ἱμαῖος ἐπιμύλιος ᾠδή πως καλουμένη. ἴξαλος ὁ ὁρμητικός. ἶνις υἱὸς ὁ νέος. ἶπος ἡ τῶν μυῶν παγίς. Ἴσμαρος Θρᾴκης πόλις. ἰωκὴ μὲν ἡ δίωξις. ἰωχμὸς δὲ ὁ κλόνος. Καλλύντρω τὸ φιλοκαλῶ. ὁ πάσσαλος δὲ κάμαξ. καρβάν ἐστιν ὁ βάρβαρος. ἡ μάκτρα δὲ καρδόπη. κάσσας καὶ κασσωρίδας δὲ ὀνόμαζε τὰς πόρνας. καταῖτυξ περικεφαλαία δὲ μὴ ἔχουσα τὸν λόφον. κεγχρίνης εἶδος ὄφεως. κέραιρε δὲ τὸ κίρνα. κοάλεμος μὲν ὁ μωρός. κόβαλος ὁ λῃστεύων. κνώδαλα τὰ θαλάσσια ὀνομάζονται ζῷα. κολλούριον ἄρτος μικρός. κομψὸς δὲ ὁ πανοῦργος. κυρηβάσει μαχήσεται. Κύρητα ἡ Δημήτηρ. Λευρὸν τὸ λεῖον καὶ πλατύ. λήδιον ἔσθημά τι. λειρόφθαλμος, εἰ δίφθογγον, τὸν προσηνῆ σημαίνει, εἰ δὲ ἰῶτα γράφουσι, τὸν ἀναίσχυντον κάλει. λέπεδνα ἱμαντόδετα. τὰ χέρνιβα δὲ λέβης. Μαζονομεῖον ἄγγος τι ἐν ᾧ φυρᾶται μᾶζα. μαργίτης ὁ ἀνόητος. μακοᾶν τὸ μωραίνειν. τὸ μεταξὺ δὲ τῶν μαζῶν μεταμάζιον κάλει. Νάκος δέρμα τὸ αἴγειον. νασμὸς ὁ μέγας ὄμβρος. Οἶνος δὲ Βίβλινός ἐστιν ὁ βλύζων ἐκ τῆς Θρᾴκης. ἄλφιτα δὲ προκώνια τὰ ἐκ κριθῶν ἀφρύκτων, ἄλφιτα δὲ προταίνια τὰ πρόσφατα τὴν φύσιν. ἔτνος δὲ ῥόφημά ἐστιν ἐξ ἀλεύρων παντοίων. ἱππάκη τυρὸς ἵππειος, τρύφαλος τυροῦ τμῆμα. ὀρρὸς τὸ γάλα πέφυκε, τάμισσος ἡ πιτύα. ὁ μυττωτὸς ὑπότριμμα ἐκ τυροῦ καὶ σκορόδων. τὰ ὄστρεα δὲ τήθεα. φιρήνη δὲ τὸ δέρμα. κογχύλια τὰ ὄστρεα. ὦχρος εἶδος ὀσπρίου, ὡσαύτως δὲ καὶ βέλεκος, ἐοικὼς τοῖς λαθύροις. ἀτέρεμνα ἀνέψητα, οἷα τὰ κερασβόλα. Διὸς βαλάνους λέγουσι τὰ κάρυα οἱ πλείους· καὶ πιτύινα πέφυκεν ὁ καρπὸς τῆς πιτύας. κόκαλον δὲ ὁ στρόβιλος· τὸ δὲ κρόμμυον γῆθυ. αἱ τῶν σκορόδων κεφαλαὶ μώλυζαι γέλγιθές τε. ἡ μίνθη τὸ ἡδύοσμον· ἄρινον δὲ τὸ νάπυ. ἡ σίδη τὸ ῥοΐδιον· συκάμινα δὲ μόρα. ὁ πέπων δέ γε σικυός· ὁ δὲ βρυτὸς πόμά τι. ἡ φύστη εἶδος πέφυκε μάζης ὑδατουμένης. ὑπότριμμα βαρβαρικὸν κάλει τὴν ἀβυρτάκην· καὶ σίραιον τὸ ἕψημα· πικαίριον τὴν ῥίζαν. τὸ δὲ μαλάξαι λέγουσι πολλάκις ἀνοργάσαι. Σκύταν καλεῖ τὴν κεφαλὴν πολλάκις Ἱπποκράτης· στροφέα δέ γε σπόνδυλον φησί που τὸν ὀδόντα· καὶ ἀετοὺς ὠνόμασε τὰς φλέβας τῶν κροτάφων· τὰς δ' ἀρτηρίας εἴρηκεν αὐτὸς οὗτος ἀόρτας· καὶ κέβλην μὲν τὴν κεφαλήν, κύβιτον τὸν ἀγκῶνα, τὸν θώρακα δὲ κίθαρον, κραντῆρας τοὺς ὀδόντας· τὸ κῶλον δὲ τὸ ἔντερον ἐσχάτην που γαστέρα, ἔστι δ' ὅπου τὸν τράχηλον στόμαχον τῆς ὑστέρας· τοῦ δὲ ἐντέρου τὸ λεπτὸν κατονομάζει δέρτρον. τίτιδας φλέβας λέγουσι τὰς περὶ τὴν καρδίαν· ποτιπτερνίδας δέ φασι τὰς οὔσας ἐν ταῖς πτέρναις· τὸ δὲ ἀνδρῷον μόριον πειρῆνά που καλοῦσι· κορώνην δὲ τὸ κόρωνον λέγουσι τοῦ ἀγκῶνος· ἦτρον τὸν ὑπομφάλιον ὀνομάζουσι τόπον, ἐπίσιον ἐφήβαιον,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θαλάμας δὲ τὰ κοῖλα. ὕπαφρον μὲν τὸ κρύφιον· πέζας τὰ πρὸς τοὺς πόδας· τὰς ἀρτηρίας ἴριγγας· τὰ δὲ ὀστᾶ ῥοώδη. ὑπόξυρον τὸ ἄποξυ. σφάκελος τὸ φλεγμαίνειν καὶ τὴν φθορὰν καὶ νέκρωσιν καὶ κάκωσιν παντοίαν. φωΐδες τὰ φλογίσματα· καταφορὰ δὲ κῶμα. χρόνια δὲ ἀλγήματα τὰ κέδματα τυγχάνει. φλογμός ἐστιν ἡ φλεγμονή· χελύσσειν δὲ τὸ βήσσειν· τινὲς δὲ καὶ τὴν πύρωσιν ὀνομάζουσι φλέγμα. σπάδωνα δὲ τὰ σπάσματα· πάθος δέ τι χυόνην· ἐκχύμωμα παρέκχυσιν· τὴν ἐφελκίδα μύκην. ὑπέρινος κατάξηρος· βληστρισμὸς ἀπορία· ἔκφυμα τὸ ἐξάνθημα· τὸ βλάπτεσθαι γυιοῦσθαι. Ἄλλα τε πλεῖστα πέφυκεν ὀνόματα σκοταῖα, ἀλλ' ἀποχρῶντα πέφυκε καὶ ταῦτα, στεφηφόρε.

**7 Τοῦ αὐτοῦ σύνοψις τῆς ῥητορικῆς διὰ στίχων ὁμοίων πρὸς τὸν αὐτὸν βασιλέα Εἰ μάθοις τῆς ῥητορικῆς τὴν τέχνην, στεφηφόρε, ἕξεις καὶ λόγου δύναμιν, ἕξεις καὶ γλώττης χάριν, ἕξεις καὶ πιθανότητα τῶν ἐπιχειρημάτων.**

Πολιτικῶν καὶ γάρ ἐστι θεωρὸς ζητημάτων, πολιτικὸν δὲ ζήτημα κατὰ τὸν τεχνογράφον ἀμφιβολία λογικὴ καὶ μερικὴ τυγχάνει ἐκ τῶν παρὰ ταῖς πόλεσιν ἐθῶν καὶ νόμων πλέον περὶ δικαίων καὶ καλῶν καὶ περὶ συμφερόντων. εἴδη γὰρ τῆς ῥητορικῆς ταῦτα τὰ τρία μόνα, δικανικὸν καὶ συμβουλή, καὶ πανήγυρις τρίτον· καὶ τέλος μὲν δικανικοῦ τὸ δίκαιον τυγχάνει, τὸ καλὸν πανηγυρικοῦ, συμβουλῆς τὸ συμφέρον. Τὸ λογικὸν δὲ ζήτημα, δέσποτά μου, τῆς τέχνης οὐκ ἔστι περατούμενον (τοῦτο γὰρ τὸ τῶν νόμων), ἀλλ' ἕστηκε ζητούμενον εἰς ἅπαντα τὸν χρόνον. Οὐκ ἔστι δ' ἰσοδύναμος φύσις τῶν ζητημάτων· πρόσωπα γὰρ καὶ πράγματα κρείττω καὶ χείρω φέρει. πολλάκις δ' ἐστὶν ἄχρηστον ἓν ἐκ τῶν δύο τούτων· καὶ τηνικαῦτα φαίνεται τοῦ ῥήτορος τὸ κράτος, ὅταν λαμβάνων ζήτημα χαῦνον ἐξ ἑκατέρων ταῖς λογικαῖς δυνάμεσιν αἴρῃ τε καὶ κρατύνῃ. εἰσὶ δὲ καὶ κακόπλαστα πολλὰ τῶν προβλημάτων, ὧν φύσις ἑτερορρεπής, πρὸς δὲ προειλημμένη· τὰ δὲ καὶ πάντῃ πέφυκεν ἀσύστατα τὴν φύσιν ὡς ἑτερομερέστατα, ὡς ἄπορα τελείως. ἐκεῖνα δὲ συνέστηκε, κρίνεται, μελετᾶται, ὧν κρίσιν καὶ τὸ πρόσωπον λαμβάνει καὶ τὸ πρᾶγμα, φύεται δ' ἑκατέρωθεν τῶν λόγων πιθανότης. Εἰσὶ δὲ ταῦτα σύμπαντα, δέσποτα, δεκατρία, στάσεις ὀνομαζόμενα παρὰ τὸ στασιάζειν τοὺς ῥήτορας τῷ πιθανῷ τῶν ἐπιχειρημάτων. Ὧν στοχασμὸς τὸ πρότερον· ὑπάρχει δ' οὗτος, ἄναξ, ἔλεγχος οὐσιοποιὸς ἐκ φανεροῦ σημείου ἢ τῆς περὶ τὸ πρόσωπον ἀκριβοῦς ὑποψίας. Ὅρος ἐστὶ τὸ δεύτερον οὕτως ὠνομασμένος, ὀνόματός τις ζήτησις πράγματός τινος χάριν. Τὸ τρίτον δὲ πραγματική, ζητοῦσα τὸ πρακτέον· ἐντεῦθεν γὰρ ἐδέξατο τὴν κλῆσιν, στεφηφόρε. Τὸ τέταρτον ἀντίληψις δοκοῦντος ἀνευθύνου ὡς ὑπευθύνου πράγματος δεινὴ κατηγορία. Τὸ πέμπτον δ' αὖ ἀντίστασις, ὁ φεύγων γὰρ ἐν ταύτῃ ὁμολογῶν τὸ ἔγκλημα τὸ προσενηνεγμένον ἀνθίστησιν εὐτύχημα αὐτόθεν πεπραγμένον. Εἰ δέ τις φόνον δεδρακὼς ὁμολογῶν τὸν φόνον ἄξιον φόνου δείκνυσιν αὐτὸν τὸν πεπονθότα, ἀντέγκλημα συνίστησιν ἀντεγκαλῶν δικαίως. Εἰ δ' ἄλλῳ περιτίθησιν εὐφυῶς τὴν αἰτίαν, εἰ μέν τι κολαζόμενον, μετάστασις τυγχάνει· εἰ δ' ἐστὶν ἀτιμώρητον, τὸ ζήτημα συγγνώμη. Εἰ δὲ συμβάντος πράγματος νόμῳ κολαζομένου ὁ μὲν τοῦ νόμου τὸ ῥητὸν προβάλλεται δικαίως, ὁ δὲ τὸν νόμον ἀναιρεῖ σοφῶς ταῖς διανοίαις, ῥητόν τε καὶ διάνοια τὸ ζήτημα τυγχάνει. Εἰ δέ τις πρᾶγμα τῷ ῥητῷ προσφυῶς ἀντιξέει, συλλογισμὸν ἐργάζεται ῥητορικὸν ἐνταῦθα· παράθεσις οὗτός ἐστι πρὸς ἔγγραφον ἀγράφου. Εἰ δ' ἔστιν ἀμφισβήτησις νόμων δυοῖν ἢ πλέον κἂν μὴ πολλῶν τὸ ζήτημα, ἑνὸς δὲ τεμνομένου, ἀντινομία πέφυκεν ἡ ζήτησις εἰκότως. Ἀμφιβολία δέ ἐστι ζήτησις προχωροῦσα ἐκ προσῳδίας τονικῆς ἢ μερισμοῦ ῥημάτων. Εἰ δ' ἔστιν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀμφισβήτησις εἰ δεῖ γενέσθαι κρίσιν, μετάληψις τὸ ζήτημα, ἣν οὕτω διαιρήσεις· τὸ μὲν γὰρ ταύτης ἔγγραφον, τὸ δ' ἄγραφον τυγχάνει. παραγραφὴν τὸ ἔγγραφον ὀνόμαζε τελείαν, ἐκ νόμων ἔχον τὴν ἰσχὺν τοῦ λόγου καὶ τὸ κράτος, τὸ δ' ἄγραφον οὐ νομικόν, οὐ γὰρ προβάλλει νόμον, ἀλλ' ἔστι λογικώτερον· καὶ γὰρ αἱ δύο στάσεις, πραγματική, μετάληψις, ὥσπερ ἡ τέχνη λέγει, τῶν λογικῶν καὶ νομικῶν μέσαι τυγχάνουσί πως, οὐχ ὅλαι, τοῖς δὲ μέρεσι πρὸς ἄμφω τεταγμέναι. Ἑκάστη δὲ τῶν στάσεων τῶν ἀπηριθμημένων καὶ ἰδικοῖς ὀνόμασι καὶ γενικοῖς καλεῖται· καὶ κεφαλαίοις ἰδικοῖς καὶ κοινοῖς τέμνεταί πως, ὧν τὰ μὲν τοῦ διώκοντος τυγχάνουσιν ἰδίως, τὰ δέ εἰσι τοῦ φεύγοντος, τὰ δὲ κοινὰ τῶν δύο. Πάλιν κατ' ἄλλον μερισμὸν τὰ μὲν τῶν ζητημάτων ὡς λόγον γένους ἔχοντα τέμνεταί πως εἰς εἴδη, τὰ δ' εἰσὶ μερικώτατα, τομὴν μὴ δεδεγμένα. Οὗτος ὁ λόγος πέφυκε τῶν ζητημάτων, ἄναξ· ἐντεῦθεν δὲ λεκτέον σοι καὶ περὶ προοιμίων καὶ τῶν λοιπῶν εὑρέσεων τοῦ λόγου καὶ σχημάτων. Ὁ κατὰ τέχνην, δέσποτα, συντεθειμένος λόγος ἔχει καὶ σῶμα καὶ ψυχὴν καὶ κεφαλὴν καὶ πόδας. ψυχὴ μὲν ἡ διάνοια, σῶμα δ' ἐστὶν ἡ λέξις, κεφαλὴ τὰ προοίμια, ἐπίλογος οἱ πόδες. Καὶ πλεῖστοι μὲν τυγχάνουσι τόποι τῶν προοιμίων, ὁ δ' Ἑρμογένης τέσσαρας τεχνογραφεῖ καὶ μόνους. Τὸν ἐκ τῆς ὑπολήψεως προσώπων καὶ πραγμάτων· δεῖ γὰρ πρὸς τὴν ὑπόληψιν τῶν ἀπηριθμημένων συντάττειν τὰ προοίμια καὶ χαίρειν ἢ λυπεῖσθαι. Τὸν ἐκ τῆς διαιρέσεως· οὗτος δ' ἐστὶ τοιοῦτος, ὅταν πραχθέντων, δέσποτα, δυοῖν ἀδικημάτων, ὧν ἕκαστον καὶ κρίνεται, πρὸς δὲ καὶ τιμωρεῖται, μερίζοντες ποιήσωμεν προοίμιον τοιοῦτον· εἰ καὶ δι' ἓν ἀδίκημα οὗτος τιμωρητέος, πόσῳ γε δι' ἀμφότερα τυγχάνει κολαστέος. τοιοῦτον καὶ τὸ δεύτερον, τοιοῦτον καὶ τὸ τρίτον εἶδος τυγχάνει, δέσποτα, τοῦδε τοῦ προοιμίου, τὸ μὲν ἐξ ὑπολήψεως, τὸ τρίτον ἐκ τοῦ χρόνου. Καὶ τρίτον πάλιν τίθησι τῶν προοιμίων τόπον, ὃν οὕτως κατωνόμασεν ὡς ἐκ περιουσίας, ὥσπερ ὅταν κατηγορῶν φόνου τινὸς προσθήσω ὡς ἠδυνάμην γράψασθαι καὶ ἱεροσυλίας, μείζονος ἀδικήματος καὶ χείρονος τοῦ πρώτου. Ἐκ τοῦ καιροῦ δ' ὁ τέταρτος τόπος τῶν προοιμίων, ὅταν ἀξίωσιν ποιῶν γράφῃς ὡς πεπραγμένον τυγχάνει τὸ ζητούμενον ὅσον τοῖς πεπραγμένοις. Ἔστι δὲ πᾶν προοίμιον ἐκ τούτων τῶν τεσσάρων· προτάσεως, κατασκευῆς, ἀξιώσεως τρίτης, καὶ τοῦ τετάρτου βάσεως, ὃ τέλος προοιμίου. Αὐτάρκης δὲ περιβολὴ τυγχάνει προοιμίου διπλασιάσαι ὄνομα, διπλασιάσαι κῶλον. Ὡς δ' ἐπὶ παραδείγματος τὰ τέσσαρα δεικτέον· «μαρτύρων μνήμης τίς ἂν ᾖ φιλομάρτυρι κόρος;» τοῦτο τοῦ λόγου πρότασις, εἶτα καὶ τἆλλα σκόπει· «ἡ γὰρ τοῦ μάρτυρος τιμὴ εὔνοια πρὸς δεσπότην»· κατασκευὴ προτάσεως τοῦτο σαφὴς τυγχάνει. «τῷ λόγῳ τοίνυν τίμησον τὸν μεμαρτυρηκότα»· τοῦτο σαφὴς ἀξίωσις. εἶτα τὴν βάσιν βλέπε· «ὅπως ἂν μάρτυς γένοιο καὶ σὺ τῇ προαιρέσει»· βάσις γὰρ   πωνόμασται ὡς ἔσχατόν τι μέρος, ἐν ᾧ καὶ βαίνειν ἔοικε τὸ προοίμιον ὅλον, ἐπεὶ τῆς ἀξιώσεως κατασκευὴ καὶ τοῦτο, ὃ δρῶμεν ἐπιφώνημα τολμᾶν εἰσβεβηκότες, περὶ οὗ σε διδάξομεν τοῦ λόγου προϊόντος. Καὶ τέχνη μέν σοι σύντομος αὕτη τῶν προοιμίων· μέλλων δ' εἰς τὴν διήγησιν τὸν λόγον παρεισάγειν ζήτει τὴν προκατάστασιν, ὁπόθεν ταύτην λάβῃς. ἔστι δὲ τὸ πρεσβύτερον διηγήσεως μέρος, οἷόν τις προδιήγησις τῶν ἀπ' ἀρχῆς εἰς τέλος. ἄτεχνον γὰρ ὡς ἀληθῶς εἰ μὴ προκαταστήσας αὐτῆς τῆς διηγήσεως ἄρξαιο παραυτίκα. ἡ μετοικία τοιγαροῦν ἔχει προκαταστάσεις αἵ τε τῶν νόμων εἰσφοραὶ καὶ λύσεις καὶ τὰ πλείω μέρη τῶν ὑποθέσεων προκαταστάσεις ἔχει. εἰς οἵαν γὰρ διήγησιν πρεσβύτερόν τι λάβῃς, τοῦτό σοι προκατάστασις ἔστω συντεταγμένη. Προκαταστήσας τοιγαροῦν τὴν διήγησιν λέγε. ἡ δὲ πλατεῖά τέ ἐστι τῇ φράσει καὶ ποικίλη· οὐ γὰρ ἐστενοχώρηται μέτρῳ ῥητῷ τοῦ λόγου, ἀλλὰ πλατύνεται πολλοῖς κώλοις καὶ διανοίαις. εἰ βούλει δὲ καὶ τὴν αὐτὴν ἔννοιαν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μεταπλάσαι ἐν διαφόροις λέξεσιν, ὀνόμασι ποικίλοις, ποικίλλων καὶ μετατιθεὶς πρῶτον μὲν τὸ πρακτέον, εἶτα τὸ τούτου αἴτιον, εἶτα τὸ παρειμένον, εἶτα τὸ τούτου αἴτιον, τέσσαρα ταῦτα μέρη. Τρόποι δὲ διηγήσεως τρεῖς οἵδε, στεφηφόρε· ἁπλοῦς, καὶ ἐγκατάσκευος, ἐνδιάσκευος τρίτος. ὅταν μὲν ᾖ τὰ πράγματα πολλά τε καὶ ποικίλα, ἰσχὺν αὐτόθεν ἔχοντα καὶ δίχα περινοίας, μηδὲν ποικίλλῃς, δέσποτα, ἁπλῇ χρῶ διηγήσει. ὁποῖον τὸ παράδειγμα τοῦ Δημοσθένους ἔνι· «ἐξήλθομεν ἐς Πάνακτον ἔτος δὴ τοῦτο τρίτον καὶ μεθ' ἡμῶν ἐσκήνωσαν Ἀρίστωνος οἱ παῖδες, εἶτα δὴ καὶ κατέπαιζον ἐπ' ὄψεσι τῶν πάντων, ὑβρίζοντες καὶ τύπτοντες, ῥηγνύντες τὰς ἀμίδας.» εἰ δ' ἐστὶν ἡ διήγησις σύντομος δεινοτέρα, ἐγκατασκεύως διηγοῦ πλατύνων ταῖς αἰτίαις. εἰ δὲ καὶ σύντομός ἐστιν ὁμοῦ καὶ φαιδροτέρα, θαρρούντως διασκεύαζε ἐνδιασκεύοις τρόποις. τί δ' ἐστὶν ἐνδιάσκευον; ποικιλλόμενος τρόπος. καὶ πρῶτόν σοι παράδειγμα ποιητικὸν ῥητέον· «αὖ εἵρυσαν τὸ πρότερον, ἔσφαξαν ἔδειράν τε, εἶτα μηροὺς ἐξέταμον, ἐκάλυψαν τῇ κνίσσῃ, ἐπιμελῶς ἐξώπτησαν εἰρύσαντό τε πάντα.» ῥητέον δὲ καὶ δεύτερον ἄλλο παράδειγμά σοι τοῦ θεολόγου πάνσοφον ἐκ τοῦ Ἐπιταφίου· «πηδῶσι γὰρ βοῶσί τε, πέμπουσιν ἄνω κόνιν, καθήμενοί τ' ἐλαύνουσι, παίουσι τὸν ἀέρα, ζευγνύουσι καὶ σύντομον μεταζευγνύουσί πως.» ἄνω δ' εἰπὼν ὁ πάνσοφος τὴν σοφιστομανίαν, εἶτα προσθεὶς τὸ αἴτιον, ὅτι πλῆθος καὶ νέοι, ἔκθεσιν ἐγκατάσκευον εἴρηκέ σοι συντόμως. Ἡ δέ γε προκατασκευή (καὶ τοῦτο γὰρ ῥητέον) πρεσβύτερον κατασκευῆς τυγχάνει φερωνύμως· ὅπερ σοι παραδείγματι καὶ πάλιν διδακτέον, οὐχὶ τῷ Δημοσθενικῷ, τῷ δὲ τοῦ θεολόγου. οὗτος καὶ γὰρ ὁ πάνσοφος φιλόσοφος καὶ ῥήτωρ κατασκευάζειν ὁρμηθεὶς τὴν θείαν μοναρχίαν προτίθησι κεφάλαια πάντα τοῦ λόγου τρία· «περὶ θεοῦ» γὰρ ἔφησεν «ἄνωθεν τρεῖς αἱ δόξαι, ἄναρχον, τὸ πολύαρχον, καὶ τρίτον μοναρχία.» ἡ τοίνυν τούτων ἔκθεσις τῶν τριῶν κεφαλαίων τυγχάνει προκατασκευὴ τεχνικῶς προκειμένη. Ἔστι καὶ εἶδος λύσεως βίαιον κεκλημένον, ὅταν λαβόντες τὸν δεινὸν λόγον τῶν ἀντιδίκων εἰς τούτους ἀντιστρέψωμεν ὡς κατ' αὐτῶν δεικνύντες, ὡς εἶπεν ὁ Χρυσόστομος ἐν τῷ Φιλογονίῳ. τὸν λόγον γὰρ εἰσάγοντος τὸν περὶ μυστηρίων καὶ κλείοντος τὴν πρόσοδον τοῖς ἀκολαστοτέροις, ὥσπερ τινὲς ἀντέφησαν ὡς οὐχὶ καθ' ἡμέραν τολμῶσι τὴν μετάληψιν, μόνον δ' ἅπαξ τοῦ χρόνου, «αὐτὸ γοῦν τοῦτο χαλεπόν», ἀντείρηκε βιαίως ὁ πάνσοφος διδάσκαλος, ἡ χρυσώνυμος γλῶττα, «ὅτι μηδ' ἅπαξ κοινωνῶν τῶν θείων μυστηρίων ἁγνίζῃ καὶ πρὸς κάθαρσιν ἀκριβῆ προσλαμβάνεις.» Τὸ δὲ τῆς ὑποθέσεως κεφάλαιον ἐν λόγῳ ἢ παρ' ἡμῶν εἰσάγεται ἢ τῶν ἀντιλεγόντων· ὃ δεῖται πάντως λύσεως τεχνικῆς καὶ ποικίλης. εἰσάγεται δὲ τεχνικῶς ἐν κόσμῳ τετρακύκλῳ, προτάσεσιν, ὑποφοραῖς ἀντιπροτάσεσί τε καὶ τῶν ἀντιπροτάσεων λύσεσιν ἀντιθέτοις. πρότασις μὲν ὑποφορᾶς ἐστὶν ἐπαγγελία, ὁ λόγος δ' ὁ ἀντίθετος ὑποφορὰ τελεία, καὶ πάλιν ἀντιπρότασις ὑπόσχεσις τοῦ λύειν, μεθ' ἣν ἡ λύσις γίνεται ἐξ ἐπιχειρημάτων. Τὸ μὲν γὰρ ἐπιχείρημα κατασκευάζει λύσιν, ἡ δ' ἐργασία δύναμις τῶν ἐπιχειρημάτων, ὥσπερ δὴ τὸ ἐνθύμημα πάλιν τῆς ἐργασίας, τὰ δὲ ἐπενθυμήματα τῶν προενθυμημάτων. εὑρίσκεται δ' ἡ δύναμις τῶν ἐπιχειρημάτων τόπῳ, προσώπῳ χρόνῳ τε καὶ τρόπῳ σὺν αἰτίᾳ· πρῶτον δ' αὐτῷ τῷ πράγματι, ἡ ὕλη γὰρ ἐν τούτοις. ἡ δ' ἐργασία σφίγγουσα τὰς προεπιχειρήσεις κρατύνεται παραβολαῖς καὶ παραδείγμασί πως, ἐλάττοσι, τοῖς μείζοσιν, ἴσοις, τοῖς ἐναντίοις. ἡ φύσις δ' ἐπεισάγεται ἡ τῶν ἐνθυμημάτων ἐκ πάσης περιστάσεως συγκριτικώτερόν πως· τὸ δ' ἐπενθύμημα διπλοῦν ἐνθύμημα τυγχάνει. Ἐνστάσει δὲ χρηστέον σοι καὶ ἀντιπαραστάσει ἐν πᾶσι τοῖς ζητήμασιν· εὔχρηστοι γὰρ τῷ τρόπῳ. ἀλλ' ἡ μὲν ἔνστασίς ἐστιν ὡς τυραννικωτέρα, ἀναίρεσιν εἰσάγουσα τοῦ πράγματος καὶ λύσιν, ἡ δὲ ἀντιπαράστασις τυγχάνει λειοτέρα. εἰ μὲν γὰρ οὕτω τις ἐρεῖ, «οὐκ ἔδει σε



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φονεῦσαι», ἀντίστασιν εἰσήνεγκε τὴν πρᾶξιν ἀναιροῦσαν· εἰ δ' εἴποι τις, «κἂν ἔδει σε, ἀλλ' οὐ τοιοῦτον τρόπον», εἶπεν ἀντιπαράστασιν, λύσιν ὁμαλωτέραν. ποῖον δ' εἰσάγειν πρότερον τοῖς ζητήμασι δέον, οὐκ ἔστιν ἀποφήνασθαι, σταθμῷ δὲ σὺ τῷ λόγῳ. πλὴν ἡ ἀντιπαράστασις ὥσπερ ὁδός τις λεία. Τὰ δ' ἀπ' ἀρχῆς λεγόμενα μέχρις αὐτοῦ τοῦ τέλους ἔστι συνεκτικώτατον κεφάλαιον τῶν ἄλλων, ὅπερ κατασκευάζεται ἰδιάζουσι τρόποις. οὐ γὰρ ταῖς περιστάσεσιν, ἀλλὰ τομαῖς ποικίλαις, ἀποταθεῖσι πνεύμασι, σφιγχθείσαις περιόδοις. ἑκάστη δ' ὑποδιαίρεσις δρᾷ προσωποποιίαν. ἐπὶ τῷ τέλει καὶ πλαστῷ χρήσῃ τεχνικωτάτως. ἐπὶ δὲ τῆς πραγματικῆς δυσχερῆ λύσιν ἔχει τὰ ἀπ' ἀρχῆς λεγόμενα μέχρις αὐτοῦ τοῦ τέλους· χρῶ δὲ τοῖς μεταληπτικοῖς μᾶλλον τῶν ἄλλων πλέον. Ἡ δέ γε τάξις, δέσποτα, τῶν ἐπιχειρημάτων διπλῆ τις, ἀποδεικτική, πανηγυρικωτέρα. ἡ μέν ἐστι δικανική, φράσεως δεομένη ἐναγωνίου μάλιστα τῆς πολιτικωτέρας, ἡ δὲ φαιδρὰ καὶ πάγκαλος, χρωννύουσα τὸν λόγον. εἰ τοίνυν λόγος πέφυκεν ἐκ δυοῖν τεθειμένος, φυλάξεις τὰ φαιδρότερα τῷ τελευταίῳ μέρει. Ὅρος δὲ σὺν ἀνθορισμῷ, συλλογισμὸς καὶ λύσις ὀνόματα μὲν τέσσαρα, τῇ δὲ δυνάμει δύο· τοῖς γὰρ αὐτοῖς κρατύνονται συλλογισμὸς καὶ ὅρος, ὥσπερ πάλιν ἀνθορισμὸς συλλογισμοῦ τε λύσις. ἐν μέσῳ δὲ τοῦ πράγματος τῷ λόγῳ προκειμένου ὁ μὲν συλλογισμὸς αὐτὸς ἥ τε δὴ τούτου λύσις ἑπόμενα τῷ πράγματι καὶ δεύτερα τυγχάνει, ὅρος δὲ σὺν ἀνθορισμῷ πρότερα προσηκόντως. Πρὸς τούτοις τὴν διασκευὴν τοῦ προβλήματος μάθε· λεπτὴ γὰρ διατύπωσις τοῦ πράγματος τυγχάνει, ὡς προλαβόντες εἴπομεν ἔν γε τῇ διηγήσει. ἐν ταύτῃ δεῖ τὸν ῥήτορα τολμᾶν τι τῶν εἰκότων. κἂν μὲν ἐμπίπτειν πέφυκε δὶς αὕτη καὶ πολλάκις, μὴ χρήσῃ ταύτῃ πανταχοῦ, ἀλλ' οἰκονομητέον, ἵνα μὴ δόξῃς φορτικὸς τοῖς αὐτοῖς κεχρημένος. εἰ δ' ἐπεισάγειν βούλοιο τῷ λόγῳ τι χωρίον, ἀφ' ἑνός που ὀνόματος πρόφασιν ἕξεις λόγων· οἷον γὰρ εἴποις «ἀριθμὸν σύλλεγέ μοι τοσοῦτον», ἐξ ἱστορίας, δέσποτα, τῷ λόγῳ προσηκούσης. Λόγου δὲ σχῆμα πέφυκεν ἀντίθετον τὸ πρῶτον, τὸν νοῦν τὸν ὑποκείμενον διπλοῦν σοι παρεισάγον. τοῦ κατὰ φύσιν γὰρ αὐτοῦ πράγματος ζητουμένου λαμβάνει τὴν ἀντίθετον ἔννοιαν ἐν τῷ τέλει, οἷον, «ἡμέρα πέφυκεν, εἰ μὴ γὰρ ἦν ἡμέρα, –» «ἐπεὶ δ' ἡμέρα πέφυκε»· τοῦτ' ἀντίθετον σχῆμα. Περίοδος δὲ πέφυκε κλεὶς ἐπιχειρημάτων, συνάγουσα καὶ σχήματα καὶ νοήματα πλέον, τούτων τὴν ὅλην ἔννοιαν ἐντέχνως, εὐθυβόλως. ποιοῦσι δὲ περίοδον αἱ πολύτροποι πτώσεις. ἡ κλητικὴ δὲ πνεύματος, οὐ περιόδου τόπος· «ὦ–τί γὰρ ἂν εἰπών σέ τις ὀρθῶς πάντως προσείποι;» οὐκ ἔσφιγξεν, ἐπλάτυνεν, οὐ περίοδος ἄρα. εἴδη δὲ πλεῖστα πέφυκε τῶν περιόδων, ἄναξ. ἔστι δ' ἡ μὲν μονόκωλος, ἡ δὲ καὶ διπλασίων, ἄλλη δ' ἐστὶ καὶ τρίκωλος, ἡ δὲ τοῦτο τετράκις· ἡ δέ τις καὶ χιάζεται, ἡ δ' ἀναστρέφεταί πως. σαφῆ τὰ παραδείγματα πάντων τούτων τυγχάνει. σὺ δ' ἔχε μοι τὴν σύνοψιν, εἶτ' ἐρώτα θαρρούντως, κἀγώ σοι τὴν διάλυσιν λέξω τοῦ ζητουμένου. εἶτ' οὐ θαυμάζεις, δέσποτα, τοῦ γράφοντος τὴν τέχνην, ἂν ἔχῃς εἰλητάριον βραχὺ τῆς ὅλης τέχνης; Ἔστι καὶ σχῆμα πνεύματος ῥητορικοῦ τοιοῦτον· σύνθεσις λόγου πέφυκε νοῦν ὅλον ἀπαρτίζον ἐν κώλοις τε καὶ κόμμασι τῶν κώλων μικροτέροις. τὸ μὲν γὰρ ἑξασύλλαβον καὶ βραχύτερον μᾶλλον κόμμα ἐστὶ μετρούμενον ἐπῳδῷ ἴσον μέτρῳ· τὸ δ' αὖ ὑπὲρ τὸ τρίμετρον ἡρωϊκοῦ πλησίον κῶλον κατονομάζεται ὀρθὸν καὶ τεταμένον. Εἴδη δὲ δύο πέφυκε τῶν τεχνικῶν πνευμάτων. ἢ γὰρ ἓν νόημα λαβὼν ποικίλως μεταλλάξεις ἐν κώλοις τε καὶ κόμμασιν, ἢ πολλὰ καὶ ποικίλα ἕκαστον ἐξεργάσαιο ἐν κόμμασι καὶ κώλοις. Ἀκμὴ μὲν λόγου πέφυκε (δεῖ γὰρ μαθεῖν καὶ τοῦτο) μεταβολή τις σύντομος σχημάτων κατὰ πνεῦμα· ἀκμὴ δὲ πάλιν πέφυκεν ἄλλη τῶν νοημάτων, ὅταν πληρώσας νόημα πνεύματι τεταμένον εἰς ἄλλο λάθῃς μετελθὼν κἀκεῖθεν αὖ εἰς ἄλλο. Τὸ δὲ διλήμματόν ἐστι σχῆμα δριμύ τι λόγου,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὅταν ἐρώτημα τεμὼν εἰς τμήματά πως δύο, ὧν ἕκαστον ἀμφίκρημνον, ἐχθρῶν τινων πυνθάνῃ· ἢ γὰρ ἐπιστομίσειας λέγειν μὴ δυναμένους ἢ καὶ τολμήσαντας εἰπεῖν ἔχεις νενικημένους. Παρήχησις κάλλος ἐστὶν ὁμοίων ὀνομάτων ταὐτὸν ἠχούντων, δέσποτα, ἐν διαφόρῳ γνώμῃ, ὡς εἴρηκεν ὁ Ξενοφῶν τὸ «πείθει τὸν Πειθίαν». Ὁ κύκλος δὲ τορνεύεται, εἴ τις ἀρχὴν καὶ τέλος ἀντωνυμίαν τὴν αὐτὴν ἢ μέρος ἄλλο θήσει. Τοῦ δέ γ' ἐπιφωνήματος μέρη τυγχάνει δύο. τὸ μὲν γάρ ἐστιν ἔξωθεν λόγος ἐμβεβλημένος, ἐφ' ᾧ δὴ λάβοις πράγματι προσκείμενος ἀπᾴδων, τετολμημένος ἀσφαλῶς, ἐπιπεφωνημένος. λεκτέον δὲ παράδειγμα Ὁμηρικὸν συντόμως· «σὺν δ' εὖρος νότος τ' ὄρωρεν ἀθρόως ἐπαΐξας ὁ δυσαής τε ζέφυρος, βορρᾶς αἰθρηγενέτης, ἐκάλυψε δὲ νέφεσι γαῖαν ὁμοῦ καὶ πόντον, ὄρωρε δ' οὐρανόθεν νύξ.» τοῦτο τὸ τελευταῖον πέφυκεν ἐπιφώνημα ἔξωθεν εἰσηγμένον, ἀλλότριον καὶ γνήσιον, ὡς ἂν λαβεῖν ἐθέλοις, τετόλμηται δ' ἐξ οὐρανοῦ τὴν νύκτα παρελκύον. δεύτερον ἐπιφώνημα τισὶν εἰσδεδεγμένον, ὅταν ταθέντος πνεύματος ἐν κώλοις διαφόροις ἓν κῶλον τέλος προστεθῇ πάντων συνδεδραγμένον, ὡς Ὅμηρος τὸν Αἴαντα ποικίλως διαγράψας αὖθις ἐπαλιλλόγησεν ἑνὶ τὰ πάντα κώλῳ, «ἄλλο δ' ἐπ' ἄλλῳ τι κακὸν ἦν ἐπεστηριγμένον.» καὶ τρίτον ἐπιφώνημα φθόνος οὐδεὶς εἰ λέγοις τὰ τῶν τροπῶν ὀνόματα τῷ προκειμένῳ λόγῳ οἰκείως προσφερόμενα καὶ καταλλήλῳ τρόπῳ. Τροπὴ γὰρ ὀνομάζεται ὀνόματος κοινότης τοῦ προτεθέντος πράγματος καὶ τοῦ παρεισηγμένου. Σεμνὸς δὲ λόγος ὄνομα ὀνόματι καλλύνων· εἰ γὰρ τὴν πόρνην φήσειας ἑταῖραν μεταλλάξας, τὴν κλῆσιν ἀπεσέμνυνας τεχνικῶς μεταφράσας. Πᾶν δ' εἴ τις λόγος ἄτεχνος μὴ προεξειργασμένος κακόζηλον ὀνόμαζε γενικωτάτῳ λόγῳ. Ἔστι δέ τι καὶ πρόβλημα τῶν ἐσχηματισμένων, κατ' ἔμφασιν καὶ πλάγιον, τρίτον κατ' ἐναντίον· καὶ μᾶλλον τὸ κατ' ἔμφασιν ῥητορικώτερόν πως. Προβλήματα συγκριτικὰ πανταχοῦ σοι γραπτέον, ἐν στοχασμῷ δὲ ῥᾴδιον βουλήσει καὶ δυνάμει· τὸ γὰρ «ἐγὼ» πρὸς βούλησιν καὶ τὸ «σὺ» τεθειμένα τὴν σύγκρισιν ἐργάσαιντο ῥᾷστά σοι, στεφηφόρε. τοῦτο καὶ τῶν εὑρέσεων τυγχάνει σοι τὸ τέλος. Ἔστι καὶ τρίτον μάθημα τῆς πυριπνόου τέχνης, ὅπερ ἰδέας λέγουσιν ἤτοι μορφὰς τοῦ λόγου, ἐξ ὧν χαρακτηρίζονται οἱ λόγοι τῶν ῥητόρων. ἑκάστη δὲ τῶν ἰδεῶν ὀκταμερὴς τυγχάνει. καὶ πρῶτον μέρος ἔννοια· ἡ λέξις μετὰ ταύτην· εἶτα δὴ τρίτον πέφυκε τῆς λέξεως τὸ σχῆμα· ἡ μέθοδος δὲ τέταρτον τυγχάνει τῆς ἐννοίας· μεθ' ἣν τὰ κῶλα πέφυκεν, εἶτα λοιπὰ τὰ τρία, ἀνάπαυσις καὶ σύνθεσις καὶ ῥυθμὸς τελευταῖος. τούτοις ἑκάστη τέμνεται τοῖς μέρεσιν ἰδέα. Εἰσὶ δὲ τρεῖς αἱ γενικῶς τεμνόμεναι εἰς εἴδη, σαφήνεια καὶ μέγεθος καὶ κάλλος εἰρημέναι. καὶ τοῦ σαφοῦς μὲν ἀσαφὲς ἀντίθετον τυγχάνει, τὸ μέγεθος δ' εὐτέλειαν ὑπεναντίαν ἔχει, τὸ δ' ἀμελὲς ἀντίρροπον τοῦ κεκαλλωπισμένου. τέσσαρες δὲ τυγχάνουσιν ἰδικαὶ τεταγμέναι, γοργότης, ἧς ἀντίθετον ἐστὶν ἡ ὑπτιότης, ἦθος καὶ ἐνδιάθετον, καὶ τέταρτον δεινότης. Τέμνεται δ' ἡ σαφήνεια εἰς δύο ταῦτα μέρη, εἰς καθαρότητά φημι καὶ εἰς εὐκρίνειάν γε· τῇ πρώτῃ μὲν ἀντίθετον περιβολὴ τυγχάνει καὶ τῇ δευτέρᾳ σύγχυσις, κακία τις τοῦ λόγου. τὸ μέγεθος δὲ τέμνεται εἰς ἓξ ταύτας ἰδέας, σεμνότητα, τραχύτητα, λαμπρότητα τὴν τρίτην, ἀκμήν τε καὶ σφοδρότητα, περιβολὴν τὴν ἕκτην. τοῦ ἤθους δ' εἰσὶ τέσσαρες ἰδέαι τεμνομένου, ἐπιεικές, ἀφέλεια, ἀλήθεια, βαρύτης, ἥτις αὐτὴ μὲν καθ' αὑτὴν οὐδαμῶς θεωρεῖται, συνίσταται δ' ἐξ ἀφελοῦς καὶ τῆς ἐπιεικείας. τῆς δ' ἀφελείας πέφυκε δριμύτης καὶ γλυκύτης. Ἔννοια καθαρότητος ἡ κοινὴ καὶ συνήθης. μέθοδος ἡ προσβάλλουσα τοῖς πράγμασιν αὐτόθεν. λέξις σαφής, μὴ τροπική, ἀλλ' ἡ συνηθεστάτη. σχῆμα τὸ κατ' ὀρθότητα πτώσεως τεταγμένον. κῶλα μικρὰ εἰς ἔννοιαν καθ' ἓν ἀπηρτισμένα. συνθήκη μὴ φροντίζουσα συγκρούσεως στοιχείων. ἀνάπαυσις ἰαμβική, κατάληξις τοιαύτη. Τῆς δ' εὐκρινείας ἔννοιαι ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κεφαλαίοις δύο· αἱ καταστατικώτεραι καὶ εἰς ἀρχὴν τὸν λόγον ἀνάγουσαι καὶ σφίγγουσαι καὶ πάλιν κατωτέρω διατυποῦσαι κάλλιστα τὴν τάξιν τῶν μελλόντων. μέθοδος ἡ τὰ πράγματα τιθεῖσα κατὰ φύσιν, τὰς ἀντιθέσεις πρότερον καὶ δεύτερον τὰς λύσεις. σχῆμα δὲ τὸ κατ' ἄθροισιν, ὁ μερισμός, ἡ τάξις. λέξεις καὶ κῶλα καὶ ῥυθμός, ἀνάπαυσις, συνθήκη, οἷα καὶ καθαρότητος τῆς ἀδελφῆς ἰδέας. Ἔννοιαι δὲ σεμνότητος περὶ θεῶν καὶ θείων. μέθοδοι ἀποφαντικῶς εἰπεῖν καὶ πεποιθότως καὶ μᾶλλον ἀλληγορικαὶ μέχρι παντὸς ἀρκοῦσαι. λέξις πλατεῖα καὶ καλή, τὸ στόμα διογκοῦσα. σχῆμα τὸ κατ' ὀρθότητα. κῶλα συντετμημένα. συνθήκη μίξιν ἔχουσα παντοίων φωνηέντων, δακτυλική, σπονδειακὴ καὶ ἡ δι' ἀναπαίστων. ἀνάπαυσις ἡ λήγουσα σπονδείοις καὶ δακτύλοις, ἐξ ὧν οἰκεῖος ὁ ῥυθμὸς καὶ γνώριμος τυγχάνει. Ἔννοια δὲ τραχύτητος ἡ κατὰ τῶν μειζόνων προσώπων ἐπιτίμησιν ἔχουσα παραδόξως. μέθοδος μὴ λεαίνουσα τὴν ἀκοὴν τῇ τέχνῃ, ἀλλ' ἡ ἀπαρακάλυπτος καὶ μὴ συμπεπλεγμένη. λέξις σκληρὰ καθ' ἑαυτήν, πρὸς δὲ καὶ τετραμμένη. σχήματα τὰ προστακτικά, ἐλεγκτικὰ δὲ πλέον. καὶ κῶλα δὲ βραχύτερα καὶ ἄρρυθμος συνθήκη. Ἔννοιαι δὲ σφοδρότητος ἔλεγχος τῶν χειρόνων. μέθοδος ἀνενδοίαστος. λέξις ἡ καινοτέρα. σχῆμα τὸ κατ' ἀποστροφήν. κῶλα τρισύλλαβά πως. συνθήκη τὰ φωνήεντα συγκρούουσα πολλάκις. καὶ τἆλλ' ὡς ἐν τραχύτητι, οὐδὲν γὰρ διαφέρει. Ἔννοιαι δὲ λαμπρότητος λαμπραὶ πάντως τὴν φύσιν, αἱ μετὰ πεποιθήσεως, αἱ μετὰ παρρησίας. λέξεις αἱ τῆς σεμνότητος, αἱ διεξωγκωμέναι. σχῆμα τὸ κατ' ἀναίρεσιν τό τε τοῦ ἀσυνδέτου, πλαγιασμός, ἀπόστασις ἤ γε τεχνικωτέρα. ἀνάπαυσις δὲ καὶ ῥυθμὸς σεμνὰ σὺν τῇ συνθήκῃ. Ἔννοιαι δὲ καὶ μέθοδοι τῆς ἀκμῆς ἰσοτίμως ὅσαι καὶ τῆς τραχύτητος καὶ τῆς σφοδρᾶς ἰδέας. σχήματα τῆς λαμπρότητος. σφοδρότητος τὰ κῶλα. ἀνάπαυσις δὲ καὶ ῥυθμός, πρὸς τούτοις καὶ συνθήκη, ὅσα καὶ τῆς λαμπρότητος τυγχάνει τῆς ἰδέας. Λέξεις οὐδεὶς περιβολῆς εἴρηκε τῶν ῥητόρων, εἰ μή τις δογματίσειε τὰς ἰσοδυναμούσας. σχήματα δὲ τὰ τίκτοντα ἐννοίας διαφόρους, πλαγιασμὸς καὶ μερισμὸς καὶ τὸ κατὰ τὴν κρίσιν, πρὸς δὲ τὸ καθ' ὑπόθεσιν, εἶτα τὸ ἐπιτρέχον. τἆλλα δ' οὐκ ἔστιν ἴδια περιβολῆς ἰδέας. Κάλλους οὐκ ἔστιν ἔννοια, οὐ μέθοδος οἰκεία, σχήματα δὲ παμποίκιλα καὶ πολλὰ τῆς ἰδέας· αἱ παρισώσεις ἅπασαι τῶν ἄνω καὶ τῶν κάτω, αἱ κατὰ κῶλ' ἐπάνοδοι, ἀλλὰ μὴ κατὰ κόμμα, ἀντιστροφαὶ καὶ κλίμακες, ὑπερβατὰ πρὸς τούτοις, καινοπρεπῆ, πολύπτωτα, εὐειδεῖς ἀναιρέσεις. κῶλα δὲ τὰ μακρότερα, ἀσύγκρουστος συνθήκη. Ἀλλ' οὐδὲ τῆς γοργότητος ἔννοιάν τις εὑρήσει. κυρίως δ' ἔχει μέθοδον οὐδὲν ὁμοίαν ἄλλαις, χρῆσθαι ταῖς ἀπαντήσεσιν ἀθρόαις καὶ ταχείαις. σχήματα τῆς γοργότητος ἐστὶ τὸ ἐπιτρέχον, ἀσύνδετον κομματικόν, ἐξαλλαγαὶ ταχεῖαι, ἀναστροφαί, ἐπιστροφαὶ καὶ συμπλοκαὶ ταχεῖαι. συνθήκη μὴ συγκρούουσα φύσιν τῶν φωνηέντων. ἀνάπαυσις τροχαϊκὴ μηδαμῶς βεβηκυῖα. Τῆς ἀφελείας ἔννοιαι αἱ πρόχειροι τελείως, αἱ πάντῃ ἀπερίεργοι καὶ οἷον νηπιώδεις. μέθοδοι πλεονάζουσαι μᾶλλον τοῖς κατὰ μέρος. λέξεις αἱ ἰδιότροποι, οἷον τὸ ἀδελφίζειν. κῶλα τῆς καθαρότητος. συνθήκη λελυμένη. ἀνάπαυσις ἡ βαίνουσα. ῥυθμὸς τούτων οἰκεῖος. Ἔννοιαι τῆς γλυκύτητος αἱ μυθικαὶ τὸ πλέον ἢ μύθοις παραπλήσιαι προσφυῶς διηγήσεις, τὰ σαίνοντα τὴν αἴσθησιν, τὰ τοῖς ἀπροαιρέτοις προαίρεσιν προσπλάττοντα, γλυκὺ γὰρ τοῦτο πάντως. μέθοδος καθαρότητος. λέξεις τῆς ἀφελείας. σχήματα καθαρότητος, ὡσαύτως καὶ τοῦ κάλλους. συνθήκη δ' ἡ ἀσύγκρουστος ἐγγίζουσα καὶ μέτρῳ. ἀνάπαυσις σεμνότητος. ῥυθμὸς τῆς ἀφελείας. Ἔννοιαι δὲ δριμύτητος ἐπιπολῆς βαθεῖαι. μέθοδος μὴ περίνοιαν εἰσάγειν ἐν τῷ λόγῳ, τὰ δὲ ποικίλα καὶ δεινὰ ἁπλούστερον συγγράφειν. δεύτερον εἶδος πέφυκε δριμύτητος ἐν λέξει, ἥτις κυρία μέν ἐστι, κυρίως δ' οὐ κυρία. κυρίως γὰρ φιλάνθρωποι τυγχάνουσιν οἱ κύνες



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

(φιλοῦσι γὰρ τὸν ἄνθρωπον), κυρίως δ' οὐ κυρίως, ἄλλην γὰρ ἔχει ἔννοιαν τὸ τῆς φιλανθρωπίας· καὶ τὸ καθ' ὁμοιότητα λέξεως εἰρημένον δριμύ πως, εἰ καὶ μὴ δριμὺ δοκεῖ τῷ τεχνογράφῳ. εἶδος ἄλλο δριμύτητος ἡ παρονομασία. καὶ πάλιν ἄλλο πέφυκε τὸ κατ' ἀκολουθίαν, τροπῆς μὲν πάνυ τι σκληρᾶς εἰσάγον σκληροτέραν. Ἐπιεικείας δ' ἔννοια μειονεκτεῖν ἑκόντα καὶ τῷ ἐχθρῷ χαρίζεσθαι καὶ πλέον τι διδόναι δεικνύειν τε ὡς εἴσεισι τὴν δίκην κατ' ἀνάγκην. μέθοδός τε ὑφίεσθαι τῶν ἑαυτοῦ δικαίων καὶ μὴ σφοδρῶς προσφέρεσθαι κατὰ τῶν ἀντιδίκων. ἡ λέξις δὲ καὶ τὰ λοιπὰ οἷα τῆς ἀφελείας. Τοῦ ἀληθοῦς δὲ ἔννοιαι καὶ τοῦ ἐνδιαθέτου αἱ ἀφελεῖς, ἐπιεικεῖς καὶ σχετλιάζουσαί πως. μέθοδος ἡ σχετλίασις εἰς ἔννοιαν τοιαύτην, ἐν ᾗ μὴ σχετλιάσεως χρεία τῆς εἰρημένης, τὸ χρῆσθαί τε τοῖς πάθεσιν, ὅρκῳ, φόβῳ καὶ λύπῃ, εὐχῇ, ὀργῇ καὶ θαύματι μηδὲν προειρηκότι καὶ τὸ τῶν ἀντιθέσεων μὴ συνδεσμεῖν τὰς λύσεις καὶ χωρὶς καταστάσεως ἐπάγειν τὰς ἐννοίας ἀκολουθίαν τε εἱρμῶν ἐν ταῖς ὁρμαῖς μὴ σῴζειν. λέξις ἡ τῆς τραχύτητος ἐλεεινολογοῦντι, ἡ καθαρὰ καὶ ἀφελὴς καὶ πλέον ἡ γλυκεῖα. σχήματα ταῖς ἐπιφοραῖς τὰ τῆς σφοδρᾶς ἰδέας, ἀποστροφαί, τὸ δεικτικόν, διαπορεῖν ἐντέχνως, ἐνδοιασμός, ἐπίκρισις ἐπιδιόρθωσίς τε. κῶλά τε καὶ ἀνάπαυσις καὶ ῥυθμὸς καὶ συνθήκη πάντα τὰ τῆς σφοδρότητος καὶ τὰ τῆς ἀφελείας. Ἔννοιαι δὲ βαρύτητος, εἴ τις ἀγανακτοίη, εὐεργεσίας ἀριθμῶν καὶ τυχὸν τιμωρίας, αἵ τε κατονειδίζουσι τοῖς ἠγνωμονηκόσι μᾶλλον ἐκ παραθέσεως τῶν τυχόντων κρειττόνων. αἱ εἰρωνείας μέθοδοι αἱ πρὸς ἐχθρὸν ἐλάττους. οὐδὲν ἄλλο βαρύτητος ἴδιον πλὴν τῶν δύο. Ἔννοιαι δὲ δεινότητος παράδοξοι, βαθεῖαι. λέξις ἀξιωματική, μᾶλλον δ' ἡ τετραμμένη. σχήματα, κῶλα καὶ ῥυθμοί, ἀνάπαυσις, συνθήκη, οἷα καὶ τῆς σεμνότητος καὶ τῆς ἀκμῆς τυγχάνει, λαμπρότητος, περιβολῆς, τῶν ἀπηριθμημένων. Ὁ λόγος δ' ὁ πολιτικὸς πᾶσι μὲν κεκοσμήσθω, τάσδε δὲ κατ' ἐξαίρετον ἐχέτω τὰς ἰδέας. τὸ ἠθικόν, τὸ ἀληθές, τὸ περιβεβλημένον, γοργότητα, σαφήνειαν, τὸ τραχύ, τὸ ἀκμαῖον, σεμνότητα, λαμπρότητα, δεινότητα μεθόδου, ἃς δή σοι συνοψίσομεν ὥσπερ ἐν κεφαλαίῳ. Λέξις ἧς ἐστιν ἄγνοια τρεῖς ἔχει τὰς μεθόδους εὑρέσεως νοήσεως τῆς ἀποκεκρυμμένης· ἢ ἐθνικὴ καὶ γάρ ἐστιν ἢ τέχνης ἢ καὶ νόμου. λέξεως ἁμαρτήματα φθορὰ καὶ ἀκυρία. ταὐτότητι χρησόμεθα τῶν ὀνομάτων τότε, ὅταν ἓν ᾖ τὸ ὄνομα τοῦ πράγματος οἰκεῖον. ἡ περιττότης πέφυκε καὶ λέξεως καὶ γνώμης, ἡ μὲν κατὰ διατριβήν, ἡ δὲ κατ' ἐνθυμήσεις. τῶν αὐθαδῶν καὶ τολμηρῶν ἐν λόγῳ νοημάτων δύο τὰ θεραπεύματα καὶ τὰ παραμυθοῦντα, τῆς τόλμης ὁμολόγημα βραχεῖά τε προσθήκη. παράλειψιν ἐργάσαιο τεχνικὴν ἐν τῷ λόγῳ μείζονα τὴν ὑπόνοιαν δηλῶν τῶν σιγηθέντων. τὸ περιπλέκειν ἐν καιρῷ οὐκ ἔστιν ἀτεχνίας. γνῶθι τὴν ἐπανάληψιν διδασκαλίας χάριν τοῦ πράγματος τυγχάνουσαν ἢ τοῦ βεβαίου τρόπου. τὸ σχῆμα τὸ τῆς πεύσεως ἀντίρρησιν οὐκ ἔχει. τὰ ἴσα, τὰ ὑπερβατά, προσποίησις σχεδίου, αὔξησις εἶτ' ἀπόδειξις, τὸ λέγειν ἐναντία, τὸ ἐγκωμίων ἑαυτὸν ἀξιοῦν ἐν τῷ λόγῳ, τὸ χρῆσθαί τε τοῖς ἔπεσι κολλήσει, παρῳδίᾳ, τὸ τραγικῶς ἐν τῷ πεζῷ λέγειν κατὰ τὴν τέχνην, ἅπαντα ταῦτα μέθοδοι δεινότητος ἰδέας. Ἔστω γοῦν σοι τεχνύδριον ἡ σύνοψις τῆς τέχνης, εὐσύνοπτόν τι μάθημα, σύντομον, τετμημένον, γλυκύτητος ἀνάμεστον, χάριτος πεπλησμένον, ἡδυεπές, ἡδύφθογγον, ἡδυμελὲς ἐκτόπως, ὡς ἂν καὶ παίζων λογικῶς κερδαίνῃς τι τοῦ λόγου. 8 Τοῦ σοφωτάτου Μιχαὴλ τοῦ Ψελλοῦ καὶ ὑπερτίμου Σύνοψις τῶν νόμων διὰ στίχων ἰάμβων καὶ πολιτικῶν πρὸς τὸν βασιλέα κῦριν Μιχαὴλ τὸν Δούκαν ἐκ προστάξεως τοῦ πατρὸς αὐτοῦ καὶ βασιλέως Πολὺ καὶ δυσθεώρητον τὸ μάθημα τοῦ νόμου, ἐν πλάτει δυσπερίβλεπτον, ἀσαφὲς ἐν συνόψει, ἐν λόγῳ δυσερμήνευτον, ἀλλ' ὅμως ἀναγκαῖον· καὶ δεῖ τὸν αὐτοκράτορα τούτου μᾶλλον φροντίζειν, δικαίως γὰρ τὸ δίκαιον ἐν δίκαις φυλακτέον. ὅθεν ἐγώ σοι τὰ πολλὰ τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λόγου συνοψίσας εὐθήρατόν τι σύνταγμα πεποίηκα τῶν νόμων. Πρῶτον δ' ἑρμηνευτέον σοι πόσα τοῦ νόμου μέρη. τὸ μὲν γὰρ τούτου Κώδικες οὕτως ὠνομασμένον, πτυχίον δωδεκάβιβλον, ὅ φασι Διατάξεις· ἔχει δὲ τοῦτο, δέσποτα, δόγματα βασιλέων ἀντιγραφάς τε νομικὰς καὶ δικῶν ἀποφάσεις. Τὸ δὲ καλοῦσι Δίγεστα, Ῥωμαϊκὴ δ' ἡ κλῆσις, ὑπάρχει δὲ τὸ Δίγεστα Ἑλληνικῶς Πανδέκτης, ὅτι καὶ νόμων πέφυκε παντοδαπῶν δοχεῖον καὶ πλεῖστοι συνεγράψαντο τοὺς νόμους τοῦ Πανδέκτου. τῶν δὲ Διγέστων, δέσποτα, παντοδαπὰ τὰ μέρη. τὰ μὲν γὰρ πρῶτα λέγουσι περὶ συναλλαγμάτων, τετράβιβλος δ' ἡ σύνταξις, κλῆσις πρῶτα τῶν πρώτων. τὸ μετὰ ταῦτα πέφυκεν ἑπτάβιβλον πτυχίον, Ῥωμαϊκῶς λεγόμενον οὕτω, διουδικίης, ἤτοι τῶν περὶ κρίσεων, εἴ τις ἐξελληνίζει. τὸ τρίτον δὲ συνάθροισμα, καλεῖται δὲ δε ῥέβους, ὀκτάβιβλόν τι σύνταγμα χωρητικὸν πραγμάτων. τέταρτος τόπος πέφυκε τῶν νομικῶν Διγέστων καθαπερεί τις ὀμφαλὸς τῶν ὅλων συνταγμάτων, ὀκτάβιβλον τὸν ἀριθμόν, νόμων πολλῶν δοχεῖον. τὸ πέμπτον δ' ἐννεάβιβλον, ἐκ μέρους δ' ὠνομάσθη περὶ διαθηκῶν, φησίν, ἔχει δ' ἄλλα μυρία. τὸ δ' ἕκτον ἔχει, δέσποτα, δύο βιβλία μόνα· σοφῶς δὲ διαλέγεται περὶ βαθμῶν ποικίλων, διαλαμβάνει τε σαφῶς περὶ κληρονομίας, τῶν Ὀρφιτίου μέμνηται καὶ Τερτουλίου νόμων, ἄλλην τε πλείστην σύνταξιν τῶν νόμων περιέχει. τὸ δ' ἕβδομον καὶ ὕστατον νόμιμον τῶν Διγέστων περὶ ἐπερωτήσεων ἀσφαλεστάτων λέγει, καὶ συμπληροῖ τὸ σύνταγμα δύο βιβλία μόνα· καὶ μετὰ τοῦτο πέφυκε δύο φρικτὰ βιβλία τὴν αὐστηρίαν ἔχοντα τῶν ποινῶν ἐγκειμένην. μετὰ δὲ τὴν ἑπτάτομον ταύτην τομὴν τῶν νόμων σύνταξις ἄλλη πέφυκε νομίμων διαφόρων πληροῦσα τὰ πεντήκοντα βιβλία τῶν Διγέστων. Πρὸς τούτοις μέρος πέφυκεν αἱ Νεαραὶ συντάξεις. Εἶτα συνοπτικώτατον τοῦ Λέοντος βιβλίον, τὸ πᾶν ἑξηκοντάβιβλον, πάντας τοὺς νόμους ἔχον, τοὺς Κώδικας, τὰ Δίγεστα, τὰς Νεαρὰς συντόμως, τὰ σύμφυλα καὶ σύμπνοα τῶν διαφόρων νόμων διευκρινοῦν, ὑποτιτλοῦν οἰκείως καὶ γνησίως· ἀλλ' ἔστι δυσερμήνευτον, ἀλλ' ἀσαφὲς ἐσχάτως. Ἔστι καὶ μέρος ἕτερον, οἷον πυλὶς τῶν νόμων, ὡς εἰσαγωγικώτερον τῶν ἄλλων δεδειγμένον, τῶν νόμων ἔχον ἅπασαν τὴν γενεαλογίαν, ἢ μᾶλλον οὕτως εἴποιμι, τὴν ἀρχαιογονίαν· ἡ κλῆσις Ἰνστιτούτια τούτῳ δὴ τῷ βιβλίῳ. Πολλοὶ δὲ συλλεξάμενοι τὰς ἀγωγὰς ἰδίᾳ σύνταγμα συνετάξαντο ἄξιον εὐφημίας. τὴν φύσιν γὰρ τῶν ἀγωγῶν ἑκάστης ἑρμηνεύει καὶ πάντα τὰ ζητήματα καὶ πάσας ὑποθέσεις εἰς τὴν οἰκείαν ἀγωγὴν πανσόφως ἀναφέρει. τοῦτο καὶ μόνον πέφυκε φιλόσοφον τῶν νόμων, κἂν εἴ τις ἀκριβώσαιτο τοῦτο δὴ τὸ βιβλίον, οὗτος ὁ νομικώτατος νομομαθὴς τυγχάνει. Ἕτεροι πάλιν, δέσποτα, τὰς ῥοπὰς καὶ τοὺς χρόνους τοὺς νομικοὺς συνέταξαν εἰς βραχύ τι βιβλίον· Ῥοπὰς δ' ἐκ μέρους λέγουσιν, ἔχει γὰρ καὶ τοὺς χρόνους. Ὁ δέ γε περιεκτικὸς τούτων ἁπάντων νόμος κοινὴ συνθήκη πέφυκε πάσης τῆς πολιτείας, πλημμελημάτων κώλυσις τῶν κατὰ γνῶσιν πλέον, δικαιοσύνης χορηγός, δόγμα συνετωτέρων. δικαιοσύνη δέ ἐστι σταθηροτάτη γνώμη τοῖς πᾶσι διανέμουσα τὸ κατ' ἀξίαν μέτρον. τὸ νόμιμον δὲ πέφυκε δικαιοσύνης μέρος· αὕτη γὰρ καὶ τὸ φυσικὸν ἄλλο τι μέρος ἔχει, τὸ κατὰ τὴν συνείδησιν κρειττόνων καὶ χειρόνων· τὸ γὰρ λοιπὸν τὸ φυσικὸν τρίτον τοῦ νόμου μέρος. τὸ μὲν γὰρ τούτων φυσικόν, τὸ δ' ἐθνικὸν τυγχάνει, τὸ δὲ πολιτικώτερον καὶ μερικώτερόν πως. τὸ μὲν γὰρ περὶ φυσικῶν πραγμάτων δογματίζον, συλλήψεως, γεννήσεως, σχέσεως, συναφείας, αὐτοῦ ψιλοῦ τοῦ πράγματος, οὐ τοῦδε καὶ τοιοῦδε, νόμιμον γενικῶς ἐστι, φυσικὸν δ' ἐπὶ μέρους. τὸ βλέπον δ' εἰς συμβόλαια, φύσεις συναλλαγμάτων, πάντων εἰπεῖν τῶν καθ' ἡμᾶς κοινῶν πολιτευμάτων, νόμιμον ἐθνικόν ἐστιν· οὐχὶ τὸ βαρβαρῶδες, τὸ γὰρ τοῦ ἔθνους ὄνομα νομικῶς εἰρημένον γενῶν συλληπτικόν ἐστι νόμοις ὑποκειμένων. πολιτικὸν δὲ νόμιμον τοπικὸν καὶ χρειῶδες· ὃ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πάλιν τριμερές ἐστι, τούτου γὰρ τοῦ νομίμου ἔστιν ὁ δωδεκάδελτος τῶν δώδεκα λογίων, τὰ βασιλέων δόγματα, οἱ νόμοι τῶν πραιτώρων. Περὶ δ' ἃ πραγματεύεται τὸ νόμιμον ῥητέον· εἰσὶ δὲ ταῦτα πρόσωπα, ἀγωγαὶ πράγματά τε. πολλῶν δ' οὐσῶν τῶν ἀγωγῶν τέσσαρες αἱ μητέρες, ἃς ἐνοχὰς ὠνόμασαν, δεσμοί τινες δικαίου, ἡ ῥέ, βέρβις καὶ λίτερις, τέταρτον ἡ κονσέσο.

{αἵτινες} τέσσαρές εἰσι τῶν ἀγωγῶν μητέρες· ἡ βέρβις, ἡ ῥέ, λίτερις καὶ κονσέσο. ἡ γοῦν ῥὲ γεννᾷ πραγματικὰς καὶ μόνας, μήτηρ δὲ βέρβις ἐστὶν ἐξ στιπουλάτο, ἡ κονσέσο πλάττει δὲ τὰς συναινέσεις, ἡ λίτερις γράμματα γυμνὰ πραγμάτων. καὶ ταῦτα τυγχάνουσιν ἀναργυρία· εἰ γάρ τις ἀνάργυρον ἐγγράψῃ χρέος καὶ διετὴς ῥεύσειεν ἐν μέσῳ χρόνος καὶ μὴ προσθήσει μέμψιν ἀναργυρίας, γράμμασι λοιπὸν κατακρατεῖται μόνοις τὴν λίτεριν πλάττουσιν ἐξ ἡσυχίας. ἡ ῥὲ σημαίνει πράγματα, ἡ βέρβις ψιλοὺς λόγους, ἡ λίτερις τὰ γράμματα, κονσέσο συναινέσεις. Ἑκάστη δὲ τῶν ἐνοχῶν ἀγωγὰς πολλὰς τίκτει. ἐπεὶ δέ τις ἐνέχεται πλημμελῶν ἢ συμβάλλων, ἢ φανερώτερον εἰπεῖν, πρός τινας συναλλάσσων, ἀπὸ τοῦ πλημμελήματος ἀγωγὰς εὕροις ταύτας· τὴν φούρτην, τὴν περὶ κλοπῆς, βι βονόρουμ ῥαπτόρουμ, ἥτις βιαίαν ἁρπαγὴν πραγμάτων ἑρμηνεύει, τὴν ἰνιουριάρουμ τε, ἥτις ὕβριν σημαίνει. τόν τε μὴν Ἀκουίλιον, τὸν περὶ τῆς ζημίας. ἐξ ὧν πάλιν ὡς ποταμῶν ῥευμάτων τε δευτέρων κρουνοὺς εὑρήσεις ἀγωγῶν προσφόρως ἐκχυθέντας. Ὅρος δὲ συναλλάγματος, ὡς ἤρεσε τοῖς πλείστοις, συναίνεσις καὶ σύννευσις πλειόνων θελημάτων, ἢ δύο τὸ ἐλάχιστον, εἰς ταὐτὸ συνδραμόντων, ὥστ' ἐνοχῆς ποιήσασθαι δύναμιν παραυτίκα. Εἰς χάριν δὲ ῥητέον σοι τῶν ἐνοχῶν ἑκάστης τὰς φυομένας ἀγωγάς, ἵν' ἔχῃς ἀσυγχύτως καὶ τὰς μητέρας ἀκριβῶς, πρὸς δὲ τὰς θυγατέρας. Τῆς ῥέ, τῆς ἐν τοῖς πράγμασιν, ἔστιν ἡ δεποσίτης, Ἑλληνιστὶ δὲ πέφυκεν ἡ παρακαταθήκη, ἡ κομμοδάτη δεύτερον χρῆσις τῶν δεδομένων, ἡ πιγνερατικία τε, ἡ περὶ ἐνεχύρων, ἡ περὶ ἀπαιτήσεως κληρονομίας ἄλλη, ἣν νερεδάτης λέγουσι πετίτιο Λατῖνοι, πρὸς δὲ ἡ ἀδεξιβενδοὺμ Λατίνως εἰρημένη, ἡ περὶ παραστάσεως πραγμάτων κεκρυμμένων. τῆς ῥὲ ὁ κονδικτίκιος, ἡ ἰν ῥὲμ ἡ καθόλου· πρὸς τούτοις τὰ ἰντέρδικτα ἤτοι παραγγελίαι. Τῆς βέρβις δὲ τῆς ἐνοχῆς τις ἡ ἐξ στιπουλάτο, ἀφ' ἧς ὁ κέρτος πέφυκε κονδικτίκιος τρέχειν· πρὸς τούτοις καὶ ὁ ἴνκερτος, ἀγωγαὶ δ' οὗτοι δύο. ἐξ στιπουλάτο δέ ἐστιν ἐπερώτησις, ἄναξ, πᾶσα δέ γ' ἐπερώτησις ἢ δήλων ἢ κρυφίων, ἐφ' οἷς ὁ κονδικτίκιος ἢ κέρτων ἢ ἰνκέρτων. ἔστι δὲ κονδικτίκιος ἀπαιτήσεως φύσις, ἢ κέρτος ἤτοι φανερός, ἴνκερτος κεκρυμμένος. τῆς βέρβις ἐνοχῆς ἐστιν ἀεστιματορία, ὅταν διατιμήσωμαι πρᾶγμα καί σοι παρέξω εἰπὼν ὡς πράσας, «κόμισον νομίσματά μοι τόσα, εἰ δὲ μὴ τόσα δοίη τις, δίδου τὸ δεδομένον.» τῆς βέρβις αὖθις ἐνοχῆς ἥ γε δάμνι ἰμφέκτι, ἥτις κινεῖται πίπτοντος γείτονος δωματίου. τῆς βέρβις πάλιν πέφυκεν ἰντερρογατορία, ἣ τὸν κληρονομήσαντα εὐλόγως καὶ προσφόρως ἐκ πόσου μέρους ἐρωτᾷ ζητεῖ κληρονομίαν. ἡ λεγατόρουμ ἄλλη τις ἀσφάλεια λεγάτου ἥ τε μὴν πεκουνίαε κονστιτούταε ταύτης, ἥτις τὴν ἀντιφώνησιν καὶ τὴν ἐγγύην ἔχει. Τῆς δ' ἐνοχῆς τῆς λίτερις ἀγωγὴ νοβατίο, τὸ χρέος μεταφέρουσα τὸ παλαιὸν εἰς νέον. ταύτης ἡ δε λεγάτιο ἤτοι περὶ λεγάτου. Τῆς δὲ κονσέσο ἐνοχῆς ἔστιν ἡ ἐξ βενδίτο, ἣν οὕτως ἑρμηνεύουσι, περὶ ἀγορασίας, ἐξέμπτο, περὶ πράσεως, λοκάτι, μίσθωσίς τις, κονδούκτι, ἡ ἐκμίσθωσις, ἐντολή, ἡ μανδάτι. ἡ προ σοκίο δέ ἐστιν ἡ περὶ κοινωνίας· ἥ τε περὶ μνηστεύσεως καὶ δωρεῶν καὶ γάμων καί τινων ἄλλων ἀγωγῶν καὶ τριῶν ἰντερδίκτων, σύμπασαι αὗται ἀγωγαὶ ἐνοχῆς τῆς κονσέσο. Ἡ περὶ προστασίας δὲ πραγμάτων ἀλλοτρίων, τουτέστι μὴ γινώσκοντος μηδ' ὅλως τοῦ δεσπότου (νεγοτιόρουμ λέγουσι ταύτην τινὲς γεστόρουμ), ἔοικε συναλλάγματι συνάλλαγμα τυγχάνον. ὁμοίως ἡ τουτέλαε, ἡ κατὰ ἐπιτρόπων, ἡ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

περὶ διαιρέσεως πραγμάτων ἐπικοίνων, ἡ περὶ πεκουλίου τε ἥ τε ἐκ διαθήκης ἡ ἰνστιτουτορία τε ἥ τ' ἐξκερκιτορία, ἡ κατὰ τοῦ προστήσαντος τινὰ ἐργαστηρίου καὶ κατὰ τοῦ προστήσαντος τινὰ ἐπὶ θαλάσσης, τὸ κούοδ λεγατόρουμ τε, ἰντέρδικτον τυγχάνον, ὁ οὖσος, ὁ οὐσούφρουκτος, ἄλλαι τ' ἀγωγαὶ πλεῖσται τῶν ὡσανεὶ τυγχάνουσι πᾶσαι συναλλαγμάτων. Αἱ δ' ἀγωγαὶ τῶν ὡσανεὶ πάλιν ἁμαρτημάτων, ἡ κατὰ τοῦ δικάσαντος καὶ παρηνομηκότος, ἡ κατὰ τοῦ συρρήξαντος ἔδικτον ἀναισχύντως, ἄλλαι τέ τινες ἀγωγαὶ καί τινες τῶν ἰν φάκτουμ. Δέχου πάλιν διαίρεσιν τῶν ἀγωγῶν ποικίλην. τῶν ἀγωγῶν αἱ μέν εἰσιν ἀπὸ συναλλαγμάτων, αἱ δὲ πάλιν κατάγονται ἀπὸ ἁμαρτημάτων· αἱ μέν εἰσι πραγματικαί, αἱ δὲ κατὰ προσώπων· αἱ μέν εἰσι πίστει καλῇ, αἱ δέ εἰσί πως στρίκται· αἱ μὲν πρᾶγμα εἰσπράττουσιν, αἱ δὲ ποινήν, αἱ δ' ἄμφω· αἱ μὲν κινοῦνται εἰς τὸ πᾶν, αἱ δὲ εἰς μέρος μόνον· αἱ μὲν ἁπλοῦν εἰσπράττουσιν, αἱ δὲ διπλοῦν τριπλοῦν τε, αἱ δὲ καὶ τετραπλάσιον, αἱ δὲ καὶ πλέον τούτου, αἱ τούτων δὲ βαρύτεραι πρὸς τούτοις ἀτιμοῦσιν· αἱ μέν εἰσιν ἐπίκαιροι, τινὲς δὲ τῶν χρονίων, αἱ δὲ περιορίζονται τεσσαράκοντα χρόνοις, τινὲς δὲ διαβαίνουσι καὶ κατὰ κληρονόμων· αἱ μέν εἰσιν, ὡς λέγουσι, τούτων ἀρβιτραρίαι, ὁπότε τῆς δικαστικῆς ἤρτηνται μεσιτείας, ταῖς δὲ τῆς ὑπολήψεως τοῦ κρίνοντος οὐ μέλει. ἄλλη τε πλείστη πέφυκε διαίρεσις τῶν νόμων. Καὶ τοῦτο δέ μοι πρόσλαβε, τυγχάνον ἀναγκαῖον, ὡς οἱ κανόνες ἅπαντες τῶν νόμων, στεφηφόρε, ὑπόσαθροι τυγχάνουσι, ψεύδονται γὰρ ἐν μέρει. κανὼν δ' ἐστὶ τοῦ πράγματος συντετμημένος λόγος ὅπερ ὡς ὑποκείμενον τυγχάνει τῷ κανόνι· σφαλεὶς δ' ἐκπίπτει, δέσποτα, καὶ τοῦ ὑποκειμένου. τοὺς νόμους δὲ βουλόμενος πάντας σοι συνοψίζειν ὁριστικοῖς προσχρήσομαι ῥήμασι καὶ συντόμοις. δικαιοσύνη πέφυκε νέμησις τοῦ δικαίου. δίκαιον φυσικόν ἐστι κοινὸν πᾶσι τοῖς ζῴοις. τῶν νόμων ὁ μὲν ἔγγραφος, ὁ δ' ἄγραφος ὡς ἔθος. ἐλευθερία πέφυκεν ἄδεια φυσική τις, δουλεία δὲ ὑποταγὴ τυγχάνει δεσποτείας, ἥτις ὡς ἀδιάφορος ἄτομόν τι τυγχάνει. ἡ συμφορὰ δὲ τῆς μητρός, τουτέστιν ἡ πορνεία, οὐ βλάπτει τὸν ἐν τῇ γαστρί, στεροῦσα τῶν πατρῴων. οὐ σθένει τις ἐλευθεροῦν δανειστὰς περιγράφων. μετὰ τὴν ἥβην γράφειν τις δύναται διαθήκην· ἐλευθεροῦν δὲ δύναται ἑπτακαιδεκαέτης. τῶν παίδων ὑπεξούσιοι οἱ ἐκ νομίμων γάμων, οὗτοι γὰρ μόνοι νομικῶς ὑπείκουσι πατράσιν. εἴ τις ἐκ φίσκου λάβοι τι δωροῦντος βασιλέως ἢ συναλλάττων πρὸς αὐτόν, εὐθὺς τούτου δεσπόζει, ἐκεῖνος δὲ ἐνάγεται μέχρι τετραετίας. ἡ μόρτις καῦσα δωρεὰ ἔοικε τῷ λεγάτῳ. τὰ τῆς προικὸς ἀκίνητα οὐχ ὑποτίθησί τις οὐδὲ πιπράσκειν δύναται οὐδ' ἐκποιεῖν οὐδ' ὅλως. ἐκποίησιν ὁ πούπιλος πραγμάτων οὐ ποιεῖται, οὐδέ τι πράττειν δύναται χωρὶς τῶν ἐπιτρόπων. καὶ υἱὸς ὑπεξούσιος καὶ δοῦλος προσπορίζει, ὁ μέν γε τῷ δεσπόζοντι, ὁ δὲ τῷ φυτοσπόρῳ, κἂν μὴ τυγχάνωσιν αὐτοὶ τὴν πρᾶξιν ἐγνωκότες· υἱὸς δὲ δίχα τοῦ πατρὸς ἢ δοῦλος τοῦ δεσπότου οὐ δύναται κληρονομεῖν, ἀλλ' οὐδὲ ἀδιτεύειν. κἄν τις οὐσουφρουκτάριος ἡμῖν ἐστιν οἰκέτης, εἰσάγει τὸν προσπορισμόν, ὥσπερ ὁ βοναφίδε. ὁ φιδικομισάριος σὺν τῷ λεγαταρίῳ ὁλόκληρον διαδοχὴν οὐκ ἔχουσι δικαίου· ὁ κληρονόμος μόνος γὰρ τὸ δίκαιον τοῦτ' ἔχει. ἀγράφως διατίθεσθαι οὐκ εἴργουσιν οἱ νόμοι· οἰκειακοὺς δὲ μάρτυρας ἀθετοῦσιν εἰκότως. εἴ τις διάθοιτο τυχὸν τῶν ἐξεστρατευμένων, ἡ διαθήκη ἔρρωται εἰς ὁλόκληρον χρόνον καὶ μετὰ τὴν ἀθέτησιν τῆς προτέρας στρατείας· ὁ δ' ὑπεξούσιος υἱὸς οὐ ποιεῖ διαθήκας, κἂν ὁ πατὴρ κελεύσειε, χωρὶς τῶν καστρεσίων. οὐκ ἀνατρέπει ἔκστασις προβᾶσαν διαθήκην. εἰ δέ τις ἐμμαγκίπατος, κόντρα ταβούλλας ἔχει. καὶ δοῦλον, εἴ τις βούλοιτο, ἐνιστᾷ κληρονόμον. οὐγκιασμοὶ δὲ δώδεκα μέτρον κληρονομίας. ὡς ὁ τεστάτωρ, δύναται οἰκέτης κληρονόμος. οὐδεὶς διατιθέμενος, εἰ μὴ ᾖ στρατιώτης, μέρει μὲν διατίθεται, μέρει δ' οὔ, τῆς οὐσίας. ἔστιν ὑποκατάστασις, οὕτω δὴ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τυπουμένη· «κληρονομείτω Τίτιος τῶν ἐμαυτοῦ πραγμάτων· εἰ δ' οὗτος οὐ βεβούληται, Πρίμος κληρονομείτω.» ἀθεμιτογαμήσας τις καὶ δεινῶς τιμωρεῖται καὶ τῶν τεχθέντων ἐξ αὐτοῦ οὐ κατεξουσιάζει. εἰ δέ τις παῖδας ἔτεκεν ἐξ παλλακῆς προτέρας, νομίμους ἀπεργάσεται προικῴοις ἐν συμφώνοις. τέταρτον μέρος χρεωστεῖ τῷ υἱοθετηθέντι υἱοθετήσας τίς τινα τῶν ἑαυτοῦ πραγμάτων. ἀτελὴς συγγινώσκεται μήτηρ μὴ ἀπαιτοῦσα τοῦ ἀνδρὸς τελευτήσαντος ἐπίτροπον τοῖς τέκνοις. ἐπιτροπὴ δὲ πέφυκε νομικὴ ἐξουσία κατ' ἐλευθέρας κεφαλῆς εἰς βοήθειαν ταύτης. ἐπίτροπος δὲ διοικεῖ μέχρι τῆς ἥβης μόνον, ἐντεῦθεν δὲ ἀνθέξονται κουράτορες τοῦ νέου. ἀδνάτους μὲν ὀνόμαζε τοὺς ἐξ ἀρρένων τόκους, κογνάτους δ' ἐπονόμαζε τοὺς ἐκ θηλυγονίας. ἔφηβος γίνεται ὁ παῖς ἐτῶν δεκατεσσάρων, ἔφηβος δέ γ' ἡ θήλεια οὖσα δωδεκαέτις. τῷ ἔχοντι ἐπίτροπον κουράτωρ δίδοταί τις. κατηγορεῖν οὐ δύναται ἄνηβος ἐπιτρόπου, ἔφηβος τοῦ κουράτορος συγγενῶν συνεργούντων. τὰ μηδενὸς τὸ πρότερον τοῦ προκαταλαβόντος. τὸ κῦμα τὸ χειμέριον αἰγιαλὸν ὁρίζει. εἴκει τὰ ἐπικείμενα τοῖς γε ὑποκειμένοις. ἴτερ ἐστὶν ὁδὸς στενή, ἄκτους ἡ πλατυτέρα. ὁ πρᾶγμα τὸ ἀλλότριον ἐκποιῶν ἐν εἰδήσει ἢ ἄλλῳ τραδιτεύων τις ὡς κλοπὴν ἁμαρτάνει. δευτέρα διατύπωσις ῥήγνυσι τὴν προτέραν. τὴν δε ἰνοφικίοσσο παῖδες κινοῦσι μόνοι. οὐδεὶς ὑποκαθίστησι παιδὶ πουπιλαρίως, εἰ μὴ ποιήσει πρότερον εἰς αὐτὸν διαθήκην. ὁ ἔχων τὴν ἐναγωγὴν ἀποδείξει βαρεῖται. τὰ τῆς προικὸς ἀκίνητα εἰσπράττεται αὐτίκα, τοῖς κινητοῖς ὁλόκληρος εἰς ἀπαίτησιν χρόνος. τῆς διαθήκης ἡ κρηπὶς ἔνστασις κληρονόμου. καὶ τομὴ καὶ μετάθεσις γίνεται τοῦ λεγάτου ἔν τε διατυπώσεσιν ἔν τε τοῖς κωδικέλλοις. τὸ τρίτον ὁ Φαλκίδιος σῴζει τῷ κληρονόμῳ, ἐκ τῶν λεγάτων ἀπαιτῶν κατὰ ἀναλογίαν. ὁ Αὔγουστος προσέταξε, φασί, τοὺς κωδικέλλους ἐν οἷς οὔτε ἐνίστησιν ὁ γράφων κληρονόμον οὔτ' ἀφαιρεῖ ὃν ἔγραψεν ἐν τῇ διατυπώσει. τὸ μὲν Τερτουλιάνειον δόγμα καλεῖ προσφόρως εἰς τὰ τῶν τέκνων πράγματα τὰς ἐκείνων μητέρας, τὸ δέ γ' Ὀρφιτιάνειον αὖθις ἐκ τοὐναντίου εἰς τὰ μητέρων πράγματα τοὺς παῖδας προκαλεῖται. ἡ μήτηρ ἔχει πρόκλησιν ἁπάντων τῶν ἀδυνάτων εἰς τὰ τοῦ τέκνου πράγματα, χωρὶς τῶν ὁμογνίων, μετὰ γὰρ τούτων ἔρχεται εἰς τὴν κληρονομίαν· ἀλλ' εἰ μὲν ἀδελφαί εἰσι, τὸ ἥμισυ λαμβάνει, εἰ δ' ἀδελφαὶ καὶ ἀδελφοί, ἴσα κληρονομοῦσιν. ὑπούσης διακατοχῆς παῖς καὶ γονεὺς ὡσαύτως ἐνιαυτὸν ὁλόκληρον ἔχουσι βοηθοῦντα, ἡμέρας μόνας ἑκατὸν τῶν συγγενῶν ἐχόντων. ποινὴ ὀφείλει τίθεσθαι εἰς τὰς ἐπερωτήσεις. ἡ περπετοῦα μίσθωσις ἐμφύτευσις τυγχάνει. τὸ διπλασιαζόμενον ἔκ τινος ἠρνηκότος καταβληθὲν ἰνδέβιτον ἀπαίτησιν οὐκ ἔχει. κλοπή ἐστι ψηλάφησις πραγμάτων κατὰ δόλον. χωρὶς κακῆς προθέσεως κλοπὴν οὐχ ἁμαρτάνεις. κατὰ τοῦ κλέπτου φούρτιβον, κἂν μὴ νέμηται, δώσεις. τῷ ἐκπεσόντι πράγματος Πουβλιανὴ ἁρμόζει. παυλιανὴ δὲ δίδοται τῷ περιγεγραμμένῳ εἰς πρᾶσιν, εἰς ἐκποίησιν τῶν ἑαυτοῦ πραγμάτων. τὴν φούρτην διπλασίαζε σὺν τῷ Ἀκουιλίῳ. νόμος ὁ δωδεκάδελτος τὴν νοξαλίαν φούρτην καὶ τὸν νοξάλιον αὐτὸν Ἀκουίλιον γράφει. παραγραφή ἐστι σαφὴς ἡ δικαιολογία τοῦ ῥέου πρὸς τὸν ἄκτορα κατ' ἀγωγῆς βεβαίας, τῷ νόμῳ μέν πως ἰσχυρᾶς, τῇ φύσει δ' ἀδικούσης. δίκην οὐδεὶς συνίστησιν ἀγνώστων ἀντιδίκων. ἐπ' ἴσης δικαιώσεως ὁ νεμόμενος κρείττων. ὁ φθείρας βίᾳ τὴν σεμνήν, εὔπορος μὲν τυγχάνων ἡμίσεος ἀφαίρεσιν ἔχει τῶν κεκτημένων· ὁ δ' ἄπορος ἐξόριστος γίνεται παραυτίκα. τῷ Κορνηλίῳ ἔνοχος πᾶς ὁ φονεὺς τυγχάνει. τῷ ῥεπετοῦνδις ἔνοχος δικαστὴς δωροδόκος. τῷ δὲ δε φάλσις ἔνοχος ὃς ἁλοίη πλαστεύων. Τὸ χρόνιον δὲ σύνηθες νόμου λαμβάνει τόπον. οἱ ἰδικοὶ τῶν γενικῶν ἐγκρατέστεροι νόμων. ἥττων ἐστὶ τῶν θηλειῶν αἵρεσις τῶν ἀρρένων. οἱ μὲν τεχθέντες νόμιμοι ἕπονται τοῖς πατράσιν, οἱ φύντες δ' ἐκ πορνεύματος ἕπονται ταῖς μητράσι. τὸ φύσει χρεωστούμενον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καταβληθὲν οὐκ ἔχει αὖθις ῥεπετιτίονα, ὡς ἔδοξε τῷ νόμῳ. πάκτα τὰ ἰδιωτικὰ δημόσιον οὐ βλάπτει. ἀποκαθίστατ' ἀβλαβὴς ὁ νέος κατὰ νόμους. ὅπερ ἐστὶ τοῖς ἥττοσι τὸ ἀποκαθιστάναι, τοῦτο μείζοσιν ἔκκλητος πρὸς λόγους ἀναλόγους. πατρὸς καὶ παίδων μεταξὺ τῶν γε ὑπεξουσίων οὐ πέφυκε συνίστασθαι δίκης ἀμφιβολία. ὅπου δὲ ἡ προκάταρξις, ἐκεῖ καὶ καταδίκη. τὸ μεῖζον δικαστήριον τὸ ἔλαττον προκρίνει. ὁ διδοὺς τὸ ἰνδέβιτον ἔχων εἴδησιν τούτου οὐκ ἔχει πάλιν εἴσπραξιν τοῦ καταβεβλημένου. ὁσάκις ἐξετάζοντες περὶ καρπῶν σκοποῦμεν, ὅσα λαβεῖν ἠδύνατο ὁ νομεὺς ἀκριβοῦμεν. εἰς ἔδαφος ἐπίκοινον ὁ κοινωνὸς οὐ κτίζει. ἐξωτικὸς οὐ δύναται δουλείαν προσπορίζειν. ἐφ' ὧν ὁ Ἀκουίλιος θεμάτων οὐχ ἁρμόζει, τούτοις ἰμφάκτουμ δίδοται· σαθρὸς δ' ὁ κανὼν οὗτος. ὁπόσα δὲ μὴ ἔχουσιν ἰσχὺν κατὰ τῶν νόμων, χωρὶς ἀποτελέσματος δοθέντα κατὰ πλάνην, οὐκ ἔχει ῥεπετίτιον οὔτ' εἴσπραξιν ὀπίσω. χείρονα ποιεῖν αἵρεσιν γυνὴ προικὸς ἰδίας σαφῶς οὐκ ἔχει δύναμιν ἐν συνεστῶτι γάμῳ. τῷ ἔχοντι ἐπίτροπον ἕτερος οὐ δοτέος. τὸ μεῖζον δικαστήριον κρεῖττον τῶν ἐλαττόνων, ἤτοι τὸ ἐγκληματικὸν τοῦ περὶ τῶν χρημάτων. ἐκδίκησιν ἐγκλήματα λαμβάνει τὴν δικαίαν ἐν τόποις οἷς ἡμάρτηται, ἔνθα κρείττων ἡ γνῶσις. ὅπου δὲ ἡ προκάταρξις, ἐκεῖ καὶ καταδίκη. Ἐντεῦθεν καὶ κανόνας σοι τῶν Νεαρῶν εἰσφέρω. δηλούσθω τὰ βουλήματα πάντων τῶν τελευτώντων, ὅσα μὴ διαμάχονται τοῖς νόμοις τοῖς κειμένοις. προῖκα μὲν γάμος ἐνεργεῖ, γάμον δ' οὐ δρῶσι προῖκες. ὅπερ ὁ νόμος δίδωσιν οὐκ ἂν ἀφέλοιτό τις. παραγραφῆς ἀντίθεσις οὐκ ἔστι δημοσίῳ. ἡ δευτερογαμήσασα πρὸ τοῦ πενθίμου χρόνου πάντων ἐκπίπτει καὶ προικῶν καὶ κερδῶν παραυτίκα. ἐξ ἐλευθέρας δὲ γαστρὸς οὐ τίκτεταί τις δοῦλος. τῶν τελευτώντων βούλησιν μηδεὶς ἀνατρεπέτω. γάμος ἐκ διαθέσεως συνίσταται καὶ μόνης, κἂν μὴ προβῶσι γαμικὰ συμβόλαια πρὸς ταύτην. δεφένσωρ ἐπιτήδειος οὐδεὶς χωρὶς ἐγγύης. ὁ δοῦναι προελόμενος ἴσος τῷ δεδωκότι. ἐπιτροπεύειν δύνανται τῶν τέκνων αἱ μητέρες. ἐν μέσῳ δίκης ἄδικον γίνεσθαι θείους τύπους. ἡ γνώμη τοῦ τεστάτωρος πάντων προτιμητέα. τόκος ἀνεπερώτητος εἰς δάνειον οὐ τρέχει. τὴν τῶν κακῶν εἰσαγωγὴν οὐ σφίγγει μακρὸς χρόνος. τῶν γάμων οἱ ἀθέμιτοι ποιναῖς τιμωρητέοι. οἱ πλημμελοῦντες κόλασιν διδότωσαν δικαίως φυλαττομένων νομικῶς νομίμοις διαδόχοις ὧν ἔχουσιν οἱ πταίσαντες νομίμων καὶ πραγμάτων. ὁ ἄρχων ὑπερόριος οἴκοθεν δαπανάτω. μοιχὸς δέ τις ἀποδειχθεὶς τὰς ποινὰς ὑπεχέτω, διδόσθω δὲ τῇ γυναικὶ ἐκ τῶν αὐτοῦ πραγμάτων, ἡ προὶξ σὺν ἕδνοις ἅπασα· εἰ δ' ἄπροικος τυγχάνει, μέρος ἐχέτω τέταρτον τῶν ἐκείνου πραγμάτων, τὰ δὲ λοιπὰ τοῦ πταίσαντος πράγματα μεριζέσθω εἰς παῖδας, εἰς τοὺς φύσαντας ἄχρι βαθμοῦ τοῦ τρίτου· εἰ δ' οὔτε παῖς οὔτε γονεὺς ὑπάρχουσι τῷ πταίστῃ, τῷ φίσκῳ προσκυρούσθωσαν τἀκείνου προσηκόντως, τῆς μοιχευθείσης γυναικὸς ἀκριβῶς τηρουμένης· εἰ δ' ὁ σύνοικος βούλοιτο, θαρρούντως λαμβανέτω τὴν πταίσασαν ἀζήμιον ἐντὸς τῆς διετίας, χρόνου δὲ διαρρεύσαντος τοῦ διηγορευμένου ἡ μὲν εἰς μοναστήριον ἐνδίκως διαγέτω μελαμφοροῦσα πάντοτε κατὰ τὰς κεκαρμένας, οἱ παῖδες δὲ τὸ δίμοιρον ἐχέτωσαν ὧν ἔχει, τὸ δέ γε μοναστήριον τὸ τρίτον λαμβανέτω. αἱ κτήσεις τῶν ἐγκλήματι θανάτου πεπτωκότων τοῖς παισὶν ἁρμοζέτωσαν ἢ ἄνω τοῖς γονεῦσι. τὰς δίκας τὰς ἐν χρήμασι τὰς κατὰ τῶν ἐν κλήρῳ ἐπίσκοποι κρινέτωσαν ἠκριβωμένῳ λόγῳ· ἑνὸς δὲ μὴ στοιχήσαντος τοῦ κρίναντος τῇ ψήφῳ ὁ ἄρχων ἐξετάσειε ταύτην ἀκριβεστέρως· ἐν δὲ τοῖς ἁμαρτήμασι τοῖς πολιτικωτέροις οἱ κληρικοὶ τοῖς ἄρχουσιν ὑπόκεινται δικαίως. τοὺς εὐτελεῖς δὲ μάρτυρας ὁ κριτὴς κολαζέτω πρὸς ἀληθείας εὕρεσιν καὶ μηδεὶς αἰτιάσθω. ἐπὶ τῶν ἐγκλημάτων δὲ τῶν ἐν δικαστηρίοις οἱ μάρτυρες τοῖς δικασταῖς προσίτωσαν ἐννόμως. κηδεμόνας τοῖς ὀρφανοῖς ὁ ἄρχων προσδιδότω. χρὴ τὸν ἐξ αἰτιάσεως ὑπομνησθέντα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πρώτης βιβλίον ὑποδέχεσθαι τῆς κινουμένης δίκης καὶ προθεσμίαν ἡμερῶν εἴκοσι προσλαμβάνειν. ὁ δὲ ἐκ παραιτήσεως λαβὼν δευτέραν κρίσιν οὐ δύναται τὸν δεύτερον δικαστὴν παραιτεῖσθαι. μετὰ διωμοσίαν δὲ τοῦ ῥέου κρυπτομένου καὶ μὴ προσαπαντήσαντος κατὰ τὴν προθεσμίαν εἰς τὰ ἐκείνου πράγματα πεμπέσθω ὁ ἐνάγων, οὐκ ἄλλως δ' ἀναδίδωσι τὰ πράγματα τῷ ῥέῳ, εἰ μὴ τὴν πᾶσαν πρότερον δαπάνην ἀπαιτήσει. γυνή τις ἴσως ἄπορος ἐπὶ ἀνδρὶ εὐπόρῳ θανοῦσα δίχα γαμικῶν τελείως συμβολαίων, ὡς δὲ κἂν ἄπορος ἀνὴρ ἐπὶ εὐπόρῳ θάνοι, εἰς μόνον μέρος τέταρτον τῶν ἑαυτοῦ κτημάτων ὑπὸ τοῦ ζῶντος ὁ θανὼν καλῶς κληρονομείσθω. ὁ τρὶς κομίσας μάρτυρας αὖθις μὴ παραγέτω. ὁ μέσος δὲ τοῖς μέρεσι γεγονὼς γνώμῃ τούτων ἐφ' οἷς οὗτοι δικάζονται καὶ ἄκων μαρτυρείτω. Μὴ πάσας δ' οἴου, δέσποτα, τὰς Νεαρὰς εὐχρήστους· αἱ μὲν γὰρ οὐκ ἐτέθησαν τοῖς Λέοντος βιβλίοις, ὧν ἡ μὲν γνῶσις ἀσφαλής, βασιλικὴ δ' ἡ κλῆσις· αἱ δ' εἰ καὶ κατεστρώθησαν, ἐσχόλασαν τῷ χρόνῳ· αἱ δ' ἤργησαν ἀλλοίωσιν τοῦ βίου δεξαμένου, οἷον τὰ περὶ βουλευτῶν, τὰ περὶ τῶν πραιτώρων, τὰ περὶ μοδεράτωρος, τὰ περὶ κοιαιστώρων, τὰ περὶ τῶν ἐπαρχιῶν τῶν ἀπηριθμημένων, ὅσα κατὰ συναίνεσιν τὸν γάμον διαιροῦσι, τὰ περὶ συγχωρήσεως λοιπάδων δημοσίων τὰ περὶ τῶν ἐκκλήσεων τῶν ἐν τῇ Σικελίᾳ, τὰ περὶ τοῦ μὴ γίνεσθαι οἴκοι τὰς λειτουργίας, τὰ περὶ τοῦ διηνεκῶς ποιεῖν τὰς ἐμφυτεύσεις, τὰ περὶ τῶν ἐν Ἀφρικῇ θείων ἀφιδρυμάτων. εὔχρηστα δὲ καὶ θαυμαστὰ τὰ περὶ Φαλκιδίου, τὰ περὶ γάμων λύσεως τοῖς καθήκουσι τρόποις, τὰ περὶ ἀποδόσεως πραγμάτων προικιμαίων, τὰ περὶ καινοτομιῶν, τὰ περὶ κηδεμόνων, τὰ εἰς ἀμέτρους δωρεὰς ἀποτετοξευμένα, τὰ περὶ τῆς ἐπὶ προικὶ σαφοῦς ἀναργυρίας. οὐ τοίνυν ὅλον εὔχρηστον τὸ Νεαρῶν βιβλίον, ἀλλ' ὧν ἡ πρᾶξις συνεχής, νόμοις κεκροτημένη. Τῶν δ' ἀγωγῶν ἡ σύνταξις πολλή τε καὶ ποικίλη, Ἰταλικοῖς ὀνόμασι μὲν κατωνομασμένη, Ἑλληνικαῖς δὲ κλήσεσιν αὖθις ἀντικληθεῖσα. τούτων ἡτοιμολόγηται τὰ πλείω θαυμασίως. ἀδουλτερίης ὄνομα κεῖται περὶ μοιχείας, καὶ θαύμασον τὴν σύνεσιν τοῦ ὀνοματοθέτου· ὁ Ἰταλὸς τὴν νόθευσιν καλεῖ πως ἀδουλτέραν, ἔνθεν γοῦν κατωνόμασται τὸ στροῦπτον τῆς μοιχείας, ἡ γὰρ μοιχεία νόθευσις καὶ παραχάραξίς τις. κινοῦσι δὲ τὸ μοιχικὸν ἀνέρ, πατὴρ καὶ θεῖος πρὸς τῆς μητρός, πρὸς τοῦ πατρός, σύγγονός τε πρὸς τούτοις, μετ' ἐγγραφῶν οἱ σύμπαντες, κἂν εἰ τὸν ἄνδρα λέγῃς. ἡ ἀδοπτίων, δέσποτα, θέσεως ὄνομά τι, εἰς δύο δὲ ὀνόματα τὴν διαίρεσιν ἔχει, ὧν τὸ μὲν ἀδρογάτιον, τὸ δ' ἀδόπτιον λέγε. τὸν τοίνυν αὐτεξούσιον λαμβάνει τις εἰς θέσιν τῇ τῆς ἀδρογατίονος κλήσει τε καὶ δυνάμει· ὁ δέ γε υἱοθετηθεὶς ἄνηβος ἑκουσίως ἐξνερεδάτος γεγονὼς τρίτον λαμβάνει μόνον. ὁ δέ γε Ἀκουίλιος ἀγωγή τις τυγχάνει κατὰ τοῦ μὴ παρέχοντος τῷ σεβασμίῳ τόπῳ ὅπερ λεγάτον ὥρισε σαφῶς ὁ τελευτήσας· ἔχει δ' ἀπαίτησιν καρπῶν, εἴπερ ὑπέρθοιτό τις. ἡ δέ γε ἀδεξιβενδοὺμ λίαν ἐστὶ χρειώδης· πραγμάτων δ' ἐστὶν εἴσπραξις τῶν ἀποκεκρυμμένων· περσοναλία τέ ἐστι, πρὸς δὲ ἀρβιτραρία, εἰσπράττει δὲ ὁλόκληρον τὸ πρᾶγμα προσηκόντως μετὰ γονῶν καὶ τοκετῶν, μετὰ πάσης αἰτίας. ἀμβίτους νόμος πούβλικος κινούμενος πρὸς πάντων· οὐκ ἔστι δὲ κεφαλικόν, κἂν ἀτιμοῖ τελείως· κινεῖται δ' εἴ τις τὴν ἀρχὴν χρήμασιν ἀγοράσοι. καὶ ἡ ἀννόνα πούβλικον καὶ πλέον τῶν πουβλίκων, κινοῦσι γὰρ τὴν ἀγωγὴν καὶ δοῦλοι καὶ γυναῖκες· κινεῖται δ' εἴ τις τυραννεῖ τὴν εὐθηνίαν Ῥώμης καὶ καταπραγματεύεται πρὸς χάριν τῶν βαρβάρων. ἦν δέ τις Ἀκουίλιος δήμαρχος ἐν τῇ Ῥώμῃ, καὶ νόμον εἰσηγάγετο περὶ ζημίας τότε, ἐκλήθη δ' Ἀκουίλιος ὁ νόμος φερωνύμως· διεῖλε δὲ τὸ προταθὲν ἐν τρισὶ κεφαλαίοις, ὧν ἄχρηστον τὸ δεύτερον τοῖς πράγμασι τυγχάνει. οὗτος δ' ὁ νόμος, δέσποτα, πολύχρηστος ὑπάρχει, καὶ περὶ φόνου γὰρ πολλὴν ἀκρίβειαν εἰσάγει, κἂν εἴ τις τὸ τετράποδον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

νεμόμενον φονεύσοι. ἡ ἀγωγὴ δὲ πέφυκεν αὕτη καὶ ποιναλία, ἔστι δὲ καὶ οὐτίλιος, ἔστι δὲ καὶ διρέκτα· εἰ μέν τις σῶμα σώματι βλάψει, τότε διρέκτα, εἰ δέ τις ἄλλως ἔβλαψεν, οὐτίλιος τυγχάνει, εἰ δὲ μήθ' οὕτως ἔβλαψε μήτε σώματι σῶμα, ζημία δὲ προσγέγονεν, ἡ ἰμφακτοὺμ κινεῖται. ὁ δέ γε Ἀκουίλιος κατὰ μὲν ἀρνουμένων διπλῆν ποιεῖται εἴσπραξιν, τοὺς δὲ ὁμολογοῦντας εἰσπράττει μόνον τὸ ἁπλοῦν, οὐδὲ ζητῶν τι πλέον. ἡ βι βονόρουμ δ' ἀγωγὴ ῥαπτόρουμ κεκλημένη κινεῖται κατὰ ἅρπαγος πραγμάτων ἀλλοτρίων, ἐντὸς μὲν χρόνου ἔσωθεν τετραπλοῦν ἀπαιτοῦσα, τοῦ πράγματος τῷ τετραπλῷ ἐνταῦθα προσκειμένου, ὥστε συμβαίνειν τὴν ποινὴν εἰς τὸ τριπλοῦν τυγχάνειν· ἐκτὸς δὲ χρόνου πέφυκεν ἁπλοῦν εἰσπράττειν μόνον. καὶ κινηθεῖσα πρότερον τὴν φούρτην καταπαύει, εἰ δὲ τὴν φούρτην πρότερον κινήσει τῆς ῥαπτόρουμ, κινεῖ καὶ ταύτην, δέσποτα, οὐχ ὑπερβαίνει δέ γε τοῦ τετραπλοῦ τὴν εἴσπραξιν, κἂν ἄμφω τις κινήσῃ. ἡ δεποσίτη δέ γ' ἐστὶν ἡ περὶ παραθήκης, ἥτις καὶ δόλον ἀπαιτεῖ, πρὸς δὲ καὶ λάταν κούλπαν καὶ τόκους ὑπερθέσεως καὶ συγχρήσεως ἅμα· καὶ κληρονόμοις δίδοται καὶ κατὰ κληρονόμων, οὐκ ἔστι γὰρ ἀτιμουργός, εἰ μὴ οἰκείῳ δόλῳ. ἡ περὶ δόλου δέ ἐστι ποινὴ καὶ ποιναλία, δίδοται καῦσα κόγνιτα, ἔστι περσοναλία, ἐν δυσὶ δὲ ἐνιαυτοῖς ἄρχεται καὶ πληροῦται· ἄλλης δ' ὑπούσης ἀγωγῆς οὐ κινεῖς τὴν δε δόλο. ἡ δὲ δε φάλσις ἀγωγὴ νόμος τοῦ Κορνηλίου, κινεῖται δὲ κατά τινος πλαστὸν πεποιηκότος. τοῦ δὲ Πουβλίκου, δέσποτα, δε φάλσις τιμωρία· κατ' ἐλευθέρων μέν ἐστιν ἥ τε δεπορτατίων καὶ ἡ τελεία δήμευσις, κατὰ δὲ δούλων πάλιν ἐσχάτην ἔχει κάκωσιν, πάνδεινον τιμωρίαν. νόμος ἐστὶν Ἰούλιος ὅ γε δε πεκουλάτις, ὅστις κατὰ τοῦ κλέψαντος ἐξ ἱερῶν ἀδύτων ἢ ἐκ μνημάτων ἀσφαλῶν ἤτοι ῥελεγιόσων κινεῖται καὶ τραχύνεται καὶ τιμωρεῖ πανδείνως· ἐπάγει γὰρ ἐναλλαγὴν τάξεως τῆς προτέρας, δεπορτατεύει, δέσποτα, τὸν ἐξεληλεγμένον· ἔχει δέ γε τὴν δύναμιν ἐντὸς πενταετίας. ἡ δονατεονίβους δὲ ἀγωγὴ διαιροῦσα τῶν δωρημάτων τὸ διττόν· δόνουμ γάρ τοι τὸ δῶρον, τὸ μέν ἐστιν ἰντέρβιβον, τουτέστιν ἀπεντεῦθεν, τὸ δέ γε μόρτις καῦσά πως, θανάτου γὰρ αἰτίᾳ· μόρτις καὶ γὰρ ὁ θάνατος, τὸ καῦσα δ' ἕνεκά του, ἤτοι τὸ δι' ὑπόνοιαν θανάτου δεδομένον. τυχὸν γὰρ ἔμελλέ τις πλεῖν πλοῦν ἐπικινδυνώδη καὶ δέδωκέ τῳ χρήματα τῷ φόβῳ τοῦ θανάτου· ἐνταῦθα γὰρ ἀπαλλαγεὶς ὁ δεδωκὼς τοῦ φόβου δεσπότης πάλιν πέφυκε τῶν γε δεδωρημένων, ὁ δὲ λαβὼν τὴν δωρεὰν φυσικὴν νομὴν ἔχει. ἡ δέ γε ἐπερώτησις τινὶ προσπορισθεῖσα εἰς κληρονόμον πέφυκε καὶ μόνον μεταπίπτειν. ἡ δε ἰνοφικίοσο, ἡ διαθήκης μέμψις, εἰσαγωγὴ πρὸς ἀγωγήν, οὐκ ἀγωγὴ τυγχάνει· τὴν περὶ ἀπαιτήσεως λέγω κληρονομίας. δίδοται δ' αὕτη καὶ παισὶ κατὰ πατρός, εἴ γέ πως ἐξνερεδάτους ἔγραψε τούτους ἐν διαθήκῃ, καὶ κατὰ παίδων τῷ πατρὶ ἐξ ὁμοίας αἰτίας. ἡ δὲ ἰν ῥὲμ πολυσχεδὴς καὶ πολυώνυμός τις, καθόλου γὰρ καὶ μερική, ἔστι δὲ βοναφίδε· ἡ μὲν γὰρ οὐτιλία τις, δανεισταῖς διδομένη, ἡ δὲ κομφεσορία τις, ἡ δὲ νεγατορία, ἡ δὲ προιβιτορία τις, ἡ δὲ σπεκιαλία, ἑτέρα τις Σερβιανή, ἄλλη Πουβλικιάνα. καὶ αἱ ἰμφάκτουμ ἀγωγαὶ πολλαί τε καὶ ποικίλαι· τούτων αἱ μὲν πραιτώριαι, αἱ δὲ πουπιλαρίαι, αἱ μὲν ἐκ νόμου τρέχουσιν, αἱ δὲ ἀρβιτραρίαι· αἱ μὲν ἁπλοῦν, αἱ δὲ διπλοῦν, αἱ δὲ τὸ διαφέρον, αἱ δὲ τὸ τετραπλάσιον τοῦ χρέους ἀπαιτοῦσιν· αἱ μὲν αὐτῶν ἀνάλιαι, αἱ δὲ καὶ περπετοῦαι· ἡ χρῆσις γὰρ τῶν ἰμφακτοὺμ πολύμορφος τυγχάνει. ἰουδικάτη δ' ἀγωγὴ μηνῶν τεσσάρων ὅρον πρὸς καταδίκην ἔλαβε παρὰ τοῦ νομοθέτου. ἡ δέ γε περὶ ὕβρεως ἀγωγὴ ἀναλία· γίνεται δὲ καὶ πράγμασι καὶ ῥήμασι τὸ πλέον, εἰς σῶμα εἰς ἀξίαν τε, πρὸς δὲ καὶ ἀτιμίαν· κινεῖται δ' ἐγκληματικῶς, χρηματικῶς δ' εἰ θέλεις, καὶ σβέννυται παραδρομῇ ἑνὸς καὶ μόνου χρόνου. Ὡς τῶν ἰν ῥέμ, τῶν ἰμφακτούμ, οὕτω τῶν ἰντερδίκτων ἡ χρῆσις πολυδύναμος, πολλὰς ἔχουσα κλήσεις. ἔστι δὲ τὸ ἰντέρδικτον πραίτωρος ὁμιλία, οὐ τέμνει δὲ ὑπόθεσιν, ἀλλὰ ῥυθμίζει μόνον, πῶς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

χρὴ τεμεῖν τὸν δικαστὴν τὴν κινουμένην δίκην, εἴ τινες ἀμφιβάλλουσι περὶ νομῆς ἀλλήλοις. καὶ φυσικὴ μέν τις νομὴ κατοχὴ τῶν πραγμάτων, ἡ δ' ὡσανεὶ νομή ἐστι χρῆσις, ἀλλ' ἀσωμάτων. τῶν δ' ἰντερδίκτων πέφυκε τὰ μὲν πρὸς παραστάσεις, τὰ δ' εἰς ἀποκατάστασιν, τὰ δὲ κωλυτικά πως· τὰ μέν εἰσι διηνεκῆ, τὰ δ' ἐνιαυσιαῖα· τὰ μέν εἰσι δημοτικά, τὰ δὲ τισὶν ἁρμόζει. ἰντέρδικτον τὸ οὗνδε βί, πρὸς δὲ τὸ ἀρβορίβους, ἰντέρδικτον τὸ κοῦοδ βὶ αὖτ κλὰμ ὠνομασμένον, ὅπερ ἐφερμηνεύεται τὸ βίᾳ ἢ τὸ λάθρα. καὶ μὴ μηκύνω, δέσποτα, ὀνόματα συλλέγων, καθολικῶς εἰπεῖν καὶ γὰρ ἰντέρδικτον τυγχάνει ῥυθμίζουσα τὸν δικαστὴν πρὸς δίκην ὁμιλία. Καὶ τἆλλα κατ' ἐπιδρομὴν οὑτωσί σοι ῥητέον· κονδούκτιο ἡ μίσθωσις, λοκάτι ἀγωγή τις ἥτις ἁρμόζει, δέσποτα, τῷ γε μισθωσαμένῳ κατὰ τοῦ ἐκμισθώσαντος τοῦ μισθωθέντος χάριν. μανδάτι περὶ ἐντολῆς, ἔστι δὲ τῆς κονσέσο. ἡ μέτους καῦσα πρόσεστι τῷ φόβῳ δυναστείας ἢ δόντι πρᾶγμα τῶν αὐτοῦ ἢ χρέος ἀφεικότι· περσοναλία δέ ἐστι καὶ χρόνῳ περατοῦται. ὁ μαεστάτης, δέσποτα, νόμος ἦν Ἰουλίου, κινεῖται δ' εἴ τις ἔπραξέ τι κατὰ βασιλέως· καθοσιώσεώς ἐστιν ἔγκλημα τοῦτο μέγα· καὶ παίδων ὄντων δήμευσιν ἔχει τοῦ κολασθέντος. νερεδιτάτις δέ ἐστι περὶ κληρονομίας, ἔνθ' οὐκ ἔστι διαφορὰ ἀδνάτων καὶ κογνάτων, ἀλλ' οὐδὲ σούων, δέσποτα, καὶ τῶν ἐμαγκιπάτων. αἱ νοξαλίαι ἀγωγαὶ πᾶσαι πραετωρίαι· κινοῦνται κατὰ δεσποτῶν οἰκετῶν πλημμελούντων. ὁ ῥεπετοῦνδις φέρεται κατὰ τῶν δωροδόκων, καὶ μάλιστα τῶν ἐν ἀρχαῖς καὶ κατὰ τῶν συνέδρων· κινεῖται δ' εἰ καὶ τέθνηκεν ὁ κατηγορημένος. ἡ ῥέρουμ ἀμουτάρουμ δὲ κονδικτίκιος λόγος, ἁρμόζει δὲ καὶ γυναικὶ κατὰ τοῦ συνοικοῦντος ἀνδρί τε κατὰ γυναικὸς κλέψαντος ἢ κλεψάσης. στελιονάτους δέ ἐστι πράξεως πονηρία, ὁποῖον εἰ χρεώστης τις τινὶ τῶν δανεισάντων εἰς ὑποθήκην πρᾶγμα δῷ προϋποτεθειμένον· ἔχει δ' ἐξορδινάριον τοῦτο τὴν τιμωρίαν. ἀγωγὴ διαιρετικὴ ἥ γε τριβουτορία. ἡ δέ γε μὴν τουτέλαε ἡ κατὰ ἐπιτρόπων. τὸ δὲ Τουρπιλιάνειον δόγμα πρὸς συκοφάντας. τὸ δέ γε φαμιλίαε ἐρκισκούνδαε τύπος ἐν ᾧ τὰ δικαστήρια διπλῆν ἔχει τὴν φύσιν, τῶν δ' ἐγκαλούντων ἕκαστος ἄκτωρ ἐστὶ καὶ ῥέος. ἡ φουγνερατικία δὲ ἀπαιτεῖ τὴν δαπάνην τῶν ἐν ταφῇ παρά τινος καλῶς καταβληθέντων· καὶ προτιμᾶται τῶν χρεῶν ἡ τοιαύτη δαπάνη. Δόγμα δὲ Ἀδριάνειον τὸν ἀκριβῆ νομέα μήτε κερδαίνειν περιττὸν μήτε μὴν ζημιοῦσθαι. δόγμα τὸ Ἀφιάνειον παντελῶς ἀνῃρέθη. δόγμα τὸ Ἀδριάνειον τελείως ἠθετήθη. δόγμα δὲ τὸ Ἀτίλειον κωλύει τὰ κλαπέντα διὰ νομῆς δεσπόζεσθαι χρονίας προσηκόντως. ὁ νόμος ὁ ἀγράριος τὸν ὅρους μεταθέντα χρυσοῦς εἰσπράττει ἑκατὸν ἐφ' ἑκάστῳ τῶν ὅρων. ὁ νόμος ὁ Βοκώνιος παντελῶς ἀνῃρέθη. δόγμα Δασουμνιάνειον ἔστι τοιοῦτον, ἄναξ· ἐάν τις ὑπὸ αἵρεσιν ἢ ἴσως ὑπὸ ὅρον ἐλευθερίαν χρεωστῇ φιδικομισσαρίαν, ἔπειτ' ἀπολιμπάνηται δι' εὔλογον αἰτίαν, αὕτη μὲν ἵνα προχωρῇ τοῦ ὅρου πληρωθέντος, αὐτὸς δ' ἐστὶν ἀνέκπτωτος πατρωνικῶν δικαίων. ὁ νόμος ὁ Ἰούλιός ἐστι περὶ μοιχείας, περὶ καθοσιώσεως, περὶ βίας ἐνόπλου. δόγμα τὸ Κλαυδιάνειον τελείως ἀνῃρέθη. τὸ δὲ Καρβωνιάνειον βοηθεῖ τοῖς ἀνήβοις. ὁ νόμος δ' ὁ Κορνήλιος κατὰ τῶν πλαστογράφων. δόγμα Λαργιτιάνειον ἐσχόλασε τελείως. δόγμα τὸ Νινιάνειον τὰ νῦν οὐκ ἔχει χρῆσιν. τὸ δὲ Ὀρφιτιάνειον παρέχει τοῖς ἐκγόνοις νόμιμα δίκαιά τινα διαδοχαῖς μητέρων. ὁ νόμος δὲ ὁ Πάπιος παντελῶς ἀνῃρέθη. δόγμα τὸ Σιλιάνειον ἐκδίκησιν εἰσάγει εἴ τις βίαιον θάνατον πέπονθεν αἰφνιδίως. δόγμα Τερτυλιάνειον βοηθεῖ ταῖς μητράσιν εἰς τὴν τῶν παίδων νόμιμον πάντως κληρονομίαν. ὁ νόμος ὁ Φαλκίδιος αὐτίκα σοι ῥητέος· ἔχει γὰρ πρὸς κατάληψιν οὐ μικρὰν δυσκολίαν. Ὁ εἰκοστόπεμπτος καιρὸς τῶν ἐνηλίκων, ἄναξ, ἀπὸ ῥοπῆς μέχρι ῥοπῆς νομικῶς ἀριθμεῖται. ἂν αἵρεσις τεθῇ τινι καιροῦ μὴ ὁρισθέντος εἰς πλήρωσιν αἱρέσεως ἡμέρας ἔχει δύο. ὁ νομικὸς συμψηφισμὸς τῶν χρόνων, στεφηφόρε,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἑβδόμης ὥρας ἄρχεται νυκτὸς καὶ μέχρις ἕκτης νυκτὸς τῆς ἄλλης ἀκριβῶς τὴν περαίωσιν ἔχει. ἡ ἔκκλητος ἐκδίδοται ἐντὸς ἡμερῶν δέκα. μετὰ διάζευξιν ἀνδρὸς ἐν τριάκονθ' ἡμέραις διαλαλείτω ἡ γυνὴ ὡς πέφυκεν ἐγκύμων. καὶ μετὰ τὴν φανέρωσιν τῆς διαθήκης, ἄναξ, ὁ κληρονόμος ἴνβεντον ἐν τρισὶ μησὶ δράτω. τῶν ἐκ πλαγίου συγγενῶν αἱ διακατοχαὶ δὲ ἡμερῶν ψῆφον ἑκατὸν ἔχουσι προθεσμίαν. τέσσαρας μῆνας ἔχουσιν οἱ κατακεκριμένοι ἕνεκεν ὑπερθέσεως, καὶ μετὰ ταῦτα τόκους διδοῦσι τοῖς ἐνάγουσιν ἑκατοσταίους, ἄναξ. ἡ ῥεδνιβιτορία δὲ ἀγωγή, στεφηφόρε, ἤτοι ἡ ἀναστρέφουσα πρᾶγμα τὸ πεπραμένον μηνῶν ἓξ πάντως ἔσωθεν κινεῖται οὐτιλίων. καὶ ἡ μειοῦσα τίμημα ἀγωγὴ τοῦ πραθέντος τοῖς ἓξ περιορίζεται μησὶν εἰς προθεσμίαν· εἰ δ' ὁ πωλήσας τὸ πραθὲν ἀντιφωνεῖ βεβαίως, ὁ χρόνος ἐνιαύσιος, οὐκέτι περαιτέρω. ἐνιαυτὸς ἀφώρισται τῇ δόσει τοῦ λεγάτου ὅπερ τις καταλέλοιπεν εἰς σεβάσμιον οἶκον. ἐνιαυτὸς ἀφώρισται τῷ ἀντιτιθεμένῳ μετὰ συνοίκου τελευτὴν περὶ ἀναργυρίας ἀντεγκαλοῦντι τῆς προικὸς πρὸς τὸν κατηγοροῦντα. ὁ διὰ μέγα ἔγκλημα ζητούμενος εἰς δίκην, εἰ μὴ ἐντὸς ἐνιαυτοῦ νομίμως ἀπαντήσοι, περιουσίας ἔκπτωσιν ὑφίσταται δικαίως. ἡ κατὰ τοῦ ἁρπάσαντος ἀγωγὴ πρᾶγμα ξένον ἢ ἀπὸ ἐμπρησμοῦ τινος ἢ ἀπὸ ναυαγίου χρόνῳ περιορίζεται τοῦ τετραπλασιάζειν ὅπερ οὗτος ἀφήρπασεν, οὐδέ γε περαιτέρω· μετὰ δὲ χρόνου πλήρωσιν τὸ ἁπλοῦν ἐκδικεῖται. πᾶσα γυνὴ χηρεύουσα πενθείτω χρόνον μόνον. ἡ περὶ δόλου ἀγωγὴ χρόνοις ὥρισται δύο. περὶ ἀναργυρίας δὲ περιγραφόμενός τις δύ' ἔτη ἕξει συναπτὰ ὡς πρὸς τὰς ἀντιθέσεις. ἐμφυτευτὴς καὶ μισθωτὴς εὐαγοῦς τυχὸν τόπου χεῖρον ποιῶν τὸ μισθωθὲν ἢ δρῶν ἀγνωμοσύνην ἐν δύο ὅλοις ἔτεσι τοῦ πράγματος στερεῖται. ἐὰν ἐν ἔτεσι δυσὶν ὁ γάμος ἐξετάθη καὶ μετὰ ταῦτα λέλυται ἐννόμῳ τυχὸν λύσει, ἀπαιτουμένῳ τῷ ἀνδρὶ τὴν γεγραμμένην προῖκα ἔξεστι παραγράφεσθαι ὡς ἐξ ἀναργυρίας· εἰ δ' ἐπὶ δέκα ἔτεσιν ὁ γάμος παρετάθη, τρεῖς μόνοι μῆνες δίδονται τούτῳ κινεῖν τὴν δίκην. δίκη πᾶσα χρηματικὴ ἐννόμως κινουμένη οὐκ ὀφείλει μηκύνεσθαι τῶν τριῶν χρόνων πλέον. μετὰ τὸν εἰκοστόπεμπτον τοῖς ἀφήλιξι χρόνον εἰς τὴν ἀποκατάστασιν τετραετίαν δίδου. τῇ δε ἰνοφικιόσο χρόνος πενταετία. πενταετίᾳ σβέννυται τὸ περὶ τῆς μοιχείας. καὶ τὸ δε πεκουλάτους δὲ ἔγκλημα πέντε χρόνοις ὁρίζεται πρὸς ἀγωγήν, οὐκέτι περαιτέρω. ὁ ἴμφας ἤτοι νήπιος ἐτῶν ἑπτὰ τυγχάνει. ὀκτὼ δὲ χρόνων ἔσωθεν οὐκ ἔστιν ἀναγνώστης. τῶν ἀκινήτων πέφυκεν, ἄναξ, ἡ προθεσμία τοῖς μὲν παροῦσι δέκατος ἐνιαυτὸς καὶ μόνος, τοῖς δέ γ' ἀποῦσιν εἰκοστός, οὐκέτι περαιτέρω. τὰ ἔτη τῆς περὶ προικὸς ἀναργυρίας δέκα. ἡ πρὸ τῶν δώδεκα ἐτῶν ἀθέσμως γαμουμένη οὐκ ἂν γάμον ποιήσειεν· εἰ δὲ προῆν μνηστεία, αὕτη καὶ πάλιν πέφυκε τῷ νόμῳ παραμένειν, εἰ μή τις λῦσαι βούλοιτο ταύτην ὡς ἀπὸ νόμου. ταῖς μὲν θηλείαις δώδεκα εἰς ἐφηβίαν χρόνοι, οἱ δὲ τεσσαρεσκαίδεκα τοῖς ἄρρεσι κριτέοι. συνηγορεῖν δὲ δύναται ὁ ὀκτωκαιδεκαέτης. ὁ δὲ υἱοθετῶν τινα μείζων ὀφείλει εἶναι χρόνοις ἐν ὀκτωκαίδεκα τοῦ υἱοθετουμένου. θήλεια μὲν αἰτήσεται συγγνώμην ἡλικίας ἐννόμως τοῦτο πράττουσα ἡ ὀκτωκαιδεκαέτης, ἀνὴρ δὲ εἰκοστοετὴς ἔστω πρὸς τὴν συγγνώμην. ὁ ἥττων εἴκοσι ἐτῶν οὐ δύναται δικάζειν. περάτωσις ἐγκλήματος ὅρος εἴκοσι χρόνων· πενταετία μόνη δὲ σβεννύει τὴν μοιχείαν. ταύτῃ γὰρ πεπεράτωται καὶ τὸ δε πεκουλάτους. ὁ χρόνον εἰκοστόπεμπτον πληρώσας ἡλικίας ἐρχέσθω πρὸς διοίκησιν τῶν ἑαυτοῦ πραγμάτων. ἀφῆλιξ αἰτησάμενος συγγνώμην ἡλικίας εἴπερ δωρήσεταί τινι ἀκίνητόν τι πρᾶγμα, ἡ δωρεὰ οὐκ ἔρρωται εἰ μὴ διέλθοι χρόνος μετὰ τὸν εἰκοστόπεμπτον δεκέτης ἢ καὶ πλέον. τὴν ἐπὶ πράσει ἀγωγὴν μακρὸς χρόνος οὐ τέμνει. ἡ περὶ ἀπαιτήσεως πάσης κληρονομίας προσωπική τε σύμπασα τριακονταετίᾳ σβέννυταί τε καὶ φθείρεται, οὐδαμῶς περαιτέρω. τὸ φινιοὺμ ῥεγουνδοροὺμ ἤτοι τὸ περὶ ὅρων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

χρόνοις ἐν τοῖς τριάκοντα τοῖς ἀνεπιφωνήτοις σβέννυταί τε καὶ φθείρεται, οὐδαμῶς περαιτέρω· ἀγωγή τε προσωπικὴ ταύτῃ τῇ προθεσμίᾳ, εἰ μὴ τμηθῇ τὸ μεταξύ, σβέννυται προσηκόντως· ἀγωγαὶ τεμποράλιοι ταύτῃ σβέννυνται μόνῃ. διπλᾶ δὲ δικαστήρια ταῦτα τὰ τρία μόνα· τὸ περὶ διαιρέσεως κοινῶν τινων πραγμάτων, τὸ περὶ φαμιλίας τε, τὸ περὶ ὅρων τρίτον. οὔτε ἡ φούρτη ἀγωγὴ οὔτε ἡ προ σοκίο οὔτε ἡ περὶ κινητῶν ἁρπαγῆς, ἣν Λατῖνοι οὕτω κατωνομάκασι, βι βονόρουμ ῥαπτόρουμ, ἐτῶν πλέον τριάκοντα εἰς ἀγωγὴν ἰσχύει· ἡ δ' ἀπαιτοῦσα τὸ διπλοῦν ἐπὶ τοῦ κλοπιμαίου τῷ χρόνῳ παρατείνεται τοῦ κλέψαντος τὸ πρᾶγμα. ἔτεσι τεσσαράκοντα ἡ ὑποθηκαρία ἀγωγὴ παρατείνεται, τοῦ χρεώστου τὸ πρᾶγμα ἔχοντος καὶ κατέχοντος καὶ σαφῶς νεμομένου. Καλῇ δὲ πίστει ἀγωγαὶ τοσαῦται καὶ τοιαῦται· πρᾶσις ἀγορασία τε, μίσθωσις, κοινωνία, ἐκμίσθωσις, διοίκησις πραγμάτων ἀλλοτρίων, κατ' ἐπιτρόπων ἀγωγή, ἐντολή, παραθήκη, ἀγωγὴ περὶ τὸ χρησθέν, ἡ περὶ ἐνεχύρου, ἡ περὶ διαιρέσεως τῶν συγκληρονομούντων, ἡ διαιροῦσα τὰ κοινὰ καὶ χωρὶς κοινωνίας, ἡ πραεσκρίπτις βέρβις τε τῶν ἀνταλλαττομένων, ἄλλη δ' αὖθις ὁμώνυμος ἀεστιματορία. ἡ δὲ νερεδιτάτις τε κληθεῖσα πετιτίων, ἡ ἀπαιτοῦσα, δέσποτα, τὰ τῆς κληρονομίας, στρίκτα τὸ πρὶν ἐτύγχανε, νῦν δ' ἐστὶ καλῇ πίστει· στρίκτα τὸ πρὶν ἐτύγχανε καὶ ἡ ἐξ στιπουλάτο. ὁ νόμος δ' ὁ Φαλκίδιος τοιαύτην ἔχει φύσιν· εἴπερ τις τελευτήσειε πατὴρ ἑνὸς παιδίου, γράψας δὲ διατύπωσιν τοῦ παιδὸς οὐκ ἐμνήσθη, ἀλλ' ἄλλοις καταλέλοιπεν ἀκέραιον τὸν κλῆρον, ὁ παῖς τὸ τρίτον λήψεται πραγμάτων τῶν πατρῴων· εἰ δ' ὁ θανὼν ἐγέννησε παῖδες ἐν βίῳ δύο, οὐδ' ἑνὸς δ' ἐμνημόνευσε ποιήσας διαθήκην, ἕκαστος ἕκτον λήψεται τῶν πατρικῶν πραγμάτων· εἰ δέ γε τρεῖς τυγχάνουσιν οἱ παῖδες τοῦ θανόντος, ἕκαστος ἕξει ἔννατον τῆς πατρικῆς οὐσίας· δωδέκατον δ' εἰ τέσσαρες τυγχάνουσιν οἱ παῖδες· εἰ δὲ πλείους τυγχάνουσι, δέσποτα, τῶν τεσσάρων, τούτοις ἀποκεκλήρωται τῆς πατρικῆς οὐσίας μερὶς πάντων ἡμίσεια, δοκοῦν τῷ Φαλκιδίῳ. οἱ ἄνευ δεφενσίωνος πρᾶσίν τινος ποιοῦντες εἰς μόνην κατακρίνονται τὴν τιμὴν τοῦ πραθέντος, οἱ δέ γε δεφενδεύοντες καὶ τὴν τιμὴν διδοῦσι τοῦ διπλασίου τε ποινήν, οὕτω γὰρ ἐτυπώθη. τοὺς ἀντελλόγους, δέσποτα, τῷ δικαστῇ δεκτέον, τῆς παραθήκης μόνης δὲ ἀντέλλογος οὐκ ἔνι. τὴν καταδίκην τὴν ἁπλῆν ἔχει ἐξ στιπουλάτο, ἡ ἀπὸ τοῦ δανείσματος, ἡ ἐξ ἀγορασίας, ἡ ἀπὸ τῆς μισθώσεως, ἡ ἀπὸ ἐνταλμάτων· διπλῆν δ' ἔχουσιν εἴσπραξιν ἡ τοῦ Ἀκουιλίου, ἡ ἀφανὴς ἀφαίρεσις, ἡ παρακαταθήκη· τὸ δέ γε τετραπλάσιον κλοπῆς ἐστι προδήλου ἄλλων τε πλείστων ἀγωγῶν καὶ ἰμφακτοὺμ πλειόνων, φόβου, συκοφαντίας τε, καὶ δικῶν ἄλλων πάλιν· διπλοῦν δὲ τετραπλάσιον ὁ ἀπὸ ναυαγίου ἁρπάσας πρᾶγμα, δέσποτα, εἰσπράττεται δικαίως, καὶ τὸ μὲν τετραπλάσιον τῷ φίσκῳ προσκυροῦται, τὸ δ' ἄλλο τετραπλάσιον ὁ ναυαγήσας ἔχει. οὐδεὶς δὲ ἐναγόμενος ὀνόματι οἰκείῳ ἱκάνωσίν τινα διδοῖ τὴν ἀπὸ καταδίκης· ὁ δ' ἀλλοτρίαν ἀγωγὴν ἐν δικασταῖς γυμνάζων μὴ ἐμφανίσας ἔγγραφον ἐντολὴν πρωτοτύπου καλῶς ἀπαιτηθήσεται τὴν ἱκανοδοσίαν. αἱ μὲν ἐκ νόμου ἀγωγαὶ αἵ τε ἀπὸ δογμάτων αἵ τε ἐκ διατάξεων τῶν βασιλικωτάτων διηνεκεῖς τυγχάνουσιν, ὡς ἤρεσε τοῖς νόμοις, οἱ νόμοι τῶν πραιτώρων δὲ μονόχρονοι τὴν φύσιν· εἰσὶ δὲ καὶ πραιτώριαι διηνεκεῖς ὀλίγαι, ὡς ἡ περὶ τοῦ κλέμματος ἡ τοῖς διακατόχοις παρεχομένη, δέσποτα, τοῖς γε νομικωτέροις. αἱ δέ γε μὴν ποινάλιαι ἀγωγαὶ κεκλημέναι τοῖς κληρονόμοις δίδονται, οὐ κατὰ κληρονόμων, ὁποῖόν ἐστιν ἡ κλοπὴ ἁρπαγή τε πραγμάτων, αὐτὸς ὁ Ἀκουίλιος ὁ περὶ τῆς ζημίας· ἡ δέ γε περὶ ὕβρεως οὐδ' ἐν τοῖς κληρονόμοις, εἰ λάβοι δὲ προκάταρξιν ἐν τοῖς δικαστηρίοις, καὶ κληρονόμοις δίδοται καὶ κατὰ κληρονόμων. Γυνὴ δὲ μετὰ χήρευσιν μὴ δευτερογαμοῦσα σὺν τοῖς παισὶ μερίζεται τὸν κλῆρον τὸν πατρῷον λαμβάνει τε ἰσάριθμον μοῖραν ἑνὶ τῶν παίδων, καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατὰ χρῆσιν κατ' αὐτὸ καὶ κατὰ δεσποτείαν· ἡ δὲ αὐτὴ ἀντιστροφὴ καὶ τῷ ἀνδρὶ τυγχάνει. ὁ αὐτεξούσιος υἱὸς ἄτεκνος ἀποθνήσκων νόμιμον ποστημόριον τοῖς γονεῦσι διδότω. ὁ κόρην βιασάμενος καὶ βιαίως ἁρπάσας μετὰ ξιφῶν βαρβαρικῶς ξίφει τιμωρητέος· εἰ δέ τις ὅπλων ἄνευθεν ἁρπάσειε τὴν κόρην, καὶ δήμευσιν ὑφίσταται καὶ τέμνεται τὴν χεῖρα, ἢ μᾶλλον οὐ δημεύεται, τῇ δέ γε βιασθείσῃ ἡ κτῆσις τούτου σύμπασα προσάπτεται δικαίως· ἐκ δέ γε τοῦ τολμήματος γάμος οὐ τελεστέος. δεῖ κατὰ τὴν συνήθειαν τὴν πάλαι τυπωθεῖσαν τὰς ἐποχὰς ἀφίστασθαι ἀλλήλων ἐν θαλάσσῃ ταῖς ἀκριβέσιν ὀργυιαῖς καὶ προδιαταχθείσαις πέντε πρὸς ταῖς ἑξήκοντα καὶ ταῖς τριακοσίαις, ὡς εἶναι τὸ μὲν ἥμισυ τούτου παντὸς τοῦ μέτρου ἐκ τῶν ὁρίων, δέσποτα, τοῦ γε θατέρου μέρους, μέχρι τοῦ γειτονεύοντος τοῦ λοιποῦ τεταμένου. ἔχει τὴν ταὐτοπάθειαν εἴ τις τυφλώσει κόρας· πλὴν ὀφθαλμὸν ἀντ' ὀφθαλμοῦ εἰκότως ἀποδώσει, εἰ δέ τις ἐξορύξειεν ὄμματα, φεῦ, τὰ δύο, αὐτὸς ἐξορυχθήσεται ὀφθαλμὸν ἕνα μόνον, ἀντὶ δέ γε τοῦ λείποντος διδότω διμοιρίαν τῷ τυφλωθέντι παρ' αὐτοῦ τῶν ἰδίων πραγμάτων· εἰ δ' ἐστὶν ἀπορώτατος, ἐξωρύχθω τὰ δύο. αἱ ἄποροι καὶ ἄπροικοι μὴ δευτερογαμοῦσαι τέταρτον μέρος λήψονται τῶν ἀνδρικῶν πραγμάτων, καὶ τούτου δεσποζέτωσαν καὶ παίδων ὑπαρχόντων. ἑξαετοῦς οὐ γίνεται μνηστεία κατὰ νόμους. ὁ τὸν φυγάδα δοῦλον δὲ πιπράσκων παρανόμως τὸ διαφέρον δίδωσιν ἢ διπλοῦν ἀπαιτεῖται. Ἀτιμουργοὶ τυγχάνουσιν ἀγωγαί, δέσποτά μου, ἡ ὕβρις, ἡ περὶ κλοπῆς, ἐπιτροπῆς καὶ δόλου, ἡ περὶ καταθήκης τε καὶ ἁρπαγῆς βιαίας· ἐπὶ κλοπῆς δέ, δέσποτα, καὶ ὕβρεως καὶ δόλου καὶ τῆς βιαίας ἁρπαγῆς πραγμάτων ἀλλοτρίων, κἂν μή τις καταδικασθῇ, ἀλλά τι δοὺς ἀπέλθῃ, τῆς καταδίκης πέφυκεν ἐντὸς τῆς ἀτιμίας. πρὸ τῆς ἐν πράγμασι νομῆς, νομῆς ψυχῇ καὶ μόνῃ οὐδεὶς ἐπιλαμβάνεται· νομὴν δὲ σώματί μοι παραδοθεῖσαν δύναμαι ψυχῇ μόνῃ φυλάττειν. τὸ οὗνδε βὶ ἰντέρδικτον κινεῖται προσηκόντως, εἴ τις τὸν ἔχοντα νομὴν πράγματος ἀκινήτου τῆς νομῆς ἀπελάσειεν ὡς βίαιος τὴν γνώμην· κἂν μὲν ἦν ἡ ἀκίνητος κτῆσις τοῦ νεμομένου, εἰσπράττεται καὶ τὴν νομὴν τὴν ἀποτίμησίν τε· εἰ δ' ἦν αὐτὸς ὁ βίαιος τοῦ πράγματος δεσπότης, τὴν τούτου πάντως στέρησιν ἔχει ποινὴν τῆς τόλμης. ὄνομα γενικόν ἐστιν ὁ δανειστὴς τῷ νόμῳ· πᾶς γὰρ ὁ χρεωστούμενος ἐξ οἱασοῦν αἰτίας ἐκ νόμου δανειστής ἐστι τοῦ κεχρεωστημένου· καὶ πάλιν ἄλλος δανειστὴς ἰδικῶς κεκλημένος ὅστις ἀπηριθμήσατο τῷ χρεώστῃ χρυσίον ἢ πρᾶγμά τι σταθμώμενον καὶ μετρούμενον φύσει, ὅπερ ἐστὶ τὰ πόνδερε νούμερε μένσουρέ τε, ὅσα σταθμοῦ καὶ μέτρου τε καὶ ἀριθμοῦ τυγχάνει, πόνδερε μὲν οἷον χρυσὸς ἄργυρος μόλιβδός τε, νοῦμμοι λεπτοὶ τὰ νούμερε, οἶνος τὰ μένσουρέ τε. τῶν δὲ δανείων πέφυκεν ἡ διαίρεσις αὕτη· τὰ μὲν γὰρ ἐνυπόθηκα, τὰ δ' ἄνευ ὑποθήκης, καὶ τῶν ἀνυποθήκων δὲ δανείων λεγομένων τὰ μὲν ἔχει προνόμια, τὰ δ' ἄνευ προνομίων· καὶ τὰ μὲν ἀνυπόθηκα προσωπικά μοι λέγε, τὰ δ' ὑποθήκην ἔχοντα πραγματικὰ κλητέον. καὶ τὰ μὲν προγενέστερα δημόσια τῷ χρόνῳ προτιμητέα πέφυκε χρεῶν ἐνυποθήκων καὶ τῆς προικὸς αὐτῆς, φημὶ τῆς μεταγενεστέρας· δανειστὴς δ' ἐνυπόθηκος ἔχων προγενεσίαν, κἂν γενικήν, κἂν ἰδικήν, τοῦ μεταγενεστέρου προτιμητέος πέφυκε πάντοτε δημοσίου. ἡ προὶξ δὲ καὶ τῶν δανειστῶν τῶν ὑποθηκαρίων προτιμητέα πέφυκε, καὶ μεταγενεστέρα· εἰσὶ δ' ἕτερα δάνεια τῶν μεταγενεστέρων τὴν δύναμιν νικήσαντα τῆς προικὸς παραδόξως, ὁποῖον τὸ διδόμενον ἀκοντισταῖς τοῖς πρώτοις καὶ τὸ προφάσει δανεισθὲν στρατείας κινουμένης. ἐξ λέγε κονδικτίκιος εἴσπραξίς τις ἐκ νόμου. δανειστὴς δ' ἐνυπόθηκος τῶν μεταγενεστέρων νικᾷ τὸν ἀνυπόθηκον καὶ προγενέστερόν πως. Μάρτυς ἐστὶν ἀπόβλητος πᾶς ὁ διεφθαρμένος, ὁ μῖμος, ὁ θυμελικὸς καὶ ὁ θηριομάχος, καὶ ὅσοι κατεκρίθησαν ἐν τοῖς δικαστηρίοις ὡς συκοφάνται ἢ μοιχοὶ ἢ κλοπὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰργασμένοι. οὐκ ἔστι μάρτυς ἄνηβος οὐδὲ τῶν γυναικῶν τις· εἰ δ' ἐστὶ τὸ γενόμενον μὴ δυνάμενον θέαν ἀνδρικὴν καταδέξασθαι, γυναῖκες μαρτυροῦσι. καὶ δοῦλος ἔτι μαρτυρεῖ ἐν σπάνει τῶν μαρτύρων εἰς ἅπαν ἄλλο πρόσωπον ἄνευ αὐτοῦ δεσπότου. οἱ δ' ἀσθενεῖς καὶ γέροντες σύν γε τοῖς στρατιώταις καὶ οἱ πρωτοσπαθάριοι μετὰ τῶν ἱερέων οὐ μαρτυροῦσιν ἄκοντες, ἀλλ' ἑκουσίως μόνον· ἀρχιερεὺς δ' οὐ μαρτυρεῖ, οὔτ' ἄκων οὔθ' ἑκών πως. τοὺς δ' ἄλλους ἀναγκάσειας μαρτυρεῖν ἀκουσίως, καὶ μᾶλλον εἰ τυγχάνων τις τῶν καταδεεστέρων πρὸς ἄνδρα δίκην ἔλαχε τῶν ἐπὶ δυναστείαις κἀντεῦθεν ὑποκλάζουσι τῷ φόβῳ τοῦ δυνάστου τοῦ πένητος οἱ μάρτυρες· τότε γὰρ καὶ πρὸς βίαν εἰς μαρτυρίαν ἕλκονται καὶ τἀληθῆ τιθέναι. ἀρκοῦσιν εἰς καταβολὴν δύο φωναὶ μαρτύρων, εἰ λίτρα μόνη πέφυκεν ἡ καταβαλλομένη· εἰ δέ τι πλέον πέφυκε, τρεῖς μάρτυρας δεκτέον· ἐπὶ δὲ καταθέσεως πέντε μάρτυρας δέχου, τὰς δέ γ' ἐκ τοῦ παρήκοντος ἀθέτει μαρτυρίας. εἰ λάβοι τις ἐν γράμμασιν ἐκ δανειστοῦ τι χρέος, ἀποδιδοὺς ἀπόδειξιν ἔγγραφον λαμβανέτω τριῶν μαρτύρων ἔχουσαν ὑπογραφὰς βεβαίας· εἰ δὲ μὴ τοῦτο δράσειεν, αὖθις ἔνοχος ἔσται, εἰ μή γε πέντε μάρτυρες εἴποιεν παραχθέντες, ὡς γέγονεν ἀπόδειξις τοῦ κεχρεωστημένου, ἢ τούτων κατενώπιον ὁ δανειστὴς ἐξείποι ἀπολαβεῖν τὸ ἴδιον χρέος ἐκ τοῦ χρεώστου. εἰ δανειστὴς ἀπόδειξιν ποιήσεται τοῦ χρέους καὶ μετὰ ταῦτα ῥεύσουσι τριάκοντα ἡμέραι, ἀντεγκαλεῖν οὐ δύναται περὶ ἀναργυρίας καὶ λέγειν ὡς «ἀπόδειξιν ἔγγραφον ἐξεθέμην, πρὸ δὲ τῆς ἀποδείξεως οὐκ ἔλαβον χρυσίον»· εἰ δὲ ἐντὸς τριάκοντα ἡμερῶν ἐναγάγῃ, τότε καταναγκάζεται ὁ χρεώστης δεικνύειν, ὡς ἀληθῶς διέλυσε τῷ δανειστῇ τὸ χρέος. καὶ προικός τις ἀπόδειξιν ἐκθέμενος νομίμην, τὸ πᾶν ἀναταξάμενος κατ' εἶδος τῶν πραγμάτων, οὗτος οὐκ ἀντιτίθησιν ἀναργυρίαν ὅλως. εἰ δέ τις ὡμολόγησε δανείσασθαι ἐγγράφως, δυσὶ χρόνοις ὁρίζεται κινεῖν ἀναργυρίαν, καὶ τότε τις τὸν δανειστὴν δικάζων ἀναγκάζει δεικνύειν τὴν καταβολὴν ἐννόμως τοῦ δανείου. εἰ δέ τις ὡμολόγησεν ἐν γράμμασί τι χρέος, ἀλλ' οὐκ ἐξ ἀριθμήσεως, ἀλλ' ἐξ ἄλλης αἰτίας, τυχὸν ὡς ἀπὸ πράσεως, καὶ φανερώσας τοῦτο ὕστερον ἀπαρνήσαιτο μὴ χρεωστῶν ἐκθεῖναι πρὸς τὸν κατήγορον αὐτὸν ὁμολογίαν χρέους, αὐτὸς βαρεῖται μάλιστα σαφῶς ἀποδεικνύειν, ὅτι καθωμολόγησε μὴ χρεωστῶν τι χρέος καὶ κατὰ βίαν ἔγραψεν ἢ τυχὸν κατὰ δόλον. υἱοὶ δὲ ὑπεξούσιοι καὶ πατὴρ μαρτυροῦσιν εἰς τὴν αὐτὴν ὑπόθεσιν, κἀν τῇ διατυπώσει· ἡ δέ γε διατύπωσις πέντε χερσὶ μαρτύρων ὑπογραφέσθω κατ' αὐτὸ καλῶς καὶ σφραγιζέσθω. ὁ δὲ τὸ δάνειον δεικνύς, χρεωστῶν ἀρνουμένων, χρόνον ἀρκοῦντα εἴληφε τριακονταετίαν· εἰ δ' ἴσως πρὸς παράστασιν ἠτόνησε μαρτύρων, ὅρκον ἐπάγειν δύναται οὗτος τῷ ὀφειλέτῃ, κἂν οὗτος ἐπομόσηται, ὁ δανειστὴς ἡττᾶται· εἰ δὲ ὁ ἐναγόμενος ὅρκον ἀντεπαγάγοι, ὁ δανειστὴς δ' ὀμόσειε, λαμβάνει τὸ χρυσίον. ὡραῖον δὲ σημείωσαι καὶ ζητούμενον πρᾶγμα, ὡς ἔξεστι μεταπηδᾶν ἐκ δικαιολογίας ταύτης πρὸς ἄλλην, δέσποτα, μέμψεώς τινος δίχα. ἡ κομβεντίων, δέσποτα, εἰς τρία διαιρεῖται· ἢ γὰρ πουβλίκα πέφυκεν, εἰ τύχοι, ἢ πριβάτα, τὴν δὲ πριβάταν δίελε εἰς δύο πάλιν μέρη, εἰς λεγιτίμαν, κράτιστε, καὶ ἰουρισγεντίαν. μὴ τοίνυν τίθει τέσσαρα, μόνα δὲ τρία λέγε, ἡ λεγιτίμα γὰρ αὐτὴ καὶ ἰουρισγεντία πᾶσαν κατεδαπάνησαν τὴν γενικὴν πριβάταν. οὐκοῦν τὴν κομβεντίονα εἰς τρία ταῦτα τέμνε, πουβλίκαν λεγιτίμαν τε καὶ ἰουρισγεντίαν· καὶ πούβλικον μὲν πέφυκεν εἰρήνη δημοσία, λεγίτιμον τὸ ἰδικῷ νόμῳ κεκυρωμένον, τὸ δὲ μήτε λεγίτιμον μήτε τὴν τῶν πουβλίκων ἰουρισγέντιόν ἐστι κομβέντιον ἐν γένει. τῶν δὲ τοιούτων, δέσποτα, πάλιν κομβεντιόνων αἱ μὲν γεννῶσιν ἀγωγήν, αἱ δὲ παραγραφήν πως· ἀλλ' ὅσαι μὲν ὁμώνυμον ἐναγωγὴν γεννῶσιν, φημὶ τοῖς συναλλάγμασιν ἀφ' ὧν ἀπογεννῶνται, εἰσὶ μὲν κομβεντίονες γενικῶς κεκλημέναι,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰς ἰδικὴν δὲ πίπτουσι συναλλάγματος κλῆσιν, εἰς πρᾶσιν, εἰς τὴν μίσθωσιν, ἢ καὶ τὴν κοινωνίαν. εἰ δ' ἴσως ἀμετάπτωτος εἰς ἰδικόν τι μείνοι, καὶ μᾶλλον εἰ προβέβηκεν ἢ δόσις ἐπὶ δόσει ἢ ἐπὶ δόσει ποίησις ἢ ἐν ποιήσει δόσις ἢ δόσις διὰ ποίησιν (τετράτροπον γὰρ τοῦτο), τίκτεται πάλιν ἀγωγὴ ἡ πραεσκρίπτις βέρβις· μὴ γὰρ εὑροῦσα εὔλογον ἡ κομβεντίων αὕτη ἐναγωγὴν ὁμώνυμον τῷ συναλλάγματί πως, τῷ γενικῷ ὀνόματι συνάλλαγμα καλεῖται καὶ δίδωσιν ἐναγωγὴν τὴν πραεσκρίπτις βέρβις. ἡ ἐν δημοστρατίωνι τὸ πρᾶγμα διηγεῖται. ἡ δ' ἀπὸ ἰντετίωνος ἰνκέρτα καλουμένη εἰς τὴν κονδεμνατίονα τὸ τέλος καταλήγει. τῶν δέ γε πάκτων πέφυκε τὰ μὲν ἐξ ἰντερβάλλο, ὅσα τοῖς συναλλάγμασι σύγχρονά πως τυγχάνει, τὰ δέ φασιν οἱ παλαιοὶ ἐξ κοντινέκτι νόμοι, ἤτοι μεταγενέστερα τῶν πρὶν συναλλαγμάτων· ταῦτα κατονομάζουσιν ἐκεῖνοι νοῦδα πάκτα, τουτέστι σύμφωνα ψιλά, ἀγωγὴν μὴ ποιοῦντα. οὐ γάρ τις μεταχρόνιος σκληρὸν ποιήσας πάκτον ἐντεῦθεν ἕξει ἀγωγὴν τὴν περὶ τοῦ συμφώνου· εἰ δέ τις περιστατικῶς ἀντεναγάγοι τούτῳ, ἐντεῦθεν παραγράφεται τὸν ἀντεναγαγόντα. σάρκα μὲν κατονόμαζε ναοὺς τοὺς δημοσίους, σάκτα δὲ προσαγόρευε τῶν πόλεων τὰ τείχη, τοὺς τάφους ῥελεγίοσσα τοὺς σεβασμίους κάλει, καὶ πούβλικα τὰ πάνδημα χρήσεως τῆς παγκοίνου, τὴν θάλασσαν, τοὺς ποταμούς, ὅρμους καὶ τοὺς λιμένας, τὰ δέ γε πουπιλάρια δημοτικὰ τυγχάνει, τὰ θέατρα καὶ στάδια καὶ βουλευτήριά τε. κινῶν δὲ ἅπας δανειστὴς τὴν ὑποθηκαρίαν κατὰ ἀνδρὸς ἐξωτικοῦ τὸ πρᾶγμα νεμομένου παραγραφῇ μὲν εἴργεται τῶν ὡρισμένων χρόνων, προσωπικὴν δ' ἐναγωγὴν ἔχει πρὸς τὸν χρεώστην. ὁ ἄνηβος εἰς ἔγκλημα εἴργεται μαρτυρίας. Κατὰ πολλοὺς δὲ λέγεται ἀδιάθετος τρόπους· ὁ γὰρ μὴ διαθέμενος καὶ ὁ μὴ κατὰ νόμους καὶ ὁ τὴν διατύπωσιν ἔχων σπαραττομένην καὶ ὅταν ἐστὶν ἄκυρος καὶ χωρὶς κληρονόμου. καὶ ὁ μὴ διαθέμενος ποιεῖ κωδίκελλόν πως, καὶ πρὸ διατυπώσεως κωδίκελλόν τις γράφει. ἀπόκληρος οὐ γράφεται, φησίν, ἐν κωδικέλλῳ, οὐδὲ κληρονομία τις φιδικομισσαρία, οὐδὲ κληρονομίαν τις ἐν κωδικέλλῳ γράφει, οὔθ' αἵρεσις προτίθεται κἂν ὅλως κληρονόμοις. τῶν δὲ ἐπερωτήσεων ταύτην τὴν γνῶσιν ἔχε· ἡ μέν ἐστι δικαστική, ὥσπερ ἡ περὶ δόλου, ἡ δέ ἐστι τοῦ πραίτωρος, ἡ δὲ μικτὴ τὴν φύσιν, ἡ δὲ ἐκ συναινέσεως τῶν μερῶν ἑκατέρων. αὐθεντικὴ ὀρφανικὴ διατύπωσις μία, κληρονομίαι δὲ διτταὶ τῆς μιᾶς διαθήκης. ἀκυρουμένης, δέσποτα, δευτέρας διαθήκης, καὶ τῆς προτέρας δι' αὐτὸ εἰκότως ῥηγνυμένης ἀδιατύπωτός ἐστιν ὁ ποιήσας τὰς δύο· ὁ κληρονόμος γὰρ γραφεὶς δευτέρᾳ διαθήκῃ ταύτην μὴ ὑπερχόμενος ἀκυροῖ παραυτίκα, τοῦτό ἐστιν ἀκύρωσις εἰκότως διαθήκης. πολλοὶ καὶ ἄλλοι τρόποι δὲ τῆς γε μὴ κυρουμένης· πολλὰ γὰρ πάθη πέφυκε τῆς διαθήκης, ἄναξ, ἀκύρωσις, ἀτέλεια, ῥῆξις, πρὸς δὲ καὶ μέμψις. ἡ μέμψις δὲ τῶν φυσικῶν μόνων τυγχάνει παίδων, ὁπόταν ἀμνημόνευτοι γένωνται τοῖς πατρᾶσι· καὶ ἀδελφοὶ δὲ μέμφονται συγγόνων διαθήκαις, εἰ κληρονόμους γράψουσι πάντῃ κατεγνωσμένους. Τὸ «τὶς» μέρος πέφυκε τοῦ παντὸς λόγου· κοινὸν δέ γ' ἐστὶ καὶ γυναικῶν κἀρρένων· τὸ «τὶς» γὰρ εἰπὼν τὰ δύο γένη λέγει. ἄλλη μέν ἐστι τῆς ἀγωγῆς ἡ φύσις, ἄλλη δέ ἐστι τῆς παραγραφῆς πάλιν, κἂν ἐγκαλοῦντος ὃς παραγραφὴν ἔχει ἐν ταῖς δίκαις εἴληφε τάξιν καὶ τύπον. φύσει χρεωστεῖ πᾶς ἄνηβος τὸ χρέος, καὶ πᾶς δανειστὴς τῶν ἀνήβων τυγχάνων φύσει δανειστής ἐστιν, οὐχὶ τῷ νόμῳ. τὸ τῆς κλοπιμαίας δὲ δούλης παιδίον οὐκ ἔστιν αὐτῆς ἐν κλοπῇ τεχθὲν μέρος ποινὴ γὰρ οὐ πέφυκεν αὐτοῦ τοῦ τόκου. ὁ συμπλοκὴν δ', ἔχων δὲ μὴ τομὴν λόγος ἐκ τοῦ προενέγκαντος εἰς γνῶσιν πέσοι· εἰ γάρ τις οἴκων χωρίων τε δεσπότης γράψειεν οὕτως, «ληγατεύω τῷ φίλῳ οἴκους ἀγρούς» (ἄδεσμον εἰπὼν τὴν φράσιν), συμπλεκτικῶς ἔγραψεν· εἰ δ' οὕτως φράσει, «οἴκους Πέτρῳ δίδωμι ἀγροὺς (ἀδέτως), Παύλῳ δ' ὁ Πέτρος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκλογὴν ποιησάτω», διεῖλεν, οὐκ ἔπλεξε τῷ Παύλου λόγῳ. «πρόδηλόν» ἐστι πλήθεσιν ἐναντίον· δεῖ γὰρ παρόντων τῶν ἁπάντων μαρτύρων ἢ λέξιν εἰπεῖν ἤ τι πρᾶξαι συντόμως. ἡ τῆς ἀγωγῆς κλῆσις εἴσπραξιν φέρει· ὁ γὰρ πιπράσκων τὴν ἀγωγὴν ἣν ἔχει τῇ τῆς ἀγωγῆς ἐν πρατηρίῳ φράσει δοκεῖ πιπράσκειν τὴν ἀπαίτησιν τάχα. τὸ τῆς δίκης ὄνομα κυρίως γένος δηλοῖ τε πᾶσαν τὴν ἀγωγὴν κυρίως. ὅπλον τις εἰπὼν καὶ λίθους προσλαμβάνει. ἐλευθερία τῇ δόσει ταὐτὸν φύσει· εἰ γάρ τις εἴποι μαρτύρων παρουσίᾳ, «ἐλευθερός μοι ὁ χρεώστης τοῦ χρέους», εἴρηκεν ὡς εἴληφε σαφῶς τὸ χρέος. ἅπαν μέγα ῥάθυμον τυγχάνει δόλος. βάλανον εἰπὼν πάντα καρπόν μοι λέγεις καὶ πάντα δένδρα τῆς δρυὸς μνησθεὶς μόνης. υἱόν τις εἰπὼν καὶ τὸν ἔγγονον λέγει καὶ φύντα φάσκων τόν τε πάππον εἰσάγει. ἄπεστιν αἰχμάλωτος οὐδαμῶς χρόνῳ, λῃστῶν δὲ χερσὶν ἐγκρατὴς δεδειγμένος· κατ' αἰχμαλώτων οὐδεὶς γὰρ χρόνος τρέχει, τοῖς δ' αὖ γε λῃστευθεῖσιν εἰκοστὸς ῥέει. τῶν χρημάτων ἡ κλῆσις ὡς γένους τύπος, καὶ τῶν κινητῶν τῶν τε μὴ κινουμένων, τῶν σωματικῶν τῶν τε μὴν ἀσωμάτων, ἔχει δίκαια τῷ συνεκτικῷ λόγῳ. φίλους λέγομεν οὐχὶ τοὺς ἐγνωσμένους ἐκ τοῦ τυχόντος, ἀλλὰ τοὺς κεκτημένους σαφεῖς προφάσεις εὐπροσώπου φιλίας. τὰ δεσμὰ κοινόν ἐστι κοινῶν, ἰδίων, ἡ δ' αὖ φυλακὴ δημοσία καὶ μόνη. ἀποκαθιστᾶν ἐστι κυριοτρόπως ἀποκατάστασίς τις ἀκριβεστάτη τύχης ἁπάσης αἰτίας τε σωμάτων. Τοῦ νόμου μὲν ἡ ἄγνοια συγγνώμην οὐ λαμβάνει, τοῦ φάκτου συγγινώσκεται τοῖς νόμοις προσηκόντως. παράνομος ἀντιγραφὴ ἐρρώσθω βασιλέως ἐπ' ἐξουσίας νέμουσα ἄφεσιν τιμωρίας. τῆς ἀκριβείας, δέσποτα, τὸ δίκαιον προτίμα. ἔγκλημα περατούσθω σοι ἐντὸς τῆς διετίας. ὁ προσφυγὼν τοῖς δυνατοῖς εἰς δίκης προστασίαν πάσης ἐκπίπτει, δέσποτα, τῆς δίκης κατὰ νόμον. ὁ καταδικαζόμενος ἐντὸς τοῦ τετραμήνου εἴσπραξιν οὐχ ὑφίσταται τῶν ἀπὸ καταδίκης. εἴ τις ψευδέσι μάρτυσι κρατήσειε τῆς δίκης, καὶ κόλασιν ὑφίσταται καὶ λύσιν τῶν κριθέντων. τὸ κατὰ φόβον γεγονὸς οὐκ ἔστιν ἐρρωμένον. ἅπας ὁ βιασάμενος εὐθύνεται καὶ δόλῳ. ἡ περὶ δόλου δίδοται αἰτίας ἐξ εὐλόγου ἄλλης ἀπούσης ἀγωγῆς, ἐσχάτη γὰρ τυγχάνει. ὁ ἥττων ἀβοήθητος ἐπὶ τῶν ἐγκλημάτων. σύμφωνον κατὰ δωρεὰν δήλων ἐστὶ πραγμάτων, τῶν ἀμφιβόλων δέ ἐστιν ἡ διάλυσις λύσις. ἐπὶ τοῖς συναρέσασιν ἡ διάλυσις μόνοις. ἐπὶ μὲν τῶν δι' αἵματος ἐχόντων τιμωρίαν ἔξεστι διαλύεσθαι, ἔξωθεν τῆς μοιχείας. ἐπὶ τῶν ἀναιμάκτων δὲ χωρὶς πλαστογραφίας οὐκ ἔξεστι διάλυσιν τοὺς ἀντιδίκους πράττειν. ὁμολογίας δ' ἄνευθεν ἢ δόσεως πραγμάτων διάλυσις οὐκ εἴωθε προβαίνειν κατὰ νόμους. καὶ πρόσκαιρος καὶ πάντοτε προβαίνει κοινωνία. προβᾶσα δὲ διαίρεσις, δέσποτα, κατὰ δόλον τοῖς νόμοις ἀνυπόστατος δικαστηρίου δίχα. κἂν χεῖρον τὸ παρατεθὲν γένηται διὰ χρόνον, κινείτω τις τὴν ἀγωγὴν τὴν περὶ παραθήκης. ἀφανὴς ἐπερώτησις ἀπαίτησιν οὐκ ἔχει. εἰ τὸ τικτόμενόν ἐστιν ἐξ ἵππου καὶ φορβάδος, ὁ τῆς φορβάδος κύριος τοῦ τόκου δεσποζέτω. εἰ ἀγοράσω ἔδαφος καλῇ τὰ πρῶτα πίστει, εἶτα μαθὼν ἀλλότριον οἰκοδομήσω τοῦτο, τῶν οἰκοδομηθέντων μὲν δαπανὰς οὐ λαμβάνω, τὰ δ' ἐκτισμένα δύναμαι λαμβάνειν ἀζημίως. ἐκδικουμένου τοῦ ἀγροῦ ὁ νομεὺς οὐ λαμβάνει τὸν σπόρον ὃν κατέσπειρεν εἰς τὸν ἀγρὸν ἐκεῖνον. ὁ χρῆσιν ἔχων τῶν καρπῶν δίδωσι καὶ τὰ τέλη. ὁ ἔχων χρῆσιν νομικῶς τυχόν τινος οἰκίας οἰκείοις ἀναλώμασι ταύτην ἐπισκευάσθω, ἤτοι τὰ κατακέραμα ταύτης ἐπανορθούσθω· εἰ δέ τι κατανάλωσε τούτου τι περαιτέρω, εἰκότως ἀπολήψεται τοῦτο πρὸς τοῦ δεσπότου. ἀπείργεται δανείζεσθαί τις τῶν ὑπεξουσίων, μᾶλλον ἀξιωματικός· μόνος δ' ὁ κεκτημένος πεκούλιον δανείζεται καὶ τοῦτο κατὰ νόμους. ἐπίτροπος ὀρφανικὸν οὐκ ἐξωνεῖται πρᾶγμα. διὰ μικρόν τι αἴτιον πρᾶσιν οὐκ ἀνατρέψεις. ὁ σῖτον ὠνησάμενος κανόνος δημοσίου κεφαλικὴν ὑφίσταται, δέσποτα, τιμωρίαν. ὁ πράτης μὴ παραδιδοὺς ἀγοραστῇ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ πρᾶγμα τὸ διαφέρον δίδωσιν εἰκότως κατὰ νόμους· ἐν τῷ δικαστηρίῳ δὲ τῆς νομῆς, δέσποτά μου, διδοὺς ὁ πράτης τὸ διπλοῦν οὐκ ἀπαιτεῖται πλέον προφάσει τῶν ἐξ ἔθους πως τῇ πράσει γεγραμμένων. οἱ μετὰ τὸ συνάλλαγμα καρποὶ βεβλαστηκότες τῷ τὸν ἀγρὸν προσήκουσι πάντως ἠγορακότι. τοῦ πράγματος δι' ἄδικον ἀποσπασθέντος γνώμην κατὰ τοῦ πράτου ἀγωγὴν ἀγοραστὴς οὐκ ἔχει. εἰ δέ τις τὸ ἀλλότριον ὡς εἰδὼς ἀγοράσει, οὐδέποτε δι' εἴδησιν τοῦ πράγματος δεσπόσει· εἰ δέ τις ἐξωνήσεται ἀλλότριόν τι πρᾶγμα, οὐκ εἰδὼς ὡς ἀλλότριον ἐστὶ τὸ πεπραμένον, αὐτὸς μὲν διὰ χρήσεως τοῦ πράγματος δεσπόσει, ὁ πεπρακὼς δ' ἐνέχεται δικαίως τῷ δεσπότῃ. εἰ δέ τις πρᾶγμα λήψεται ἐπί τινι αἰτίᾳ, πληρούτω τὴν ὑπόσχεσιν ἢ τὸ πρᾶγμα διδότω. ὁ τῷ ἐγκλήματι ληφθεὶς τῷ περὶ ἀδικίας οὐ δύναταί τι βεβαιοῦν οἰκείᾳ μαρτυρίᾳ. ὁ ἀγοράσας δείκνυσι τὸν δοῦλον πεφευγότα, εἰ λέγει πρὸ τῆς πράσεως, οὕτω δοκοῦν τοῖς νόμοις. ἐπικρατέστερός ἐστιν ὁ κῆνσος τῶν μαρτύρων. οὐκ ἔστιν ἀξιόπιστος τοῦ χρέους μαρτυρία, εἴπερ τις ἀπὸ τῶν αὐτοῦ δεικνύει συμβολαίων. τελευτησάντων δέ ποτε συμπάντων τῶν μαρτύρων αὐτοῦ τε ταβελλίωνος σύγκρισις προβαινέτω. ὅρκος ἐπιφερόμενος ἀμφισβήτησιν τέμνει. ὁ μηδενὸς ἐπάγοντος ὀμνὺς οὐκ ὠφελεῖται. ὀμόσας δέ τις ἴδιον τὸ πρᾶγμα πεφυκέναι καὶ τοὺς καρποὺς εἰσπράξεται καὶ γονὴν τῶν θρεμμάτων. εἴ τις ἐξ ἀγωγῆς τινος διπλασιαζομένης, τυχὸν ὡς ἐξ ἀρνήσεως, τὸν ὅρκον ἀποδώσει, οὐ τοῦ διπλοῦ τὴν εἴσπραξιν, ἀλλ' ἁπλοῦ μόνον ἔχει· μετὰ τὸν ὅρκον δὲ κινῶν τὴν πρωτότυπον δίκην ἀπαιτεῖ τὸ διπλάσιον τὸ χρέος ἀποδείξας. ὁ μήτ' ὀμνύναι βουληθεὶς μήτε μὴν ἀντεπάγων αὐτόθεν κατακρίνεται ὡς ἐξ ὁμολογίας. ὅρκον δέ τις ἐπενεγκών, εἰ μεταμεληθείη ὡς εὐπορήσας ἀσφαλῶν ἄλλων δικαιωμάτων, εἴπερ ἐντεῦθεν ἡττηθῇ, δεύτερον ὅρκον πάλιν οὐκ ἐπενέγκοι, δέσποτα, καὶ τοῦτο προσηκόντως· μέχρι γὰρ ἀποφάσεως τὸν ὅρκον παραιτείσθω. οὐκ εὐχερὴς ἡ ζήτησις ἐστὶν ἐνδίκων ὅρκων. εἰ τόκον τις ὑπέρμετρον ἴσως ὁμολογήσει, παύεται τὸ παράνομον καὶ διδοῖ τὸ προσῆκον. τόκος μὴ χρεωστούμενος εἰ πρὸ τοῦ κεφαλαίου καταβληθῇ τῷ δανειστῇ, τοῦ κεφαλαίου μέρος· εἰ δέ γε καταβάλλει τις ἐπὶ τῷ κεφαλαίῳ, πάντως ἀναλαμβάνεται, δόξαν οὕτω τῷ νόμῳ. οἱ κατὰ μέρος τόκοι δὲ διδόμενοι τοῦ χρέους καλῶς οὐχ ὑπερβαίνουσι τοῦ διπλοῦ περαιτέρω. ὁ μόρτις καῦσα δωρεὰν πρός τινα πεπραγμένος ῥωσθεὶς ἀναλαμβάνεται τὸ δοθὲν παραυτίκα μετὰ καρπῶν καὶ τοκετῶν καὶ τῶν ἐπηυξημένων. ὡς κληρονόμος δέ τι δοὺς ὁ μὴ ὢν κληρονόμος ἀναλαμβάνει τὸ δοθὲν δικαίως, στεφηφόρε. ἡ προὶξ οὐχὶ δημεύεται συζύγου δημευθέντος. ἐπίτροπος καὶ φροντιστὴς ἄμφω καταβαλόντες οὐδὲν ἀναλαμβάνουσι τῶν καταβεβλημένων. ἂν ὁ χρεώστης ἄτοκον ἴσως ἔχῃ τὸ χρέος, παρακρατεῖν ὁ δανειστὴς ἐκ τῶν καρπῶν ἰσχύει, καὶ τοῦτο πράττει προχωρῶν ἄχρι νομίμου τόκου. εἰ δ' ἴσως τὸ ἐνέχυρον πωλοῦντος δημοσίου καθεύδει πως ὁ δανειστής, ἀπόλλυσι τὸ πρᾶγμα. ὁ δανειστὴς ἐνέχυρον μέλλων ἴσως πιπράσκειν δῆλον τὸ βουλευόμενον ποιείτω τῷ χρεώστῃ. ὁ πενθερὸς καὶ πενθερὰ τῷ μνηστεύσαντι κόρην διδόντες οὐ λαμβάνουσι τοῦ γάμου λυομένου. τὸν γάμον ἡ διάθεσις ποιεῖ ἡ ἀμοιβαία, προσθήκης γὰρ οὐ δέεται προικῴων συμβολαίων, εἰ μὴ πρωτοσπαθάριος ἢ πλέον τις τυγχάνει. εἰ γάμον τις ἀθέμιτον ποιήσει παρὰ νόμον, ἔκπτωσιν κατακρίνεται τῶν οἰκείων πραγμάτων, εἰ μή που γέγονε πατὴρ ἐκ γάμων πρὶν νομίμων. αὐτεξουσία γαμετὴ τοῦ γάμου λυομένου εὐθὺς ἀποκαθίσταται, οὕτω δοκοῦν τοῖς νόμοις· εἰ δ' ἐστὶν ὑπεξούσιος, ταύτῃ δ' ἡ προὶξ πατρόθεν, αὐτῆς τε καὶ τοῦ φύσαντος κοινὴ καθέστηκέ πως. δίδοται προὶξ τῇ γυναικὶ καὶ συνεστῶτος γάμου ἐπὶ τῷ δοῦναι δανεισταῖς ἢ ἀγροὺς ἀγοράσαι ἢ ὥστε προνοήσασθαι παίδων ἑτέρου γάμου. διαίρεσις δὲ πέφυκεν αὕτη δαπανημάτων· τὰ μὲν ὡς ἀναγκαῖα γάρ, τὰ δὲ καὶ διὰ κέρδος,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὰ δὲ πρὸς τέρψιν πέφυκεν ἐκδεδαπανημένα· τῶν ἀναγκαίων πέφυκεν ὁ μόλος τῆς θαλάσσης, ποιῆσαί τε νεόφυτα ἄμπελόν τε καὶ δένδρα, ἐπί τε χρησιμότητι ἀγροῦ σπερματοθήκας· διὰ κέρδος τὰ πράττοντα βελτίονα τὴν προῖκα, ὁποῖον τὸ νεόφυτον ἢ τὸ ἀρτοκοπεῖον, ἃ προῖκα οὐ μειοῦσι μέν, ἀλλ' ὅμως ἀπαιτοῦνται· περιττὰ δαπανήματα τὰ τέρψιν ἐμποιοῦντα. μηδεὶς κατὰ τῆς γυναικὸς κλοπῆς κινείτω δίκην, ἀφαίρεσιν κινείτω δὲ τῶν κλαπέντων πραγμάτων. προῖκα λαβὼν ὁ σύζυγος διατετιμημένην οὐχὶ τὰ πράγματα δοκεῖ λαμβάνειν τὰ προικῷα, μόνην δὲ διατίμησιν ὧν ἔλαβε πραγμάτων, ὧν τὴν τιμὴν εἰσπράττεται τοῦ γάμου λυομένου. ἡ μήτηρ ὑπὲρ θυγατρός, ὡς ἔδοξε τοῖς νόμοις, οὔ φασιν ἀναγκάζεται προῖκα ἐπιδιδόναι. γυνὴ τῶν γάμων δύναται ἔτι συνισταμένων, βλέπουσά πως τὸν σύζυγον ἄπορον πεφυκότα, ὡς ἐνυπόθηκον κρατεῖν τὴν ἐκείνου οὐσίαν, οὐ μόνον ὑπὲρ τῆς προικός, ἀλλὰ καὶ ἐξωπροίκων, ὑπὲρ προγαμιαίων τε δικαίως δωρημάτων. οὐχὶ συναίνεσις πατρός, ἀλλὰ νόμιμος πρᾶξις τῆς ὑπεξουσιότητος ἐλευθεροῖ τὸν παῖδα. εἰ δέ τις ἔχων φυσικοὺς παῖδάς τε καὶ νομίμους, καὶ τῆς τῶν φυσικῶν υἱῶν ἔτι ζώσης μητέρος, τοῖς φυσικοῖς αὐτῆς παισί, πρὸς δὲ καὶ τῇ τεκούσῃ, οὐ δύναται καταλιπεῖν πλέον μιᾶς οὐγγίας· παίδων δ' οὐκ ὄντων φυσικῶν ἡ συνοικοῦσα μόνον ἐχέτω ἡμιούγγιον τῶν ἐκείνου πραγμάτων· εἰ δ' οὔτε παῖδας ἔχοι τις ἐννόμους ἢ γονέας, διδότω πᾶν εἰ βούλεται τὸ μέτρον τῆς οὐσίας τοῖς φυσικοῖς αὐτοῦ παισίν, οὐδεὶς γὰρ ὁ κωλύων· εἰ δ' ἀποθνήσκων ἔχοι τις τινὰς τῶν ἀνιόντων, διδότω μὲν τὴν νόμιμον οὗτος αὐτοῖς μερίδα, τὸ δὲ λοιπὸν τοῖς φυσικοῖς παισὶν ἀποκληρούτω. εὐνοῦχος σπάδων δύναται υἱοθετεῖν καὶ μόνος, τοῦτο γὰρ ἀπηγόρευται καστράτοις καὶ θλιβίαις· ὁ γάρ τοι σπάδων δύναται παιδοποιῆσαι τάχα. εἴ τις ποιήσας πρότερον ἐννόμως διαθήκην δευτέραν ἄλλην γράψειεν, ἡ πρώτη μὴ ῥηγνύσθω εἰ μή γε πρῶτον κυρωθῇ νομίμως ἡ δευτέρα. οὐ διατίθεται ἐτῶν ἥττων δεκατεσσάρων. ὁ μὴ διδοὺς τοῖς μάρτυσι πάροδον μαρτυρίας ὑφίσταται τὴν ἔκπτωσιν τοῦ κλήρου παραυτίκα. τὰ παραχαραττόμενα ἢ ἀπαληλειμμένα, εἰ μὲν κατ' εἴδησίν εἰσι τοῦ διατιθεμένου, ἄκυρα πάντως πέφυκεν, εἰ δ' οὖν, ἐρρώσθω πάντα. αἱρετική τις ἔνστασις, εἴ τις οὕτω συγγράφοι· «ἐὰν ἐντὸς πεντήκοντα ἐτῶν ἀποβιώσω, ὁ Νικηφόρος ἔστω μοι τοῦ βίου κληρονόμος.» τί ἐστι φιδικόμισσον; ἐάν τις οὕτως εἴποι· «ἀποκατάστησον, υἱέ, τῷ δεῖνι τόδε πρᾶγμα.» τὸ δέ γε φιδικόμισσον τὸ καθ' ὁμάδα τοῦτο· «πᾶσαν ἀποκατάστησον τὴν ἐμὴν τούτῳ κτῆσιν.» ἐν διαθήκῃ ἄχρηστον οὐδεὶς κληρονομίαν ἐν κωδικέλλοις βεβαιοῖ, δόξαν οὕτω τῷ νόμῳ. πρὸ δὲ διατυπώσεως κωδίκελλοι γραφέντες μετὰ τὴν διατύπωσιν εἰ μὴ βεβαιωθῶσιν, οὐδὲν ὅλως ἰσχύουσιν ὥσπερ ἠθετημένοι. ἐπίτροπος ἐπιτροπῆς παυθείσης διδοῖ τόκους, μέχρις ἂν ἐκλογιστευθῇ τὰ τῆς ἐπιτροπίας. ἐπίτροπος ὠνούμενος προσώπῳ παρενθέτῳ οὐκ ἔχει τὴν ἐξώνησιν τοῖς νόμοις ἐρρωμένην. εἰ καὶ μετὰ προκάταρξιν τῆς κατὰ διαθήκης μέμψεως ἡ διάλυσις προβαίη κατὰ νόμους, ἔχε τὴν διατύπωσιν τελείως ἐρρωμένην. ὁ παρὰ γυναικός τινος υἱοθεσίαν ἔχων καθ' ὧν αὐτὴ διέθετο κινεῖν οὐκ ἐξισχύει. αἰτεῖν μὲν διακατοχὴν ἐπίτροπος ἰσχύει, ὑποῦσαν παραιτεῖσθαι δὲ οὐ δύναται κἂν ὅλως. πρῶτος βαθμὸς οὐ πέφυκε τοῖς ἐκ πλαγίου γένους, μόνος γὰρ οὗτος πέφυκε τῶν ἄνω καὶ τῶν κάτω, τῶν ἄνω μὲν οἱ φύσαντες, οἱ φύντες δὲ τῶν κάτω. ἀμφοῖν δὲ τέκνου καὶ πατρὸς ὄντων βαθμοῦ τοῦ πρώτου οἱ παῖδες προτετίμηνται εἰς τὴν κληρονομίαν, οἱ δὲ γονεῖς τυγχάνουσι πρῶτοι τῶν ἐκ πλαγίου, ἐξῃρημένων ἀδελφῶν καὶ τῶν ἀδελφοπαίδων. οἷς μέλη περισσεύουσι, παῖδές εἰσιν εἰκότως. κεφαλικῶς ἡ ἔγκυος ἐγκαταδικασθεῖσα ἐλεύθερον υἱὸν γεννᾷ, δόξαν τοῦτο τοῖς νόμοις. θείου δικαίου πέφυκεν ἔνια τῶν πραγμάτων, ὡς ἱερὰ καὶ μνήματα καὶ πόρται καὶ τειχία· τὰ δέ εἰσιν ἀνθρώπινα, ἃ δὴ καὶ τέμνων κάλει τὰ μὲν ὡς ἰδιωτικά, τὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δὲ δημόσιά πως, ταῦτα μὲν τῆς κοινότητος, τὰ πρῶτα τῶν καθ' ἕνα. εἰς πόρνην δόσις ἄσεμνος ἔρρωται κατὰ νόμους. τὴν δ' ἐρρωμένην δωρεὰν οὐδ' αὐτακράτωρ παύει. Πάντα μὲν χρησιμώτατα τὰ Λέοντος βιβλία, πολύχρηστον δὲ πέφυκε τούτων τὸ τελευταῖον. Τῆς συγγενείας οἱ βαθμοὶ σταυρικῶς γεγραμμένοι ἄνω καὶ κάτω, δέσποτα, διχόθεν ἐκ πλαγίου δηλώσουσί σοι τοὺς βαθμούς, τοὺς πρώτους, τοὺς ἐσχάτους, κἂν εἴ τις παραγράψειε τούτοις, ἄναξ, στοιχεῖον, εὐσύνοπτον ποιήσει σοι τὴν γνῶσιν τῶν γραφέντων. Μάθε καὶ τὸν ζητούμενον σήμερον πλέον νόμον ὃν ὁ πρεσβύτης Ῥωμανὸς εἰσήνεγκε τῷ βίῳ. οὗτος καὶ γὰρ ἐκώλυσε τὰς πράσεις τοῖς χωρίταις τὰς πρὸς μεγάλα πρόσωπα τὸ πρῶτον γινομένας· τούτοις γὰρ ἀπετείχισε μέχρι καὶ τῶν ἐσχάτων χωριτικὴν ἀγροικικὴν ὅλως κτήσασθαι κτῆσιν ἢ ἀγοραῖς ἢ δωρεαῖς ἢ καὶ κληροδοσίαις· ἀντιστροφὴ καὶ γὰρ αὐτοῖς ἀνάργυρος ἐτάχθη. καὶ τοῖς πωλῆσαι μέλλουσι τῶν χωριτῶν ἐνίων τὴν κτῆσιν τὴν ἀκίνητον ἣν ἔσχον ἐν χωρίοις δέδωκεν εἰς ἐξώνησιν τοὺς συμπαρακειμένους· ὧν πρῶτοι μὲν οἱ κείμενοι τῶν συγγενῶν πλησίον, μεθ' οὕς εἰσιν οἱ κοινωνοὶ οὕτω συμπεπλεγμένοι, μεθ' οὓς οἱ μόνον ἀναμὶξ τούτοις συμβεβλημένοι καὶ μετ' αὐτοὺς ὁμοτελεῖς συμπαρατεθειμένοι, μεθ' οὓς οἱ μέρει συναπτοί, οὗτοι γὰρ τελευταῖοι. τυγχάνουσι δ' ὁμοτελεῖς, ὡς ἤρεσε τοῖς νόμοις, ὁμοῦ πάντες οἱ τῆς αὐτῆς ὑποταγῆς τυχόντες, κἂν διαφόρων ἔχωσι τελέσματα τοπίων. Ὁ δὲ πορφυρογέννητος Βασίλειος δεσπότης τοῖς δυνατοῖς ἀπέκλεισε πᾶσαν ἰσχὺν τοῦ χρόνου, κἂν εἴποις τεσσαράκοντα, κἂν εἴποις δὶς τοσούτους· ἀπεῖπε δὲ τοῖς δυνατοῖς τιμὰς ἀναλαμβάνειν ὧν ἴσως ἠγοράκασιν ἐκ χωριτῶν τοπίων. τὸν νόμον δ' ἀντανέλυσε τοῦτον ἀπὸ τοῦ πάππου τὴν πᾶσαν ἔχειν δύναμιν τῶν διηγορευμένων. εἰ δέ τινες τῶν χωριτῶν εὐκτήρια τελοῦντες κλήσεις ἐπιτεθείκασι τούτοις μοναστηρίων, κἀντεῦθεν εὐπροφάσιστον ὁρμὴν ἐφευρηκότες τῶν ἐπισκόπων ἔνιοι ἐκράτησαν τῶν τόπων, ἀναίρεσιν ἡ νεαρὰ τούτων πάντων ποιεῖται καὶ πάλιν ἀποδίδωσι τὰς κτήσεις τοῖς χωρίταις. εἰ δ' ἴσως ἐπηυξήθησαν αἱ κτήσεις αἱ τοιαῦται πολλοί τε ἀπεκάρησαν τῶν πεπλησιακότων ἐπίδοσίς τε γέγονε τούτων τῶν εὐκτηρίων, ὀκτὼ καὶ δέκα μοναχῶν τούτοις ἀποκαρέντων, τούτων οὐδὲν ἀνήρηκε καλῶς ὁ νομοθέτης. πρὸς τούτοις ἐδογμάτισεν ὑπὲρ τοῦ δημοσίου ἵνα μὴ χρόνος κατ' αὐτοῦ τὸ σύνολον ἰσχύῃ. ἐπεὶ δὲ νόμον εὕρατο τοὺς πρωτοσπαθαρίους καὶ τοὺς ἄνω συγκλητικοὺς φονέας γινομένους τὴν κόλασιν ὑφίστασθαι μόνην τῆς ἀτιμίας, ἕτερον αὐστηρότερον εἰσήνεγκε τῷ βίῳ, τοὺς ἐκ μελέτης ἅπαντας φονέας δεδειγμένους, κἂν εἶεν τῶν συγκλητικῶν, φονεύεσθαι δικαίως. Ἀρκεῖ σοι ταῦτα, δέσποτα, τῶν νόμων εἰρημένα· τὰ μὲν γὰρ ἰδικώτερον τυγχάνει γεγραμμένα, τὰ δὲ κανονικώτερον ἐγράφη, στεφηφόρε. πάντων δ' ἡψάμην τῶν μερῶν, δέσποτα, τῶν νομίμων καί σοι συνοπτικώτατον βιβλίον εἰργασάμην ἕτοιμον εἰς κατάληψιν καὶ πρόχειρον εἰς γνῶσιν. αδδιταμεντυμ παρισινυμ Ὁ δὲ πορφυρογέννητος βασιλεὺς Κωνσταντῖνος προσέταξεν ἐν νεαρᾷ περὶ τῶν τελευτώντων ἀδιαθέτων καὶ παιδὸς μηδενὸς εὑρεθέντος μὴ τοῖς ἐκ νόμων ἅπασαν προσεῖναι καλουμένοις συγγενέσι τὴν ἑαυτῶν τυχὸν περιουσίαν, ἢ τούτων μὴ προσόντων γε προσκυροῦσθαι τῷ φίσκῳ, ἀλλὰ τὸ δίμοιρον αὐτοῖς, τῷ δὲ θεῷ τὸ τρίτον ἀφοσιοῦσθαι δούλων τε πάντων ἐλευθερίαν, διατιμήσεως αὐτῶν εἰκὸς ἀριθμουμένης τῶ δεδομένῳ τῷ θεῷ μέρει τῷ πλουτοδότῃ εἰ δὲ τὸ πλεῖστον ἢ καὶ πᾶν δούλους εἶναι συμβαίνει, ἅπαντας ἀπολύεσθαι ζυγοῦ τοῦ τῆς δουλείας. τοῦτο γὰρ ἀπελευθεροῖ καὶ τοὺς ἀποιχομένους καὶ διαδόχοις οὐ μικρὸν καταλιμπάνει κλῆρον.

## 9 Τοῦ σοφωτάτου Ψελλοῦ καὶ ὑπερτίμου πόνημα ἰατρικὸν ἄριστον δι' ἰάμβων Ἰατρικῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄκουε συντόμως ὅρων νοσημάτων ὁμοῦ τε καὶ συμπτωμάτων.

Ἄφθα διπλοῦν πέφυκεν ἕλκος παιδίοις· ἡ μὲν γάρ ἐστιν εὐίατος, λευκόχρους, ἡ δ' ὑπέρυθρος, νηπίων ἀναιρέτις. Γυμνάσιον κίνησις εὐτονωτάτη, ἀναπνοῆς ἄμειψις, ἰσχὺς σωμάτων. ἡ μέν τίς ἐστι τρίψις εὐτονωτάτη, δεσμοῦσα σάρκας τὰς λελυμένας πλέον· ἡ δ' εὔλυτος, λύουσα τὰς ἐσφιγμένας· μέση τις ἄλλη τῶν ἐναντιωτάτων. Τριττός τίς ἐστί πως κόπος τῶν σωμάτων· ὁ μὲν περιττῶν ἔκγονος καὶ δριμέων, ἄλλος δὲ νεύρων καὶ μυῶν σφοδρὰ τάσις, καὶ φλεγμονώδης ὁ τρίτος κεκλημένος ὡς φλέγμα καὶ πύρωσιν ἡμῖν εἰσάγων. Ἡ σωμάτων στένωσις ἡ θρυλλουμένη ἔμφραξις ἢ πύκνωσίς ἐστι τῶν πόρων. Ἄριστος ἀὴρ λεπτός, εὔπνους τὴν φύσιν. Ἄνοσμον ὕδωρ, τοῦτ' ἄριστον τὴν φύσιν, ἄποιον, εὔχρουν, συντόμως διαρρέον. Λουτρῶν τὸ θερμὸν ἀσφαλέστατον φρόνει, λῦον, μαλάσσον, ὕπνον ἡδὺν εἰσάγον, παραίτιον μάλιστα τῆς εὐσαρκίας, τοὺς ἐγκρατῶς βιοῦντας ὠφελοῦν πλέον. Οὗτος χαρακτὴρ ἀκριβοῦς εὐκρασίας· σύμμετρός ἐστιν εὐμέλεια σωμάτων, φύσις μέσως ἔχουσα τῶν ἐναντίων, τῶν ποιοτήτων ἠπιωτέρα κρᾶσις, πρὸς τὰς ἐνεργείας τε τὰς τοῦ συνθέτου εὖ πως ἔχουσα τῇ καλῇ συμμετρίᾳ. ἐναντία τούτων δὲ δύσκρατος φύσις. Μικρὰ κεφαλὴ δεσμὸς ἐστενωμένος, σφίγγων τὸν ἐγκέφαλον, εἰπεῖν δέ, πνίγων. ἡ δὲ πλέον πλασθεῖσα τῆς συμμετρίας, εἰ μὲν πέλει γέννημα ῥώμης ἐμφύτου, ἐπαινετὴ πέφυκεν εὖ πεπλασμένη· εἰ δ' ἐστὶν ὕλης, τῆς περιττῆς οὐσίας, δύσχρηστον αὐτὴν ταῖς ἐνεργείαις νόει. ἡ δ' αὖ μέσως ἔχουσα χρηστὴ τὴν φύσιν. Εὔκρατον ἐγκέφαλον ὧδε θηράσαις· σύμμετρός ἐστι ταῖς ἐνεργείαις ὅλαις, πλάττει τὸ σῶμα παγκάλως καὶ ποικίλως· ἐν τῷ βρέφει δείκνυσιν ἄνθην τῆς κόμης χροιὰν πυρρὰν ἔχουσαν ἠλαττωμένην, τοῖς παισὶν ὑπόξανθον, εἶτα τοῖς μέσοις τὸ ξανθὸν ἐκφύουσαν ἠκριβωμένον. Σημεῖα ταῦτα γαστρὸς ἐξηραμμένης· ταχεῖα δίψα σύντομον πλήρωμά τε, ἐδεσμάτων ὄρεξις ἐξηραμμένων. τῆς δ' αὖ διύγρου ταῦτα συντόμῳ λόγῳ· τὸ μήτε διψῆν μήτε τὴν πόσιν στέγειν. θερμῆς δὲ ταῦτα· πέψις ἀκριβεστέρα, ὄρεξις ἧττων, δίψα τοῦ ποτοῦ πλέον. ψυχρᾶς δὲ ταῦτα· πέψις ἀσθενεστέρα, ὄρεξις εὐαίσθητος, ἡδονὴ ψύχους. Τοῦ πνεύμονος δὲ ταῦτα σημεῖα φρόνει· πνεύμων ἄριστος εὐφυῶς ἀναπνέων, τὴν ἕξιν ἀπέριττος, εὖ ὕλης ἔχων, εἰλικρινοῦς μάλιστα φωνῆς ἐργάτης. Τῆς καρδίας δὲ τὰς κράσεις οὕτω μάθοις. ἀναπνοῆς ὄγκωσις ἢ σφυγμοῦ τάχος, εὐτολμία δέ, πρὸς τὰ δεινὰ θρασύτης, δασύς τε θώραξ, στέρνα λάσια πλέον γνωριστικὰ πέφυκε θερμῆς καρδίας· σφυγμοὶ δὲ μικροὶ καὶ φόβοι καὶ δειλίαι, στέρνων ψίλωσις, τὴν ψυχρὰν δηλοῦσί σοι· ξηρὰν δὲ γνωρίσειεν ἡ σκληρὰ φύσις, σφυγμὸς μὲν οὐχ ἕτοιμος, ἄγριος δέ γε· ὑγρὰν δὲ γνωρίζουσιν ἦθος ὀργίλον, σφυγμοὶ μαλακοί, συμπαθεστέρα φύσις. Θερμὸν μὲν ἧπαρ γνωριοῦσιν αἱ φλέβες τὴν εὐρύτητα δαψιλῆ κεκτημέναι, ξανθὴ χολὴ τὰ πρῶτα, τῆς δ' ἀκμῆς μέσης μέλαινα, θερμότης τε πολλὴ σωμάτων· ψυχρὸν δέ σοι δείκνυσι φλέγματος φύσις φλεβῶν τε πολλὴ στεγνότης ἐν τῷ βάθει, τριχῶν ψίλωσις, ψυχρὸν αἷμα τὸ πλέον· ξηροῦ δέ εἰσι σύμβολα σκληραὶ φλέβες· ὑγροῦ δὲ τούτων μαλακωτέρα φύσις. Ὄρχεις δὲ θερμοὺς δείκνυσι προθυμία πυκνῆς ὀχείας καὶ τριχῶν ἡ δασύτης, μήτηρ δέ ἐστιν ἥδε πως τῶν ἀρρένων· ψυχρὰ δὲ κρᾶσις δεικνύει τἀναντία· καὶ τῆς μὲν ὑγρᾶς κράσεως γνώρισμά τι τῶν σπερμάτων τὸ πλῆθος ὑγρότης θ' ἅμα· ξηρὰ δὲ κρᾶσις ἡττόνως τούτων ἔχει. Αὕτη πέφυκε λαχάνων ἡ ποιότης. Ὑγρὰν ψυχράν τε τὴν θριδακίνην νόει, γεννῶσαν ἡδὺν ὕπνον, εὔτροφον φύσει, αὔξουσαν αἷμα καὶ τρέφουσαν ἡδέως. ἔχει δὲ ταύτας καὶ φύσις τῶν ἰντύβων τὰς ποιότητας, ἀλλ' ὅμως τεθραυσμένας. Ἡ μαλάχη ψύχει μέν, ἀλλ' ἐλαττόνως, ὑγρὰν δὲ ποιεῖ τὸ πλέον τὴν γαστέρα, ὑπακτική τε τῆς περιττῆς γαστέρος. Ῥύπτει τὸ τεῦτλον,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσης του.

ἐκκενοῖ τὴν γαστέρα, δάκνει στόμαχον, ἧπαρ εὐρύνει πλέον. Κράμβη δίσεφθος δεσμός ἐστι γαστέρος, ἡ δ' αὖ μόνεφθος ἁλσὶν ἐμμεμιγμένη ὑπακτικὴ πέφυκε τῶν ἐγκειμένων. Ἡ δ' ἀτράφαξις, προστίθει καὶ τὸ βλίτον, ὑγρὰ μὲν ἄμφω καὶ λύοντα γαστέρα, ἀλλ' ἄτροφον τὸ σῶμα δεικνύοντά πως. Ἀτρακτυλίς, σκόλυμος, ἠκανθωμένα τρόφιμα καὶ σύμμετρα γαστρὸς τῇ κράσει· ἡ κινάρα δὲ δυσστόμαχος τυγχάνει. Οὐρητικὰ σέλινα, σμύρνιον, σίον. Κάρδαμον ἠδ' ὤκιμον, ἀλλὰ καὶ νάπυ, ἅπαντα θερμὰ τυγχάνει καὶ δριμέα, δύσπεπτα, δυσστόμαχα, πλειστόχυμά τε. Ἡ δ' ἀκαλύφη, καὶ κνίδη καλουμένη, λεπτή τίς ἐστιν, ἐκκενοῖ τὴν γαστέρα. Τὸ δ' αὖ γε γιγγίδιον ἐμφύτως στῦφον ἄριστον, εὐστόμαχον εἰς ἀποτρόφους, εὔσιτον, εὐόρεκτον, οὐ σάρκας τρέφον. Ἐκφρακτικὴ κάππαρις, ἡδίστη πλέον, ὄξει μιγεῖσα φλεγμάτων ἀναιρέτις. Ὅρα δὲ καινὴν φύσεως ποικιλίαν· βλίτοι, μαλάχαι, τεῦτλα καὶ θριδακίναι ὑγρὰ μέν εἰσι τοῦ φυτοῦ τὴν οὐσίαν, ξηρὸς δὲ τούτοις ἀσπάραγος τυγχάνει· ἡ δ' αὖ ῥαφανὶς γογγύλη τε καὶ νάπυ, τὸ κάρδαμον, πύρεθρον, ἡ κράμβη πλέον, τὸ μὲν φυτὸν φέρουσιν ἐξηραμμένον, ἔχουσι δ' ἀσπάραγον ὑγρὸν τὴν φύσιν. Ἡ γογγύλη δέ, βουνιὰς κεκλημένη, τρόφιμος, εἰ δίσεφθος· εἰ δὲ πολλάκις γεύσαιο ταύτης, δυσστομαχήσεις πλέον. Ὀρεκτικὴ πέφυκεν ἡ βολβοῦ φύσις, τὴν γαστέρα ῥύπτουσα καὶ τονοῦσά πως, τρόφιμος, εἰς ἔρωτας εὐφυεστέρα, γεννητική τε πνευμάτων καὶ σπερμάτων. Πράσα τε καὶ σκόροδα τὰ κρόμμυά τε πάντα δριμύττει καὶ τέμνει καὶ λεπτύνει. Ἄποιον ὕδνον καὶ καταψῦχον πλέον· οἱ δ' αὖ μύκητες φλεγματώδεις τὴν φύσιν· οἱ δ' ἀμανῖται τοῦτό πως ἐλαττόνως. Τῶν ὀσπρίων δ' αὖ τὴν φακῆν ἀποτρέπου· μελάγχολος πέφυκε, δεσμὸς γαστέρος. Κοῦφοι κύαμοι καὶ φυσώδεις τὴν φύσιν. Ὁ δ' ἐρέβινθος ῥυπτικός τε τυγχάνει καὶ σπέρμα γεννᾷ καὶ λίθους διαθρύπτει. Τὰ θέρμια δύσπεπτα. τῆλις ἡ πόα θερμὴ πέφυκε, προτρέπει τὴν γαστέρα. Ὁ δ' αὖ φάσουλος καὶ τρόφιμος τυγχάνει κενωτικός τε τῶν περιττῶν ἐκτόπως. Ἡ κολόκυνθα καὶ λύει τὴν γαστέρα ψῦξίν τε γεννᾷ καὶ καθυγραίνει πλέον. Πέπων κακοστόμαχος, ἡττόνως τρέφων. Ὁ σικυὸς δύσπεπτος, ὑγρὸς τὴν φύσιν. Σῦκον, σταφυλαὶ καὶ τρέφουσιν ἠρέμα ἧττόν τε δυσστόμαχα πλειστόχυμά τε· τῆς δὲ σταφυλῆς εὐχυμώτερον σῦκον, νεφροὺς καθαίρει καὶ κενοῖ τὴν γαστέρα. αἱ δ' ἰσχάδες σύμπαντα πρὸς τοὐναντίον, ὠμοὺς χυμοὺς τίκτουσι, πληροῦσι φύσης. τῶν δὲ σταφυλῶν ἡ σταφίς σοι βελτίων. Τὰ συκάμινα ψυχροποιὰ μετρίως, τίκτουσι δ' ὑγρότητα πολλὴν ἐν βάθει. Ἡ δ' αὖ γε διπλῆ τῆς κεράσου ποιότης διπλοῦς ὁμοίως τοὺς χυμοὺς παρεισάγει· ἡ γὰρ γλυκεῖα τῆς ὀπώρας ποιότης βλάπτει στόμαχον, ἐκκενοῖ δὲ γαστέρα, ἡ δὲ στύφουσα τῷ στύφειν τὴν γαστέρα φθείρει στόμαχον· οὐχ ὕπεισιν οὐδ' ὅλως. Ὁ κωνικὸς στρόβιλος εὔχυμος φύσει. Μῆλον γλυκάζον καὶ τρόφιμον τυγχάνει καὶ θερμόν ἐστι μᾶλλον ἐξωπτημένον. Κυδώνιον δὲ ῥωστικὸν μὲν τυγχάνει, ἐφεκτικὸν δέ ἐστι τῆς γαστρὸς πλέον. Ῥοιὰ ψύχει. μέσπιλα τὸ πλέον στύφει. Φοῖνιξ τονοῖ στόμαχον ἐστεγνωμένος, ἐφεκτικὸς δέ ἐστι γαστρὸς ἐκτόπως. Τῶν δ' αὖ γ' ἐλαιῶν τάσδε τὰς γνώσεις ἔχε· ἡ δρυπετὴς ἄπεπτος, ἄλγος γαστέρος, ἁλμάς, κολυμβὰς εὐόρεκτος τὴν φύσιν. Τῶν δ' αὖ καρύων τὰς διαιρέσεις μάθε. Τὰ λεπτὰ πλείω τὴν τροφὴν δίδωσί σοι, μείζω δ' ἔλαττον, τοῖς μικροῖς ἀντιστρόφως. Ἀμύγδαλον δὲ τμητικώτατον πάνυ. Τὸ πιστάκιον ἧπαρ ἐκτρέφει φύσει. Τὰ σηρικὰ δύσπεπτα δυσστόμαχά τε. Δαμασκηνὰ κινοῦσι γαστέρος φύσιν. Δύσπεπτός ἐστι τῶν κεράσων ἡ φύσις. Τὸ κίτριον δύσπεπτον, ἡ σὰρξ δὲ τρέφει. Τρόφιμος ὁ βάλανος εὐσάρκῳ φύσει, δεῖται <δὲ> δεινῶς γαστέρος πυριπνόου. τὸ κάστανόν θ' ὅμοιον, ἀλλ' ἐλαττόνως. Πτηνῶν δὲ σάρκας καὶ τετραπόδων ὅρα. Πτηνῶν ὁ πέρδιξ εὐστόμαχος τυγχάνει, εὔπεπτος, ἡδὺς καὶ τρόφιμος ἐκτόπως. οἱ δ' ἀτταγῆνες καὶ περιστεραὶ νέαι εὔπεπτα πάντα καὶ πλέον σαρκοτρόφα. κίχλα δὲ καὶ κόττυφος ἠδὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πυργίτης τὰ πάνθ' ὅμοια τοῖς προηριθμημένοις, σκληρὰν δ' ἔχει τὴν σάρκα τῶν ἄλλων πλέον. Νήττης τε, φάττης ἡ φύσις καὶ τρυγόνος σκληρά τε καὶ δύσπεπτος, ἰνώδης πλέον. Ὁ χήν, ὁ ταώς, τῶν γεράνων ἡ φύσις δύσπεπτα· πλὴν τρόφιμα δείκνυνται φύσει. Ἅπαν τρόφιμόν ἐστιν ὕειον κρέας, γλίσχρον δὲ καὶ δύσπεπτον, ἡδὺ δ' ἐκτόπως. Κακοστόμαχον τὸ πρόβατον τυγχάνει, μᾶλλον δὲ δυσστόμαχον αἴγειον κρέας· τὸ δὲ τράγειον θερμοκοιλίοις δίδου. Μελάγχολον βοῦς καὶ λαγὼς καὶ δορκάδες. Ἅπας τυρὸς δύσπεπτος, ἐκτρέφων λίθους· ὁ πρόσφατος δέ, συμμέτρως ἁλῶν ἔχων, μαλακός, ἡδὺς καὶ τρόφιμος τυγχάνει. Ἰχθὺς ἅπας πέφυκεν ὑγρὸς καὶ ψύχων, ὁ δ' αὖ πετραῖος εὐχυμώτερος φύσει· πέτραι πελαγῶν κρείττονες πρὸς ἰχθύας, καὶ τῶν πελαγῶν οἱ ποταμοὶ χειρόνως τοὺς ἰχθύας τρέφουσι τοὺς ποταμίους· ἰχθὺς δὲ λίμναις ἐμμόνως τεθραμμένος ἄπεπτος, ὑγρός, δυσστόμαχος τὴν φύσιν. Ὀστρακόδερμα πάντα συμπεπεμμένα γεννῶσι πικρὸν χυμὸν ἐν τοῖς ἐντέροις, βλάπτει δ' ἔλαττον ἡ φύσις τῶν ὀστρέων. χῆμαι δὲ καὶ σωλῆνες ἠδὲ πορφύραι, κῆρυξ δὲ καὶ σπόνδυλος ἠδὲ κοχλίας καὶ δηκτικὸς πάγουρος, ἀστακὸς πλέον, καρίδες ἢ κάραβος ἢ καὶ καρκίνοι δύσπεπτα πάντα, δυσστόμαχα τὴν φύσιν. Ἀνόστεως δὲ τευθὶς ἠδὲ σηπία ἁλυκὸν ἐκτρέφουσι χυμὸν ἐν βάθει· ὅμοια τούτοις καὶ λίβατος καὶ βάτος· ἡ δὲ τρυγὼν εὔπεπτον ἔσχε τὴν φύσιν. Φώκη δὲ καὶ φάλαινα καὶ θύννη πλέον δελφίς τε καὶ ζύγαινα γαστέρα θλίβει, ἀσυμμέτρως ἔχοντα σαρκικοῦ πάχους. Οἴνων δὲ τήνδε τὴν διαίρεσιν νόει. Ἐρυθρὸς οἶνος χυμὸν οὐ καλὸν τρέφει· ὁ δὲ γλυκὺς τρόφιμος, ἀλλ' ὅμως βλάβη τῆς γαστρός ἐστιν, ἐκλύων ταύτην φύσει. δυσανάδοτος, εὐστόμαχος ὁ στύφων. οἶνος δ' ἄριστος κιρρός ἐστι τὴν χρόαν. Ὕπνου τὸ χρῆμα χρῆμα τῇ φύσει μέγα· πέττει τὰ σῖτα, ζωπυροῖ τὴν γαστέρα, κόπους, ὀδύνας καὶ πόνους ἀμαλθύνει, ὀρθοῖ λογισμὸν πολλάκις τετραμμένον. Βιβλίον δεύτερον προγνωστικόν Νοσημάτων σημεῖα ταῦτ' ὀλεθρίων· ὄψις νεκρώδης, ὄμμα κοῖλον δακρύον, σφυγμῶν μικρὰ κίνησις ἀντωθουμένη, κλίσις καταρρέουσα τῆς κλίνης κάτω, ὀξεῖα ῥίς, ἄνισος ὄψις ὀμμάτων, φεύγειν τὰ λαμπρά, ψηλαφᾶν τοῖς δακτύλοις. Εὐσφυξία δὲ καὶ φρενῶν ἑτοιμότης τἀναντία τε τῶν διηγορευμένων σωτηρίας σημεῖα τῆς τοῦ κειμένου. Νοσήματος κίνησις, ἀρρώστου φύσις, σφυγμῶν τε γνῶσις ἥ τε τῶν οὔρων κρίσις νοσήματός σοι γνωριοῦσι τὸν χρόνον καὶ τὴν λύσιν μάλιστα τούτων καὶ κρίσιν. Τῶν ἡμερῶν πέφυκεν ἐν νόσῳ κρίσις· ἀλλ' αἱ μὲν εἰσάγουσιν ἀκριβῆ λύσιν, αἱ δὲ πλέον φέρουσιν εἰς τἀναντία· ἡ τρισκαιδεκάτη δὲ τούτων ἐν μέσῳ. πρώτη δ' ἀρίστη τῶν ἁπασῶν ἑβδόμη, καὶ δὴ μετ' αὐτὴν αὖθις ἡ δισεβδόμη. τίθει μετ' αὐτὰς ἐννάτην καὶ δεκάτην καὶ δισδεκάτην, καὶ μετ' αὐτὰς πλησίον πέμπτην ἀρίθμει, ἑβδόμην πρὸς δεκάτην, αὖθις τετάρτην καὶ τρίτην κατωτέρω ὀκτωκαιδεκάτην τε τούτων πλησίον· ἕκτην τ' ἐν ἀρχαῖς, ὀγδόην καὶ δεκάτην δωδεκάτην τε καὶ πρὸς ἓξ τὴν δεκάτην καὶ τὴν δεκάτην ἡμέραν πρὸς ἐννέα κακὰς γίνωσκε, παντελῶς ὀλεθρίας. Τῆς κρίσεως πρόγνωσις αὕτη τυγχάνει· τῆς εἰσβολῆς πρόληψις ἡ πρὸ τῆς τρίτης, διὰ τρίτης κίνησις ἀκριβεστάτη, ἡ τῶν περιττῶν πέψις, οὔρων, πτυσμάτων. Τούτων μὲν οὖν μέλλουσαν εὑρήσεις κρίσιν· αὖθις δὲ τούτοις τήν γε νῦν τελουμένην, εἰ δυσφοροῦντα τὸν νοσοῦντα προσβλέποις, ἀλγοῦντα τὸν τράχηλον ἢ τετραμμένον, αἱμορροοῦντα καὶ στροφούμενον κάτω, καὶ ῥὶς δ' ἐρυθρὰ καὶ κένωσις δακρύων καὶ μαρμαρυγῆς ἀθρόα φαντασία, σημεῖα πάντα κρίσεως τελουμένης. Σφυγμῶν γένη γίνωσκε τῶν πρώτων δέκα· ταχύν, βραδύν, σύμμετρον ὡς πρὸς τὸν χρόνον, οὗτος ἀριθμός ἐστι τῶν κινουμένων. ταχὺς μὲν οὖν πέφυκεν ὃς βραχεῖ χρόνῳ διάστασιν δίεισι πλείω τοῦ χρόνου· βραδὺς δέ ἐστιν ὃς μακρῷ χρόνῳ τρέχων ἐλάττονας δίεισι τὰς διαστάσεις· ὁ σύμμετρος δ' ἕστηκεν εἰς ἄμφω μέσος. Τὸ δεύτερον δὲ τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σφυγμῶν γένος τόδε· τρεῖς εἰσι πᾶσαι τῷ λόγῳ διαστάσεις, μῆκος πλάτος βάθος τε, σωμάτων λόγοι. ὡς κοῖλον οὖν τι σῶμα τὴν ἀρτηρίαν αἱ τρεῖς ἔχουσι τοῦ λόγου διαστάσεις. σκόπει γὰρ αὐτὸς ἐμφρόνως τοῖς δακτύλοις τὸ μῆκος αὐτὸ καὶ βάθος καὶ τὸ πλάτος· εἰ δὲ πλέον τὸ μῆκός ἐστι τοῦ μέτρου, μακρὸν κάλει κίνημα τοῦ σφυγμοῦ τόδε, εἰ δ' αὖ γε πλεῖον φωράσειας τὸ πλάτος, πλατὺν διδάσκου σφυγμὸν ἀκριβεῖ λόγῳ, εἰ δὲ πρὸς ὕψος ἅλλεται σφύζον πλέον, ὑψηλὸν εἰπὲ τὸν κινούμενον φύσει. τἀναντία δὲ τῶν περάτων τυγχάνει τἀναντία πέρατα τῶν ἐναντίων, μικρός, στενός, ταπεινός, ὡς πρὸς τὰ τρία. Τρίτον γένος πέφυκε τῶν σφυγμῶν πάλιν, ὅπερ πέφυκε τοῦ τόνου ζυγοστάτης, κλῆσις δὲ τούτου σφοδρότης, ἀμυδρότης, καί τις μεταξὺ τῶν τόνων συμμετρία. σφοδρὸς μὲν οὖν πέφυκεν ὁ πλήττων βίᾳ τοὺς τῶν ἰατρῶν δακτύλους συνημμένους· ὁ δ' αὖ γε πλήττων τὴν ἁφὴν παρειμένως ἀμυδρός ἐστι προσφυῶς κεκλημένος· σύμμετρος, ὃς πέφυκε τοῖν δυοῖν μέσος. Τὸ δεικνύον δὲ σύστασιν τῆς οὐσίας τοῦ σώματος κάλλιστα τῆς ἀρτηρίας <................................> ἢ μαλακὸν πέφυκεν ἢ τούτων μέσον. εἰ σκληρόν ἐστι, σκληρὸς ὁ σφυγμὸς πέλει, εἰ μαλακόν, μαλακὸς ὠνομασμένος, εἰ σύμμετρον, σύμμετρος· οὐκ ἄλλως δ' ἔχει. Γένος δὲ πέμπτον τῇ παρεκχύσει νόει τοῦ σώματος, βέλτιστε, τῆς ἀρτηρίας. ἡ κοιλότης γὰρ ἢ μένει πληρεστάτη, ἣν ἔγχυλον λέγουσι καὶ σεσαγμένην, ἢ τῶν ἰατρῶν τοὺς κρίνοντας δακτύλους κενεμβατοῦντας ταῖς ἁφαῖς δείκνυσί πως. ἀλλ' εἰ μέν ἐστιν ἔγχυλος, πλήρη κάλει, εἰ δ' ἐστὶν ὥσπερ πομφόλυξ, κενὴν λέγε, τὴν δ' ἐν μέσῳ σύμμετρον, οὕτω γὰρ δέον. Τὸν δ' αὖ γε δεικνύοντα τὴν τῆς καρδίας ἔνθερμον οὐσίωσιν ἕκτον μοι κάλει· ἢ γὰρ ψυχρὸς πέφυκεν ἢ θερμὸς πλέον ἢ ποιοτήτων συμμέτρως δυοῖν ἔχων. Ὁ πυκνὸς ἠδ' ἀραιὸς ἕβδομον γένος· κινουμένης γὰρ ὧδε τῆς ἀρτηρίας διπλῆν κίνησιν ἐξ ἐναντιωτάτων διττὰς ἀνάγκη τὰς στάσεις πεφυκέναι· διασταλεῖσα καὶ γὰρ ἴσχει πως στάσιν καὶ συσταλεῖσα δευτέραν ἡσυχίαν. ἀλλ' εἰ μὲν ἐμμείνειεν ἐν βραχεῖ χρόνῳ, σφυγμὸν κατειργάσατο πυκνὸν ἐκτόπως· εἰ δ' ἠρεμήσει τὸ πλέον τοῦ συμμέτρου, ἀραιός ἐστιν ὁ σφυγμὸς κεκλημένος· τὴν πυκνότητα τὴν ἀραιότητά τε μέσος διιστᾷ σύμμετρος κεκλημένος. Ὁ ῥυθμὸς αὖθις ἄλλο δείκνυσι γένος. ἔστι δὲ ῥυθμὸς πρὸς χρόνον χρόνου κρίσις· χρόνος δὲ διττός ἐστι, τῶν κινουμένων <...................................> τῶν ἡσυχαζόντων δὲ τούτων τὴν κρίσιν ῥυθμὸν κατωνόμασαν εὔρυθμοι λόγοι. ὁ συγκρίνων δὲ τὰς στάσεις ἀρτηρίας πρὸς τὰς κινήσεις, ἢ στάσεις πρὸς τὰς στάσεις, ἢ τὰς κινήσεις πρὸς κινήσεις ἐμμέτρως γένος πέφυκε ῥυθμικὸν κεκλημένον. τοῦ δ' αὖ γε ῥυθμοῦ τὴν διαίρεσιν λάβε· τέμνουσι καὶ γὰρ τοῦτον ἀκριβεῖς λόγοι πρὸς μὲν τὸ κρεῖττον εἶδος εἰς εὐρυθμίαν, πρὸς δ' αὖ τὸ χεῖρον αὖθις εἰς ἀρυθμίαν. εὔρυθμον οὖν ἄρυθμον ὄγδοον γένος. Ἔννατον ἄλλο δυσκολώτερον γένος, εἰς τοὺς ὁμαλοὺς εἴς τε τοὺς ἀνωμάλους σφυγμοὺς πεπονθὸς τὴν τομὴν ἐκ τῆς τέχνης. ἄμφω δ' ἀνεύροις ἀκριβώσας τὴν τέχνην μιᾷ κινήσει καὶ πολλαῖς ἀρτηρίαις. ὁμαλὸς οὖν πέφυκεν ἐν πολλοῖς τόνος, ὃς τὰς κινήσεις τοῦ τόνου καὶ τοῦ τάχους ἁπλῶς τε πάντων τῶν γενῶν ἐν τῷ μέρει ἴσας φυλάττει μηδαμοῦ τετραμμένας· ἀνώμαλος δέ ἐστιν ἐξ ἐναντίου ὁ μὴ φυλάττων τάξιν ἐν κινουμένοις, οὗπερ γένους πέφυκεν ἐκλελειμμένος, εἶτ' αὖθις ἄλλος, ὃν παρεμπίπτοντά πως οἱ τῆς τέχνης λέγουσι προσφυεῖ λόγῳ. ὁ μὲν γάρ ἐστι προσδοκωμένου τόνου ἔλλειψις ἀπρόοπτος ὡς πρὸς τὴν φύσιν· ὁ δ' ἄλλος ἐστίν, εἰ παρεμπέσοι μέσος ἀπροσδόκητος καὶ πρὸ τῆς ἡσυχίας. εἰ δ' αἱ κινήσεις ὥσπερ ἐκ τῶν κλιμάκων πᾶσαι καταρρέουσιν εἰς τοὐναντίον, τοῦτον μυουρίζοντα τὸν σφυγμὸν κάλει. αὕτη μέν ἐστι τῶν ἀνωμάλων φύσις, σφυγμῶν πολλῶν σύστημα τυγχάνουσά πως· ἄλλη δέ τις πέφυκε ποικιλωτέρα, σφυγμὸν τὸν αὐτὸν δεικνύουσα ποικίλως, τέμνει γὰρ οὕτως τὴν διάστασιν λόγος. θοῦ σφυγμὸν ὁρμήσαντα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συντομωτέρως, ἔπειθ' ὑφέντα τοῦ τόνου καὶ τοῦ τάχους καὶ συσταλέντα πρὸς τὸ τέρμα τοῦ δρόμου ἢ καὶ διαλλάξαντα πρὸς τοὐναντίον. αὖθις δέ μοι ποίκιλλε ταῦτα τῷ λόγῳ. ἡ γὰρ κίνησις ἡ παρεξηλλαγμένη ἄτμητός ἐστιν ἢ πάλιν τετμημένη· καὶ τὴν τετμημένην δὲ τῷ λόγῳ τέμνε, ἢ γὰρ πάλιν πρόεισιν ἢ τετραμμένη παλινδρομεῖ πως ὥσπερ ἀντωθουμένη. ἀλλ' εἰ μὲν ὡς ἄτμητος ἴσχει τὸν δρόμον τῆς ὠκύτητος καὶ βραδυτῆτος μέσως, ἀνισοταχὴς ἐστιν ὠνομασμένη· εἰ δ' ἠρεμοίη καὶ πάλιν διατρέχει ἐκ βραδυτῆτος εἰς ταχυτῆτα πλέον, ἡ κλῆσις αὐτῷ δορκαδίζων τυγχάνει· παλινδρομῶν δὲ δίκροτος πέφυκέ πως. σφυγμῶν δὲ κλῆσίς ἐστι ποικιλωτέρα, ἡ κυματώδης, ἡ κατὰ σκώληκά τε, μύρμηκος ἄλλη κλῆσιν ἠμφιεσμένη, παλμῶδες ἄλλο μυριόκλονον γένος, ὁ δὲ κλονώδης αὖθις, ἄλλος ἐμπρίων· ὧν δύσκολός τις ἡ φύσις καὶ ποικίλη καὶ πρὸς τὰ μέτρα δυσκολωτέρα πλέον. Δέκατον ἄλλο καὶ τελευταῖον γένος, ἀνωμάλου γέννημα τοῦ λελεγμένου, οὗ τὸν μὲν εἴποις τὸν σφυγμὸν τεταγμένον, τὸν ἄλλον αὖ ἄτακτον ἀκριβεῖ λόγῳ. ὁ μὲν γὰρ ἴσος πανταχοῦ τεταγμένος, ὁ παντελῶς δ' ἄνισος ἠριθμημένος ἄτακτός ἐστι προσφυῶς κεκλημένος. ἀνωμάλῳ δ' ἄτακτος οὐ ταὐτὸν πέλει· ὁ γὰρ φυλάττων τάξιν εἰς ἀνωμάλους τεταγμένος πέφυκεν ἀντεστραμμένος. καὶ τῶν μὲν ἄλλων ὠνομασμένων ἄνω μέσος τίς ἐστι σύμμετρος κεκλημένος· τῶν ὁμαλῶν δὲ τῶν τε μὴν ἀνωμάλων καὶ τῶν ἀτάκτων τῶν τε μὴν τεταγμένων σφυγμός τις οὐ πέφυκεν οὐδ' ὅλως μέσος. Ὀττεύεταί τις πρὸς τὸ μέλλον τῆς νόσου οὐ σφυγμικοῖς κρούμασιν, ἀλλὰ καὶ κόπροις καὶ ποιότησι πτυσμάτων πολυχρόοις, οὔρων τε σημείωσις ἀρκεῖ πολλάκις δεῖξαι τὸ μέλλον ὡς ὁ Πύθιος τρίπους. ἡ μὲν γὰρ ὑπόπυρρος ἐν χρόᾳ κόπρος τὴν σύστασιν δεικνῦσα μαλακωτάτην καὶ μὴ λίαν δύσοσμος καὶ σεσημμένη σημεῖόν ἐστιν ἀσθενούσης γαστέρος, τῆς κρείττονος δ' αὖ ἕξεως γνώρισμά τι. πυρρὰν δὲ δεινῶς ἐκκενωθεῖσαν κόπρον νόσου χολώδους σύμβολον σαφῶς ἔχε· χλωρὰ δὲ κόπρος τὴν ἰώδη δεικνύει, ἡ δ' αὖ μέλαινα τὴν μέλαιναν εἰκότως· ψῦξιν πελιδνὴ καὶ νέκρωσιν τοῦ βάθους· ἡ λιπαρὰ σύντηξιν, ἡ γλίσχρος πλέον. Ἐντεῦθεν οὔρων ἄρξομαι γνωρισμάτων. Ἄριστον οὖρον σύμμετρον τῇ συστάσει, λευκὴν ὁμαλὴν τὴν ὑπόστασιν φέρον, συνημμένην μάλιστα, μὴ κεκομμένην, τὸ χρῶμα πυρρόν, ὑπόπυρρον ἐξ ἴσου, ξανθοῦ τε λάμπον ἀκριβῶς στιλβηδόνι. τῶν χρωμάτων δὲ τυγχανόντων ποικίλων πρῶτον τὸ λευκόν, εἶθ' ὕπωχρον τυγχάνει, μέσον δὲ τούτων χρωμάτων πολὺ πλάτος. τὸ πρῶτον, ὃ γράφουσιν εἰκότως γάλα, μορφὴν ἔχον γάλακτος ἠκριβωμένως· τὸ δεύτερον δὲ γλαυκόν ἐστι τὴν φύσιν· τὸ χαροπὸν δ' ἔπειτα τοῦ γλαυκοῦ κάτω, μαλλοῖς καμήλων προσφυῶς εἰκασμένον ἢ προσφυές πως τοῖς ὀνυχίταις λίθοις· ἔπειθ' ὕπωχρον ὡς <χολὴν> δεδεγμένον, τὴν ὠμόβραστον εἰκονίζον χυμένην, βαφέν τε μᾶλλον ὠχρόν ἐστι τὴν χρόαν· τὸ δ' ὑπόπυρρον Κελτικοῖς χρυσοῖς ἴσον· τὸ δ' αὖ γε πυρρὸν ἀκριβῶς βεβαμμένον, εὔρυζον ὄντως εἰκονίζον χρυσίον· κνίκῳ μὲν ὑπόξανθον ἐμφερὲς πέλει· τὸ ξανθὸν αὖθις εἰκονισμένον κρόκῳ· τὸ δ' ὑπέρυθρον φοινικοῦν πέφυκέ πως, ἐξ ἰχωρώδους αἵματος βεβαμμένον· τὸ δ' αὖ ἐρυθρὸν αἵματος φαίνει χρόαν· τὸ δ' οἰνόχρουν τε πορφυρίζον αἵματι· τὸ κυανοῦν δ' ἔοικε τῷ σεσημμένῳ· μίξις τὸ φαιὸν χρωμάτων ἐναντίων· τὸ χλωρὸν ὥσπερ ἡ ποάζουσα χλόη· τὸ δ' αὖ πελιδνὸν ὡς μόλυβδος τυγχάνει· ἐφ' οἷσπερ ἐστὶ τοῦ μέλανος ἡ χρόα. Τοῦ σώματος δὲ τριπλεκοῦς πεφυκότος ἐκ πνευμάτων ὑγρῶν τε καὶ στερεμνίων, πάλιν τριφυὴς τῶν στεγανῶν οὐσία, ἐκ πιμελῶν σαρκῶν τε καὶ τῶν ὀστέων, ἀφ' ὧν ἑκάστων ἡ σμύχουσα θερμότης οὖρον συνιστᾷ σύντομον καὶ ποικίλον, ἐκ πιμελῆς γὰρ ἐν βάθει τετηγμένης ὅμοιον εἰς ἔλαιον οὖρον ἐκτρέχει. αἱ ποικίλαι δὲ συστάσεις τε καὶ χρόαι καὶ ποικίλας ἔχουσι κλήσεις εἰκότως· τὸ πρῶτόν ἐστι προσφυῶς ἐλαιόχρουν, ἐλαιοφανὲς δεύτερον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κεκλημένον, τὸ τρίτον εἰς ἔλαιον ἠκριβωμένον. εἰ χρῶμα δ' εἰσδέξαιτο συγκεκαυμένον, σπασμὸν προδηλοῖ καὶ τελευτὴν αὐτίκα· εἰ δ' ἐκ νεφρῶν πρόεισιν, ἀθρόον τρέχει. τὸ δ' αὖ πέταλον καὶ πίτυρον καὶ κρίμνον ὑποστάσεις λέγουσι τῶν στερεμνίων. τὸ μὲν γάρ ἐστιν ὡς λεπὶς δεδειγμένον, τὸ δ' ἁδρόν ἐστιν, οὐσίας παχυτέρας, τὸ δ' αὖ γε κρίμνον ὡς τὸ σῶμα τοῦ σίτου ἐν τῷ μύλωνι συντριβέντος τῇ μύλῃ· σύντηξίς ἐστι τοῦτο τῶν στερεμνίων. σκόπει δ' ὅμως τὸ χρῶμα τοῦδε τοῦ κρίμνου· λευκὸν γὰρ ὂν πέφυκεν ἐκ τῶν ὀστέων, εἰ δ' αὖ ἐρυθρόν, αἵματος διερρύη. Οὔρων δὲ τὴν κάκοσμον ὄσφρησιν νόει. Οὖρον κάκοσμον καὶ δακνῶδες ἐν νόσοις σεσημμένην δείκνυσιν <.............>· αὖθις δὲ λευκὸν ἐκρυὲν τετραμμένοις ἔλυσε τούτοις τὴν σκοτισθεῖσαν φρένα. ἐν πυρετοῖς δὲ προδραμὸν τοῖς ὀξέσι μέλαν, δυσῶδες, θάνατον προμηνύει, εἰ μὴ προῆλθε κύστεως κακουμένης. αἱ δ' ὀροβώδεις χυμάτων ὑποστάσεις ἐκ σαρκικῆς ῥέουσι πάντως οὐσίας. οὔρου δὲ τριττῆς τυγχανούσης οὐσίας (τὸ μὲν γάρ ἐστι χρῶμα, δεύτερον χύμα, ὑπόστασις δὲ καὶ τελευταῖον τρίτον), ἢ μᾶλλον εἰπεῖν, τοῦ παρεγκεκραμένου, τριττὴ πέφυκε κλῆσις, ἁρμόττουσά πως πρὸς τὴν θέσιν κάλλιστα καὶ τὸ χωρίον. ὑπόστασις γὰρ ἡ κάτω τεθειμένη, τὸ δ' αὖ μεταξὺ χύματος περιπλέον καλοῦσιν αἰώρημα προσφυεῖ λόγῳ, τὸ τὴν ἄνω χώραν δὲ προσφυῶς ἔχον νέφος καλοῦσιν, οἱ δὲ πολλοὶ νεφέλην. οὔρου δὲ τριττῆς τυγχανούσης οὐσίας οὐ πάντα πᾶσι μίγνυται φύρδην ἅμα. λεπτὸν γὰρ οὖρον τὴν φύσιν καὶ λευκόχρουν ἄπεπτον οὐ δέξαιτο μίξιν εἰκότως τοῦ νεφοειδοῦς σώματος τῆς οὐσίας· πῶς γὰρ συνέλθοι πέψις εἰς ἀπεψίαν; κἂν πυρρόν ἐστι κἂν ὠχρὸν κἂν ξανθόχρουν, μένει δὲ λεπτόν, οὐ κραθείη τῷ νέφει. Κείσθω δὲ ταῦτα μέχρι μοι τοῦ μετρίου· πολλὴ γάρ ἐστι μίξεων ποικιλία, ἐμοὶ δὲ γνώμη καὶ σκοπὸς τῶν ἐμμέτρων μὴ πάντα πάντως συλλαβεῖν τὰ τῆς τέχνης, μικρὰν τεκεῖν ὄρεξιν ἀνδράσι φίλοις, γραμματικοῖς, ῥήτορσι καὶ φιλοσόφοις, τῆς τῶν ἰατρῶν ἀκριβεστάτης τέχνης, ὅπως ποθοῦντες τὰς χάριτας τοῦ μέτρου σὺν τῷ μέτρῳ λάβωσι καὶ τὰ τῆς τέχνης. ἀρκοῦντες οὖν δὴ ταῦτα τῶν οὔρων ὅροι. Τῶν πυρετῶν δὲ γνῶσιν ἐντεῦθεν λάβε. Ὅρος πέφυκε πυρετοῦ τῆς οὐσίας παρατραπεῖσα θερμότης τῶν σωμάτων ἐκ καρδίας ῥέουσα ταῖς ἀρτηρίαις καὶ πρὸς τὸ πᾶν χυθεῖσα σώματος πέρας καὶ τὰς ἐνεργοὺς δυνάμεις τε καὶ φύσεις σαφῶς καταβλάπτουσα τῇ δεινῇ ζέσει. ἡ θερμότης δὲ ποιότης δεδειγμένη τὸ μᾶλλον εἰσδέξαιτο καὶ τοὐναντίον. ὡς οὐσίας δὲ {τοῦ} πυρετοῦ <..........> διαιρέσεις διδοῦμεν ἀκριβῶς δύο· διαφορὰς μάλιστα ταύτας ῥητέον. ἄλλη μέν ἐστιν οὐσιώδης τῷ λόγῳ, ἐπουσιώδης ἀκριβῶς ἡ δευτέρα. τοῦ σώματος δὲ τριπλεκοῦς πεφυκότος, ἐκ πνευμάτων ὑγρῶν τε καὶ στερεμνίων, ὁ μέν τίς ἐστι πυρετὸς τῶν πνευμάτων, ὑγρῶν τις ἄλλος, ἄλλ<ος αὖ στερεμνίων>. πρῶτον δὲ πάντων σκεπτέον τῷ τεχνίτῃ τὴν τῆς ὕλης ὕπαρξιν, ἥτις τυγχάνει· ψυχρά τίς ἐστι καὶ παχεῖα τὴν φύσιν ἢ ποιότητας τὰς ἐναντίας ἔχει; ἔπειτα τοῦτο δευτέρως τηρητέον· ἄσηπτός ἐστιν ἢ πάλιν σεσημμένη; εἶτ' αὖθις ἄλλο μᾶλλον ἀκριβωτέον· ἐκτὸς πέφυκε τῶν φλεβῶν <ἡ ποιότης> ἢ φλεψὶ χρῷτο μᾶλλον οἰκητηρίοις; οὐ πάντα καὶ γὰρ πάντα δρῶσι τῇ φύσει, ἔχει δ' ἕκαστον τὸν κατάλληλον λόγον. Τὸ προσφιλὲς γὰρ αἷμα καὶ τηροῦν φύσιν, ἄσηπτον, ὄν, πλεῖστον δέ, καὶ φλεβῶν ἔσω, πληθωρικὸν δράσειε σώματος φύσιν ἢ πυρετῶν ἄτμητον ἐν ζέσει γένος· εἰ τυγχάνει δὲ τῇ φύσει σεσημμένον, ὕλης σαπείσης πυρετούς σοι δεικνύει· εἰ δ' εἰς ἓν ἐκρεύσειε σώματος μέρος, σαπὲν μὲν ἐργάσαιτο τὰς ἀποστάσεις, ἅς φασιν ἀπόστημα τεχνικοὶ λόγοι, εἰ δ' οὐ σαπῇ, βλάστημα φοινικοῦν φύσει. Τὸν αὐτὸν ἕξει καὶ χολὴ τούτοις τρόπον· εἰ μὲν γὰρ εἰς ἅπασαν οὐσίαν δράμοι εἰλικρινής, ἄσηπτος, ἴκτερον δράσει, σαπεῖσα δ' ἐργάσαιτο καύσων' ἐν βάθει· ἐκτὸς δὲ τυγχάνουσα τῶν φλεβῶν πάλιν τριταῖον ἐργάσαιτο τὸν κεκομμένον· εἰ δ' ἐγχυθείη σώματος πρὸς ἓν μέρος, ἕρπητα μὲν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πλάσειεν οὐ σεσημμένη, σεσημμένη δ' ἕρπητα βιβρώσκοντά πως. Χυμὸς δ' ὁ δεινὸς καὶ μελάγχρους τὴν φύσιν, εἰ πᾶν συνέξει, σῆψιν οὐ δεδεγμένος μέλανα ποιήσειεν ἴκτερον φύσει, σεσημμένος δὲ τὴν τεταρταίαν ζέσιν, ἄτμητον ἐντός, εἰ δὲ μή, τετμημένην· εἰ δ' αὖ ἐπεισφρήσειεν εἰς ἓν χωρίον, σκίρρον μὲν ἐργάσαιτο μὴ σεσημμένος, σεσημμένου δὲ πολλὰ τεχθῇ θηρία, γάγγραινα, φαγέδαινα, πολλοὶ καρκίνοι. Τοῦ φλέγματος δὲ πολλαπλοῦ πεφυκότος (τὸ μὲν γὰρ ὡς ὕαλος αὐτὸς τυγχάνει, τὸ δ' ἁλυκὸν πέφυκεν, ὀξῶδες τρίτον, τὸ δὲ γλυκείας ποιότητός ἐστί πως), ὅπερ πέφυκεν ὡς ὕαλος τὴν φύσιν, τρόμων ἀνεκθέρμαντον ἐκφύσει φύσιν· τὸ δ' αὐτό σοι δράσειεν ὀξῶδες γένος· τὸ δ' ἁλυκόν τι πυρετοὺς καθ' ἡμέραν, ἀμφημερινοὺς προσφυῶς κεκλημένους· τὸ δὲ γλυκὺ προσηνές ἐστι τῇ φύσει. Γνωρισμάτων δὲ πυρετῶν ἐφημέρων ἡ γνῶσις αὕτη· πέψις οὔρων αὐτίκα, τὸ θερμὸν ἡδύ, τοῦ νοσοῦντος ἡ φύσις οὐ δυσφόρως φέρουσα τὴν ἀρρωστίαν, ἀρτηριῶν κίνησις οὐ τονουμένη. θυμοὶ δὲ τούτων αἴτιοι καὶ φροντίδες ἀγρυπνία τε καὶ κόπος καὶ ξηρότης, ἔγκαυσις ἢ σύντασις ἠδ' ἀσιτία. Τῆς σήψεως δὲ πυρετοὺς τοὺς ἐκγόνους ἐξεικονίζει θερμότης καὶ ξηρότης, δεινή, δριμεῖα, καὶ καπνώδης ἐσχάτως, μικροῦ κατεσθίουσα καὶ τοὺς δακτύλους· οὔρων ἔπειτα συμφυὴς ἀπεψία. Τῶν δὲ τριταίων κήρυκές σοι μυρίοι· ῥῖγος κλονῶδες, δίψος ἀκριβῶς φλέγον, ζέσις πυρίπνους, εἶτά πως ἡττωμένη, ἱδρὼς ἕτοιμος, εἰ ποτῷ χρήσαιό μοι, γαστρὸς τάραξις καὶ χολῆς ἀποβλύσεις, ὡρῶν δυοκαίδεκα τῇ ζέσει χρόνος. Σημεῖα δ' ἄλλα τοῦ τεταρταίου τρόμου· ψῦξις τὸ πρῶτον ἀσθενής τε θερμότης, οὖρόν τε λεπτόν, ὑδατῶδες, λευκόχρουν, σφυγμοί τ' ἀραιοὶ καὶ μέγιστοι πολλάκις. Ὁ δ' αὖ βαρύνων τὴν φύσιν καθ' ἡμέραν ἀμφημερινός ἐστιν ἠκριβωμένος· οὗ πρῶτόν ἐστιν ἀκριβὲς γνώρισμά τι ψῦξις δυσεκθέρμαντος, οὐ πολλὴ ζέσις, αὖθις κένωσις φλέγματος παχυτάτου, χροιά τις ὠχρόλευκος, οὔρων λεπτότης ἐρυθρότης τε πολλάκις καὶ παχύτης. Ὁ δ' ἠπίαλος συνθέτως κεκλημένος ἀμφημερινῷ σύγγονός πως τυγχάνει, ἐξ ὑαλώδους φλέγματος τετεγμένος, οὗ μὴ σαπέντος, ἐνσπαρέντος δ' εἰς ἅπαν, ῥίγους ἀνεκθέρμαντον ἀνθήσει φύσιν· ἐξ ἡμισείας δ' εἰ σαπῇ, τῇ διπλόῃ καὶ διπλόην ἔφυσεν ἀρρωστημάτων· ᾧ μὲν γὰρ οὐ σέσηπεν ἐμβάλλει ῥῖγος, ᾧ δ' ἐτράπη δράσειε θερμότητά πως. οἱ μὴ τετμημένοι δὲ τοῖς τετμημένοις ὁμοιοτήτων τυγχάνουσι πλειόνων, μία γὰρ αὐτοῖς φύσεως ἀνισότης, τὸ μὴ τελευτᾶν εἰς ἀθέρμαντον τέλος. Καύσου δὲ συμπτώματα ταῦτα τυγχάνει· δῆξις στομάχου, δίψα συντεταμένη, μέλαινα γλῶσσα, προσφυὴς ἀγρυπνία, παρεκτροπή τε τοῦ φρονοῦντος πολλάκις. Τῶν ἑκτικῶν δὲ τοὺς φθάσαντας ἐν τέλει εἰς τὸν μαρασμὸν ὧδε θηράσαιό μοι, πολλαὶ γὰρ αὐτοὺς δεικνύουσιν εἰκόνες· τὰ πρῶτα <..........................> ξηραὶ <.............................> ξηρὸν μέτωπον καὶ μύσις τῶν βλεφάρων σφυγμοί τε πυκνοὶ δέρματός τε ξηρότης καὶ ζωτικοῦ στέρησις ἄνθους σωμάτων. Ἀμφημερινὸς δ' εἰ τριταίῳ συνδράμοι, ἄτμητος, ὡς ἔοικε, τῷ τετμημένῳ, ἡμιτριταίου συμπλάσειεν οὐσίαν. οὗτος δὲ διπλοῦς ἐστιν, ἢ κατὰ κρᾶσιν ἢ τοῖς πέρασι τῶν δυοῖν μεμιγμένος. ἀλλ' εἰ μὲν ἴσοι συνδράμωσιν οἱ δύο, φρίκην ἀπειργάσαντο τὴν καλουμένην, μέσως ἔχουσαν ψύξεώς τε καὶ κλόνου· τοῦ δραστικωτέρου δὲ τῶν συγκειμένων ἴδοις ἐναργεῖς καὶ πλέον τὰς δυνάμεις. Πάθη δὲ λοιμοῦ δεινά πως καὶ ποικίλα· παρεκτροπαὶ νοῦ καὶ χολῆς ἀποβλύσεις, τῶν ὑποχονδρίων τάσεις τε καὶ πόνοι, ψῦξις, ἱδρῶτες, καὶ διάρροια πλέον, οὖρον χολῶδες, θώρακος σφοδρὰ ζέσις, δίψα δριμεῖα, γλῶσσα συμπεφρυγμένη. Τῆς συγκοπῆς δ' αὖ αἴτια ταῦτα φρόνει· ἀγρυπνίαν, κένωσιν, ἄλγημα τρῦχον. Σύντηξίς ἐστι τῆς καθ' ἡμᾶς οὐσίας φθορὰ πρόδηλος γαστρόθεν κενουμένη. Ὀρέξεως ἔκπτωσις ἐκ διττοῦ τρόπου· χυμῶν πονηρῶν κράσεώς τε δυσκράτου. Ὁ βούλιμος δὲ παντελὴς ἀσιτία. ἡ δ' αὖ κυνώδης τῆς ὀρέξεως τάσις ἐκ φλέγματος μέν ἐστιν ὀξώδους φύσει, τοῦ δ'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐσθίειν πέφυκε πῦρ ἀπληστίας. Ἡ ναυτία πέφυκε γαστέρος κλύδων, χυμῶν πονηρῶν ὧδε συμπεπλεγμένων. Τὸν λυγμὸν ἢ κένωσις αὔξει γαστέρος ἢ μᾶλλον ἡ πλήρωσις ἀντεστραμμένως. Τοῦ λειποθυμεῖν καὶ κένωσις αἰτία καὶ πῦρ φλογίζον ἐμφύλως τὴν καρδίαν, ἄλγος κεφαλῆς, φλεγμονὴ τῶν ἐγκάτων, παρατροπή τε τῶν φρενῶν τεταμένη. Ἐκ ξηρότητος τὴν φαλάκρωσιν φρόνει· ταὐτοῦ γένους τίθει δέ, πλὴν τῶν σχημάτων, ἀλωπεκίτας, ὀφεωνύμους τύπους. Ἡ πιτυρώδης τῆς κεφαλῆς οὐσία χολῆς δριμείας, αἵματος μελαγχόλου, καὶ φλεγμάτων αὖ ἁλμυρῶν γέννημά τι. Ἀχὼρ κεφαλῆς δέρματος γλίσχρον πάθος τιτρῶν τὸ δέρμα, τοῖς μελιττῶν κηρίοις ἐοικὸς εἰς τύπωσιν ἀκριβεστάτην· γεννᾷ δὲ τοῦτο φλέγμα νιτρῶδες μόνον. Ὅταν ἴδῃς βλάστημα πυρρόν, στρογγύλον, ἑλκῶδες, ὑπόσκληρον, ἀλγῦνον φύσιν, σῦκον τὸ βλαστὸν ὡς φερώνυμον κάλει. Ἄλγος κεφαλῆς δύσφορον σύμπτωμά τι, γεννᾷ δὲ τοῦτο δύσκρατός τις ποιότης χυμῶν τε πλῆθος, καὶ δυοῖν συζυγία, ἔγκαυσις αὖθις, ψῦξις, ἀλλὰ καὶ μέθη, ἡ θερμότης, μᾶλλον δὲ πληγὴ καιρία· ἡ ξηρότης δ' ἔλαττον ἀλγύνει κάρην, ἀνώδυνον δὲ τὴν ὑγρὰν γίνωσκέ μοι. τῶν αἰτίων δὲ τὰς ἀδήλους οὐσίας καὶ δέρμα δηλοῖ καὶ βολὴ τῶν ὀμμάτων. Πάθος κεφαλῆς τὴν κεφαλαίαν νόει, τὴν ἡμικρανίαν τε τοιοῦτον φρόνει· παραίτιοι γὰρ ἐμμόνων ἀλγημάτων, ἡ μὲν τὸ πᾶν πλήττουσα δεινῶς κρανίον, ἡ δ' ἐκ μέρους τύπτουσα πληγαῖς καιρίαις. αὔξει δὲ τούτων τῶν παθῶν τὴν οὐσίαν οἶνος πολὺς κραυγή τε καὶ σφοδρὸς ψόφος καὶ λαμπρότητες φωτοειδεῖς πολλάκις. ἀλλ' οἷς μὲν ἔνδον τῆς κεφαλῆς ἡ πάθη, ἀλγοῦσι τούτοις αἱ βάσεις τῶν δηγμάτων· οἷς δ' ἐκτός ἐστι τοῦ πάθους ἡ σφοδρότης, τούτοις δυσαλθὲς γίνεται τὸ κρανίον. Ἡ δὲ φρενῖτις φλεγμονὴ κεκρυμμένη μήνιγγας ἐκκαίουσα τοὺς πεπλεγμένους ἢ καὶ τὸν ἐγκέφαλον ἀρρήτῳ πάθει. γεννᾷ δὲ ταύτην αἷμα πλεῖστον πολλάκις χολή τε δίχρους, ἡ μέλαινα τὸ πλέον, μετατραπείσης ὧδε τῆς ξανθοχρόου. καὶ τῶν φρενῶν δὲ τῷ πάθει βεβλημένων πέπονθεν ἐγκέφαλος ὡσαύτως ἄνω· ἐκ τῶν ἄνω γὰρ τῆς κάρας ἀκροστέγων νεύρων κάτεισιν εἰς φρένας συζυγία, δι' ὧν κεκοινώνηκε τοῦ σφοδροῦ πάθους ἡ τῆς κεφαλῆς συμπαθής πως οὐσία. δηλοῖ δὲ ταύτην συμφυὴς ἀγρυπνία λήθη τε πάντων, ὄμμα πλῆθον αἱμάτων, γλῶσσα τραχεῖα καὶ βοὴ πεφυρμένη καὶ ψηλάφησις δακτύλων ἄνευ λόγου, ἀναπνοῆς κίνησις ἠραιωμένη σφυγμοί τ' ἀμυδροὶ καὶ μικροί, σκληροὶ πλέον. Τὴν ἐρυσιπέλατον ἔμφυτον φλόγα οὐδ' ἐγκέφαλος ἐκδιδάσκει πολλάκις· καὶ γνωρίσαις ἄδηλον οἷς ὁρᾷς πάθος ἄλγει κεφαλῆς, λαμπροτήτων ἐμφάσει, ὑγρῷ προσώπῳ καὶ ψυχρῷ δεδειγμένον. Λογιστικοῦ πάθημα λήθαργον φρόνει ἐκ φλέγματος γέννησιν, οὐσίαν ἔχον. ληθαργικὰ δὲ ταῦτα σημεῖα φρόνει· ὕπνον πολὺν χάσμην τε, πνεύματος τάσιν, τὴν τῶν περιττῶν ἐκκένωσιν ποικίλην, σφυγμοὺς κλονώδεις καὶ τρόμους τῶν σωμάτων. Ἡ κατοχὴ πάθος τι δεινὸν τῇ φύσει, πλήρωσις οὖσα τῶν φρενῶν τοῦ χωρίου, νέκρωσις αὐτόχρημα τοῦ πεπονθότος· κεῖται γὰρ οὗτος ὕπτιος τεταμένος ἔχων τε τὸ βλέφαρον ἠνεῳγμένον, μὴ σκαρδαμύττον, ὥσπερ ἐκπεπληγμένον, σφύζον ἀμυδρῶς, ἀσθενῶς, παρειμένως. ἔστι δὲ τοῖς πάσχουσι διπλοῦς τις λόγος· ἢ φλέγματος γὰρ ἰσχύσαντος τὸ πλέον ἢ τῆς χολῆς πέπονθε τούτοις ἡ φύσις. διαιρέσεις δ' ἴσχουσι πρὸς τὴν φρενῖτιν καὶ τὸν βαρὺν λήθαργον· εἰ γὰρ καὶ μέσως ἔχουσιν ἄμφω, πλὴν διαιροῦνται πάλιν. ἄλλοι δέ φασι μὴ διπλῆν τὴν οὐσίαν, ἁπλῆν δ' ὑπάρχειν τοῦ λελεγμένου πάθους· ξηρὰ γὰρ ὕλη τὰς ὀπισθίους πύλας, ἃς κοιλίας λέγουσι τεχνικοὶ λόγοι, φράττουσα πυκνῶς τῆς ὑπερθύρου κάρας τὴν κατοχὴν ἤνεγκεν οὐ ψευδωνύμως. ὁ γὰρ πεπονθὼς καὶ κατασχεθεὶς ἄφνω, ὡς ἦν κρατηθεὶς σχήματός τε καὶ τύπου, μένει κατ' αὐτό, μὴ λυθέντος τοῦ πάθους. Τάφος δὲ μνήμης δύσκρατός τις ὑγρότης, μωρώσεως δὲ καὶ κάρου ἡ ψυχρότης, τῶν ἐγκεφάλου κοιλιῶν πεφραγμένων. Ἡ δὲ σκότωσις καὶ δίνη καλουμένη στροφή τίς ἐστι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῆς κεφαλῆς πνευμάτων καὶ κοιλιῶν σύντριμμα τῶν ἐμπροσθίων. Τὴν ἐπιληψίαν δὲ τοιαύτην μάθε. τοῦ σώματος πέφυκεν ἀθρόον κλόνος, σπασμός, πάθους σύμπτωμα δεινὸν ἐκτόπως, τὰς κρείττονας βλάπτουσα πάσας δυνάμεις. διττὴν δὲ τούτου τοῦ πάθους τὴν οὐσίαν ἰατρικοὶ λέγουσιν ἔντεχνοι λόγοι· ἢ φλέγμα δεινὸν ἢ χολὴν μελαντέραν τὸν ἐγκέφαλον, τὰς ἐν αὐτῷ κοιλίας πιλοῦσαν ἢ φράττουσαν ἐμφύτῳ βάρει. θώραξ τε πάσχων, πολλάκις καὶ κοιλία, καὶ χεὶρ κακῶς ἔχουσα, καὶ μήτρα πλέον, κύτος τε γαστρός, χεῖρες αὖθις καὶ πόδες, καὶ δάκτυλός τις ἢ μέρος τῶν δακτύλων τὸ δεινὸν εἰργάσαντο τοῦ κακοῦ πάθους, ψυχρὰς ἀναβλύσαντος αὔρας ἐκ βάθους καὶ τὴν κάραν πλήξαντος ἰώδει βέλει. γνώσῃ δὲ τοῦτο καὶ προγνώσῃ πανσόφως δυσθυμίαν ἄγνωστον εἴς τινα βλέπων ψυχῆς τε δεινὴν ἀπροαιρέτως τάσιν, ὠχρὸν πρόσωπον, γλῶτταν ἡνίας ἄνευ, ὕπνον ταράκτην, συμφορὰς ὀνειράτων. κἂν μὴ πρὸς αὐτὰ φαρμάκοις χρήσαιό μοι, ἴδοις ἂν αὐτὴν τὴν σκότωσιν αὐτίκα. Μελάγχολον δὲ καὶ μανιῶδες πάθος παρατροπὴ πέφυκε πυρετοῦ δίχα· ἢ τῆς κεφαλῆς συμπαθῶς κλονουμένης ἢ συμπαθούσης τοῖς πεπονθόσι τόποις, ἢ τοῦ στομάχου τῷ πάθει βεβλημένου τῶν ὑποχονδρίων τε συμπεπονθότων, ἀνερρύη κάτωθεν αὖρα πικρίας τὸν ἐγκέφαλον συνθολοῦσα ποικίλως. σημεῖα τούτῳ δειλία, δυσθυμία, γέλως ἄτακτος, εἶτα πένθος ἀθρόον, ἀπεψία, κίνησις ὀξυρεγμίας, προγνώσεως οἴησις, ἔμφοβος τρόμος, πάθη πολυστένακτα, μισανθρωπία, ἐνθουσιασμός, συμφορῶν ἀναπλάσεις. Δεινὸν πάθος πέφυκεν ὁ πνιγαλίων, ὃν ἐφιάλτην ὠνόμασαν οἱ πάλαι, ἐφάλλεται γὰρ ἐξ ἀπέπτου γαστέρος εἰς τὴν κεφαλὴν οἷα καπνώδης φύσις. νυκτὸς δὲ μᾶλλον γίνεταί πως ἡ πάθη. καὶ συμπεσόντος ἐξαπίνης τοῦ πάθους ναρκῶν ὁ πάσχων δείκνυται νάρκην ξένην· νοῶν γὰρ ὡς πέπονθεν, οὐ σθένει λέγειν, ἀλλ' οἴεται μὲν καὶ κινεῖσθαι καὶ λέγειν, μένει δὲ ναρκῶν τῇ κλίνῃ βεβλημένος· δοκεῖ δὲ καὶ βάσταγμα δύσφορον φέρειν, φαντάζεται δὲ τοῦτο πολλάκις βλέπειν, ὁρᾷ δὲ μηδὲν ὧν δοκεῖ σάφ' εἰδέναι. κἂν μή τις ἰάσαιτο τοῦτον φαρμάκῳ, δεινῇ πεσεῖται συμφορᾷ νοσημάτων. Μελάγχολόν τι πρᾶγμα λυκανθρωπία· ἔστι γὰρ αὐτόχρημα μισανθρωπία, καὶ γνωριεῖς ἄνθρωπον εἰσπεπτωκότα ὁρῶν περιτρέχοντα νυκτὸς τοὺς τάφους, ὠχρόν, κατηφῆ, ξηρόν, ἠμελημένον. Τὴν ἀποπληξίαν δὲ χείρονα φρόνει παθῶν ἁπάντων, ὡς νεκροῦσαν αὐτίκα. ἔμφραξις αὕτη καὶ πίλησις ἀθρόα τῶν ἐγκεφάλου κοιλιῶν τῶν μειζόνων, ὧν ἐμφραγεισῶν πᾶσα σώματος φύσις αἰσθήσεως ἄμοιρός ἐστιν αὐτίκα· μέρους δ' ἐν αὐτῷ τὴν πάθην δεδεγμένου ἐξ ἡμισείας τοῖς παθοῦσιν ἡ βλάβη· τοῦ δ' αὖ γε νώτου τὸ βλάβος πεπονθότος τὰ τοῦ προσώπου συμβλαβήσεται κάτω, ὁ δ' ἐγκέφαλος τὴν κάκωσιν οὐ πάθοι. Μυῶν ῥαχιτῶν συνταθέντων ἀθρόον τετανικὸν πάθημα τὴν τάσιν λέγει· ψυχροῦ χυμοῦ γέννημα δ' ἐστὶν ἡ πάθη. ἀλλ' εἰ μὲν εἰς τοὔμπροσθέν ἐστιν ἡ τάσις, ἐμπρόσθιον λέγουσι τὴν βλάβην τόνον, ὀπίσθιον δ' αὖ, εἴπερ ἦν ὀπισθία· ἰσόρροπος γὰρ εἴπερ ἐστὶν ἡ βλάβη, ἀσύνθετος τέτανός ἐστιν ἡ νόσος. Τρόμον κατεργάσαιτο καὶ ψυχρὰ πόσις καὶ γῆρας αὐτὸ καὶ ψυχρὰ δυσκρασία χυμός τε γλίσχρος καὶ φόβος καὶ ψυχρότης. Ἡ μὲν τάραξις ὑγρότης τῶν ὀμμάτων καὶ θερμότης σύμμικτος ἔκ τινος πάθους ἔξωθεν εἰσρέοντος εἰς τὴν οὐσίαν· ὀφθαλμία γὰρ ἡ τάραξις τυγχάνει. Χήμων δέ ἐστι τῶν βλεφάρων ἡ τάσις, ὡς μὴ καλύπτειν τοὺς κύκλους τῶν ὀμμάτων. Τὸ τῶν φλεβῶν δὲ ῥῆγμα τοῦ προσκειμένου πέφυκεν ὑπόσφαγμα, πληγῶν ὂν τόκος. Τὸ δ' ἐμφύσημα τῆς βλεφάρων οὐσίας ὄγκωσίς ἐστιν. ἡ δὲ ψωροφθαλμία κνησμός τις ἡδὺς ἐκ νίτρων καὶ φλεγμάτων. Ἡ σκληροφθαλμία δὲ δυσκινησία ὑγρασίας ἄνευθεν αὐτῶν ὀμμάτων· ἡ ξηροφθαλμία δὲ κνησμώδης πόνος. Τὸ δ' ἐκτρόπιον ὄγκος ἐστὶ σαρκίου ἐπηρεάζον τοῦ βλεφάρου τὴν φύσιν. Τὸ δὲ τράχωμα τοῦ βλεφάρου τραχύτης· σύκωσις ἡ σύντασις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτοῦ τοῦ πάθους· τύφλωσις ἡ μάλιστα τοῦ κακοῦ τάσις. Χαλάζιον δέ ἐστιν ὑγροῦ τις τάσις ἐν τῷ βλεφάρῳ συμπαγέντος ἀθρόον. ἡ δὲ κριθὴ πρόμηκες ἐν ταρσῷ πάθος. Τὸ τῶν τριχῶν ψίλωμα τῶν βλεφαρίδων μίλφωσιν ὠνόμασαν ἔντεχνοι λόγοι. Ἐγκανθίς ἐστι κανθὸς ἐξωγκωμένος· ῥυὰς δέ γ' ἡ μείωσις αὐτῶν τυγχάνει. Πρόπτωσις ἐξόγκωσις ἔκ τινος πάθους τοῦ ῥαγοειδοῦς ὑμένος κεκλημένου· πλὴν τὴν μικρὰν μὲν μυοκέφαλον λέγε, τὴν δ' αὖ γε μείζω σταφύλωμά μοι κάλει· ἔπειτα μῆλον· ἧλός ἐστιν ἐσχάτη, ἧλον δὲ καὶ λεύκωμα ταὐτόν μοι φρόνει. Ἡ δὲ πτέρυξ πέφυκε νευρῶδες πάθος, ὄγκωσις αὐτοῦ τοῦ γε προσπεφυκότος. Τὸ καρκίνωμα τοῦ κέρως δεινὴ νόσος. Ἡ δ' ἀνθράκωσις τῆς βλεφαρίδος πάθος. Ἡ μυδρίασις ὑγρότητος ἐκγόνη, αὐτῆς κόρης πάθημα πεπλατυσμένης, ὥσπερ πέφυκεν ἡ φθίσις στενουμένης. Ὁ νυκτάλωψ σκότωμα δύντος ἡλίου. Γλαύκωμα δεινὸν ἠδ' ἀνίατον πάθος, ὑγρά τις ἀλλοίωσις ἐν τῷ κρυστάλῳ μετάστασίς τε πρὸς τὸ γλαῦκον τῆς χρόας. Τὸ δ' ὑπόχυμα τοῦ κέρως καὶ κρυστάλου ὑγρὰ μεταξὺ σύστασις κεχυμένη. Μικρὰν ζόφωσιν τὴν ἀμαύρωσιν φρόνει· τὴν ἀμβλυωπίαν δὲ σύγχυσιν θέας. Ὁ δὲ στραβισμὸς τῶν κινούντων σωμάτων σπασμός τίς ἐστι καὶ μυῶν λοξὴ τάσις, ἢ σπέρματος πέφυκεν ἔμφυτον πάθος· εἰ δ' ἐκ χολώδους οὐσίας ἀναρρόπου τὰς συστάσεις εἴληφεν, ἰάσαιό πως. Παρωτίς ἐστι τῶν παρ' ὠσὶν ἀδένων ὄγκωσις, ἢ σύρροια χυμῶν πλειόνων, ὕλης ῥυείσης ἐκ κεφαλῆς ἀθρόας. Μόγκωσίς ἐστιν ἐμφραγέντων ἀθρόον τῶν ἰσθμοειδῶν ὀστέων ἐκ φλεγμάτων. Φάρυγξ πεπονθὼς τοὺς ἐσωτέρους μύας ποιεῖ συνάγχην, εἰ δὲ τοὺς ἔξω γνάθου, παρασυνάγχην προσφυῶς κεκλημένην. λάρυγξ τε πάσχων τοὺς ἐσωτέρους μύας ποιεῖ κυνάγχην προσφυῶς κεκλημένην· <...............................> παρακυνάγχην, ὥσπερ ἠλαττωμένην. Βὴξ καὶ κόρυζα καὶ κατάρρους, τὰ τρία, ὕλης μιᾶς γέννημα δυσφορωτάτης· γεννᾷ γὰρ αὐτὰ τῆς κεφαλῆς ὑγρότης. ἀλλ' εἰ μὲν εἰς μυκτῆρας ἡ ῥύσις φθάσοι, κόρυζαν ἐργάσαιτο τοῦ μέρους πάθος· εἰ δ' ἄχρι τοῦ φάρυγγος αὕτη προδράμοι, ποιεῖ κατάρρουν· εἰ δὲ συρρεύσει κάτω, τὴν βῆχα γεννᾷ τὴν κακήν, τὴν βυθίαν. τίκτει δὲ ταύτην καὶ ψυχρὰ δυσκρασία, θερμή τις αὖθις, πυρετοῦ πεφυκότος. Πνεύμων τε πάσχων καὶ φθίσις καὶ πλευρῖτις. Ἀσθματικός τις, εἰ πυκνῶς ἀναπνέει· εἰ δ' ὀρθὸς ἑστώς, ὀρθόπνους ἐκ τοῦ πάθους. ὕλη δὲ τούτων τῶν δυοῖν παθημάτων ὕλη παχεῖα, γλίσχρος, ἰξώδης φύσει, τοῦ πνεύματος φράττουσα δεινῶς τοὺς πόρους. Πάθος τι δεινὸν ἡ περιπνευμονία, τῆς σπογγοειδοῦς φλεγμονή τις οὐσίας, ἢ τῶν κατάρρων ἔγγονος δεδειγμένη ἢ πρῶτον ἐκφανεῖσα συμφύτῳ πάθει. δύσπνοιά σοι κάτοπτρον ἔσται τοῦ πάθους στήθους τε ῥεγμὸς καὶ γνάθων ἐρυθρότης, τῶν ὀμμάτων ὄγκωσις, ἔμπυρος ζέσις, ἡ τῶν χιτώνων λιπαρὰ θεωρία· φλεβὸς ῥαγείσης αἵματος βλύζει φύσις, καὶ συσσαπείσης ἧττον αἷμα συρρέει, βεβρωμένης δ' ἔλαττον, ἀλλ' οὐδ' ἀθρόον, πλεῖστον δὲ πλῆθος τῆς ἀναστομωμένης, ἢ μηδὲν ἀλγύνουσα λύσει τὸ πλέον αἱμορροΐδας καὶ στάσεις καθαρσίων. ἀλλ' οὐδὲ ῥῆξις συμφορῶν παραιτία· μόνην δὲ δεινὴν τὴν ἀνάβασιν νόει. ἀλλ' εἰ μὲν ἐκ φάρυγγος αἷμ' ἀπορρέοι, τῶν τοῦ στομάχου χωρίων ἀναρρέει, σὺν βηχὶ δ' ἐκβλύσειεν ὧν τις ἐκπνέει. ἀλλ' εἰ μὲν ἀφρῷ προσφερής πως τυγχάνει νόθου τε λευκοῦ χρωματίζει τὸ χρῶμα ἀνωδύνως τ' ἄνεισι θλίψεως ἄνευ, ἐκ πνεύμονος ῥεῖ καὶ κτενεῖ πεπονθότας· εἰ δ' ὡς ὑποχρέμπτοιτό τις τὴν οὐσίαν, ἐκ τῆς τραχείας ἔσθ' ὁ ῥοῦς ἀρτηρίας· εἰ δ' αὖ μελάγχρους αἱμόπτυστος ἡ χύσις, ἐκ θώρακος πρόεισι θρομβωδεστέρα. Ἡ δ' ἐμπύησις θωράκων ἡλκωμένων ἐξ αἵματος πέφυκε, πλὴν ἀναρρόπου. Τὸ σπογγοειδὲς δ' εἰ βλύσειε πνευμόνων, φθίσις τὸ συμβάν, μὴ μύοντος τοῦ πάθους. Ἡ πλευρῖτις δὲ φλεγμονή τε καὶ ζέσις τῆς ζωννυούσης ὑμενώδους οὐσίας πλευρὰς ἁπάσας ζέματος λεπτοῦ τάσει, ᾗ συμβέβηκε βήξ τε καὶ σύμπνοιά πως καὶ κλειδὸς ἄχρι συντεταμένος πόνος. διακρινεῖς δὲ τὴν ἀληθῆ πλευρῖτιν τῆς ἡπατώδους



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φλεγμονῆς διττῷ πάθει· ἡ μὲν γὰρ ἴσχει νυγματώδη τὸν πόνον, καὶ βῆχα διττήν, πῇ μὲν ἄπτυστον μόνως, δεικνῦσαν ὡς ἄπτυστός ἐστιν ἡ νόσος, πῇ δὲ πτύελον μετρίως πεπεμμένον καὶ σφυγμὸν ἴσχει σκληρὸν ἐμπρίοντά τε· ἡ δὲ δριμεῖα φλεγμονὴ τῶν ἡπάτων οὐ νυγματώδη τὸν πόνον σοι δεικνύει, οὐ σφυγμὸν ἐμπρίοντα τῆς ἀρτηρίας, ξηρὰν δὲ βῆχα καὶ πρόσωπον λευκόχρουν. εἰ δ' ἐκτὸς οἰδήσειαν οἱ μύες μόνοι, κἂν πλευρῖτις πέφυκεν, ἀλλ' ὁμωνύμως, ὡς μήτε βήττειν μήτε μὴν πτύειν ὅλως· τῇ χειρὶ δ' εἰ ψαύσαιο τοῦ πεπονθότος, ἀλγύνουσι κάμνοντες αὐτίκα πλέον. Εἰ καρδία δὲ πρωτοτύπως σοι πάθοι, ἢ φλεγμονὴν ἔσωθεν ἢ δυσκρασίαν, ἢ καὶ ῥαγείη τὴν ἐπίπνουν κοιλίαν, θάνατον ὀξὺν τῷ παθόντι προσφέρει. εἰ δ' αὖ γε συμπάθειαν ἕξει δευτέρως, εἴτε πρὸς ἧπαρ εἴτε γαστέρος στόμα εἴτε πρὸς ἐγκέφαλον ἢ πρὸς κοιλίαν, συγκοπτικὸν δράσειε τοῖς ζῴοις πάθος καὶ λειποθυμήσουσιν οἱ πεπονθότες δεινῶς τ' ἐφιδρώσουσι συγκεκομμένως, παλμοί τε τούτοις συμπεσοῦνται καρδίας. Ἡ τοῦ στομάχου πολλάκις δυσκρασία πολλὴ ῥυεῖσα τὴν ὄρεξιν ἐκλύει. ἀλλ' εἰ μέν ἐστι δύσκρατός τις θερμότης, διψῆν ἀνάγκη, βορβορύττειν πολλάκις, τὰ ψυχρὰ πέττειν, καὶ στερέμνια πλέον· ψυχρὰν δὲ τεκμήραιο τοῖς ἐναντίοις. ἡ δ' ἐκ χυμῶν ὄρεξις ἐκβεβλημένη δηλοῖ τὸν ὠθήσαντα χυμὸν αὐτίκα, εἰ λεπτός ἐστι καὶ δακνώδης τὴν φύσιν, εἰ γλίσχρος ἐστὶν οἷα κολλώδης φύσει. ἀλλ' εἰ μὲν ἕξει τοὺς χυμοὺς ἡ κοιλία, ἐμοῦσι τούτους οἱ νοσοῦντες αὐτίκα· εἰ δ' ἐν χιτῶσίν εἰσιν ἐμπεπλασμένοι ἢ καὶ ποθέντες ταῖς ἐκείνων οὐσίαις, κἂν ναυτιῶσιν, οὐκ ἐμοῦσι τὸ πλέον. Ἐμπνευμάτωσίς ἐστι γαστρὸς μὲν πάθος, ἀτμὸς μὲν χυμῶν, εἴτ' ἀπέπτων σιτίων· γεννᾷ δὲ τούτους θερμότητος χαυνότης. Ἡ χολερὰ δ' αὖ ἐκτάραξις γαστέρος ἄνω κάτω κενοῦσα τὴν φθορὰν μόλις, ἐκ τῶν ἀπέπτων σιτίων τελουμένη· γεννᾷ δὲ ταύτην καὶ χυμῶν μοχθηρία. Τὴν λειεντερίαν δὲ διπλῆν μοι νόει· ἢ γίνεται γὰρ ἐντέρων ἡλκωμένων ἕλκωσιν ἁπλῆν, μὴ λίαν βαθυτάτην, ἢ καὶ λυθείσης τῆς καθεκτικῆς θύρας λειεντερικὴ συμβέβηκέ πως νόσος· καὶ γὰρ πέφυκεν ἐκκένωσις βρωμάτων ἄπεπτος, ὑγρά, μηδαμῶς πεπεμμένη. τὸ δεύτερον δὲ τούτου τοῦ πάθους πάθος καὶ κοιλιακὸν ὠνόμασαν οἱ πάλαι. ἀμφοῖν δέ πως πέφυκε λεπτή τις κρίσις· ἀπεψία γάρ, εἴ γε συντεταμένη, τῶν ἐντέρων πάθη τις, οὐ τῆς κοιλίας. Τενεσμός ἐστι τοῦ κενοῦν προθυμία, βραχεῖαν ἐξάγουσα χυμῶν οὐσίαν. οἴδημα καὶ γὰρ φλεγμονῶδες ἐν τέλει κεντεῖ πρὸς ἐκκένωσιν, ἀπατᾷ δέ γε. Δυσεντερία δ' ἕλκος ἐστὶν ἐντέρων ἐκ συμπαθείας ἢ πάθους πρωτοσπόρου. ἀποκρίσεις δὲ δεικνύουσι τὴν βλάβην πρῶτον χολώδεις, εἶτα καὶ ποικιλίαι ἰχωροειδεῖς, αἱματώδεις τὴν φύσιν τῆς ἑτέρας χολῆς τε τῆς μελαγχρόου. ἀλλ' εἰ μὲν ἐκκρίνοιτο κοπρία μόνον, πάθος πέφυκεν ἐντέρων τῶν παχέων· εἰ δ' ἡ κόπρος πέφυκεν ἐξηλκωμένη, τῶν ἐντέρων δείκνυσι τῶν λεπτῶν βλάβην. Νόσος κολικὴ δυσφορώτατον πάθος. κόλον δέ ἐστιν ἔντερον κοῖλον μέγα, τῆς δεξιᾶς μὲν ἐκφυέν πως λαγόνος, τὴν δ' αὖ γε λαιὰν συμπεριπλέκον κύκλῳ, πλείστων ὀδυνῶν αἴτιον πεπονθόσιν. ἔχει δὲ πολλὰς τοῦ πάθους τὰς αἰτίας. χυμὸς γὰρ ἴσως δυσδιαίρετος φύσει. ἐν τοῖς χιτῶσι τοῦ κόλου ῥεύσας μέσον στρόφοις ἐνοχλεῖ καὶ πόνοις καὶ ναυτίαις φράττει τε πάσας τῆς κόπρου τὰς ἐξόδους· ποιεῖ δὲ τοῦτο συμφυὴς ἀπεψία ἐκ ποικίλων μάλιστα τῶν ἐδεσμάτων. καὶ πνεύματος δὲ πολλάκις πολλὴ ῥύσις τὴν τοῦ πάθους ἔπλασαν οὐσίαν μόνην, ζέσις τε πολλὴ φλεγμονῆς ἐγχωρίου δεινῶς θορυβεῖ τοῦ κόλου τὴν οὐσίαν. οὓς ἡ κένωσις τῶν περιττῶν πολλάκις ἔβλαψεν, ὠδύνησεν ἐμπύρῳ βέλει. Ὁ δ' εἰλεὸς σύμπτωμα δεινὸν τῇ φύσει. ὁ γὰρ κρατηθεὶς τῷ βροτοκτόνῳ πάθει ἐκ τοῦ φάρυγγος τὴν κόπρον παραπτύει. τούτῳ τε πολλαὶ προσβολαὶ τῶν αἰτίων, καὶ φλεγμονὴ γὰρ βρωμάτων τ' ἀπεψίαι, <.............> κύλισις τῶν ἐντέρων, τὸ δεινὸν εἰργάσαντο τῆς νόσου πάθος. Νεφρῶν πάθη κάκιστα, κύστεως πλέον, ἃ κοινά πως



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πέφυκεν ἄλγη τοῦ κόλου· ἀπεψίαι στρόφοι τε, κλεῖθρα γαστέρος, καὶ τρυπανώδεις τοῦ πεπονθότος πόνοι. διαίρεσις δὲ τῆσδε τῆς κοινωνίας αὕτη πέφυκεν ἐμφρόνως νοουμένη. τοῖς γὰρ κακῶς ἔχουσιν ἐν πάθει κόλου ἡ δεξιὰ πέπονθε λαγόνος φύσις, ἡ πικρία δὲ τῆς ὀδύνης τοῦ πάθους ἄνω κάτωθεν μέχρις ἥπατος τρέχει καὶ κλείεται κάτωθι πᾶς κόπρου πόρος, τὸ δ' οὖρον αὐτοῖς φλεγματῶδες εἰς ἄκρον. τοῖς δ' αὖ γε κύστιν καὶ νεφρὸν πεπονθόσι, τούτοις παρεμπέπηγεν ὁ σφοδρὸς πόνος, ναρκᾷ τε μηρὸς τοῦ κατ' εὐθεῖαν πόρου, λίθος τε τούτοις πλάττεται ποικιλόχρους· καὶ παιδίοις μὲν κύστις ἐξάγει λίθους, πλάττουσι δ' αὐτοὺς οἱ νεφροὶ τοῖς ἀνδράσι. νεφριτικῶν δὲ ταῦτα σημεῖα φρόνει· ἄπεπτον οὖρον, ἀλλὰ μὴν καὶ λευκόχρουν, τρίψεις ἔχον κάτωθι πολλῶν ψαμμίων, ἔπειξις εἰς οὔρησιν, αἰδοίων τάσεις· ὕλη δέ ἐστι τοῖς πεπλασμένοις λίθοις χυμὸς γεώδης ἐκ παχείας οὐσίας τῇ θερμότητι τῶν νεφρῶν πεφυρμένη. τὴν φλεγμονὴν δὲ τῶν πεπονθότων πόρων πύρωσις, ἄλγος ἀκριβώσει καὶ τάσις παρατροπὴ νοῦ, πῦρ καταφλέγον φύσιν, χολῆς κένωσις, οὖρον οὐκ ἐπιρρέον. Τὸ δ' ἧπαρ ὕλη ποικίλων νοσημάτων· ἁλίσκεται γὰρ φλεγμοναῖς, σκίρροις πλέον, ἐμφράξεσι μάλιστα ταῖς βροτοκτόνοις, ἐξασθενοῦν τε πρὸς τὸ πέττειν σιτία ἐργάζεται πάνδεινα τῇ φύσει πάθη. τὰς τέσσαρας γὰρ δυνάμεις κεκτημένον, εἰ μὲν κενοῖ δίυγρον οὐσίαν κάτω, τὴν ἑλκτικὴν πέπονθε δύναμιν μόνην· εἰ δ' ὡς κρεώδεις ἐξάγει τὰς οὐσίας, πρὸς τὴν μεταπλάττουσαν ἠσθένηκέ πως. ἔπειτα φλεγμήναντος ἥπατος φύσει τῷ δεξιῷ πέπηγεν ἐν βάθει πόνος δεινόν τε καῦμα τὴν φύσιν καταφλέγει, καὶ δίψα καὶ βήξ, ἀλλὰ καὶ δύσπνοία τις δεινῶς σπαράττει τὴν πεπονθυῖαν φύσιν. ἀλλ' εἰ μὲν εἴη τοῖς σιμοῖς τετρωμένον, καὶ λειποθυμήσουσιν οἱ πεπονθότες, ἕξουσι δ' αὖθις ὑδρικὰς παρεγχύσεις· εἰ δ' αὖ τὰ κυρτὰ φλεγμονῆς ἔχει τάσις, τοῖς δακτύλοις γνοίη τις ὄγκον αὐτίκα. Ὑδρωπικῶν δ' αὖ εἰσβολὴν παθημάτων καχεξίαν λέγουσι τεχνικοὶ λόγοι. ὁ δ' ὕδερος τί; ψῦξίς ἐστιν ἡπάτων, σκίρρωσιν οἷα καὶ ζέσιν πεπονθότων, ἢ συμπαθούντων τοῖς πεπονθόσι τόποις ὕδρωψ παρεβλάστησε δυσχερὴς νόσος, τὰς αἱματώδεις οὐκ ἔχουσα συστάσεις. ἀθροίζεται δ' ἐντεῦθεν ὑγρὸν πνεῦμά τε, μέσον πεφυκὸς ὑμένος τεταμένου καὶ τῶν ἑλικτῶν χορδοειδῶν ἐντέρων. κἂν μὲν τὸ πνεῦμα τῶν ὑγρῶν εἴη πλέον, ὕδρωψ ἐπλάσθη τῷ ψοφεῖν τυμπανίας· εἰ δ' ἐστὶ πλέον ὑγρότητος οὐσία, ὕδρωψ ἐτέχθη προσφυῶς πως ἀσκίτης· εἰ δ' ἐκχυθείη πρὸς τὸ πᾶν τῆς οὐσίας ῥοῦς αἱματώδης, φλεγματώδης τὴν χρόαν, ὕδρωψ ὁ λευκόφλεγμός ἐστι τῇ φύσει. Χυμοὺς δ' ὑφέλκων τοῖς πόροις μελαντάτους ἐξ ἥπατος σπλὴν τῇ καταλλήλῳ θέσει, ἐξασθενήσας ἢ φραγεὶς τὰς εἰσόδους, τοὺς ἰκτέρους δράσειε τοὺς μελαγχρόους. ἀλλ' εἰ μὲν οὐ πέφυκε τῷ σπλάγχνῳ βάρος, τὴν ἑλκτικὴν δύναμιν πέπονθε μόνην· εἰ δ' ἄλγος ἴσχει, τυγχάνει πεφραγμένος, ἐφ' ᾧ πέφυκε φλεγμονή τε καὶ ζέσις, οὖρον δυσῶδες, καὶ κάκοσμον τὸ στόμα, καὶ τῶν σκελῶν ἕλκωσις οὐκ ἰωμένη· εἰ δ' ἴκτερος γένηται παύων τὴν νόσον, μετάστασιν δείκνυσιν ἔξω τῆς ὕλης. Τὸ δ' αὖ περιτόναιον εἰ ῥαγῇ βίᾳ, ὄλισθον εἰργάσατο δεινὸν ἐντέροις. Ἀκούσιος κένωσις ἡ τῶν σπερμάτων ἡ τῆς γονῆς πέφυκεν ἔκλυτος ῥύσις, πάθος μυσαρόν, γονόρροια τοὐπίκλην, τὸν καυλὸν οὐ τείνουσα τὸν φυτοσπόρον, ἐξασθενοῦντος τοῦ καθεκτικοῦ τόνου τὸ σπέρμα τηρεῖν, ὥστε μὴ καταρρέειν. Ἡ δ' αὖ σατυρίασις αἰδοίου πάθη καὶ παλμὸς ὀξὺς καὶ φλογίζουσα ζέσις, δεινῶς ζεσάντων τῶν σποροτρόφων πόρων. Τὸν πριαπισμὸν Πριάπου φερωνύμως αὔξησιν εἰς μέγιστον αἰδοίων νόει, ὁρμὴν ἀναφρόδιτον, ἔντασιν μόνον. γεννᾷ δὲ τοῦτον φλέγμα μετρίως ζέσαν καὶ πνεῦμα τῆξαν καὶ κινῆσαν τὴν φύσιν. Γυναιξί τις πέφυκεν ἔμμηνος ῥύσις, ἧς αἴτιον πρώτιστον ἄμβλωσις τόκου ἢ σώματος δύσκρατος ἴσως οὐσία, πάθημα μήτρας, ὑστέρας καλουμένης, ἢ ψῦξις ἢ κάκωσις ἢ πληγῆς βάρος· ἡ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δ' αὖ ὑπερκάθαρσις ἀθρόα ῥύσις· ῥοῦς δ' αὖ γυναικῶν πνευματισμὸς ὑστέρας. Τὴν ἐμπαθῆ δὲ φλεγμονὴν τῆς ὑστέρας καὶ πνεῦμα τίκτει καὶ κατάψυξις πάλιν, καὶ μᾶλλον ἐξάμβλωσις ἢ πληγῆς βάρος. σημεῖα τούτου πυρετὸς τεταμένος, ἄλγος τραχήλου, καὶ τένοντος τὸ πλέον, σφυγμοί τε μικροὶ καὶ μύσις τῆς ὑστέρας. Συνίσταται δ' ἕλκωσις ἐν μήτρᾳ πάλιν, ἢ δυστοκούσης ἢ δι' ἐμβρυουλκίαν. ἀλλ' εἰ μὲν ᾗ πρόχειρος ἕλκωσις τάχα, δίοπτρον αὐτὴν εἰκονίσει σοι μόνον· εἰ δ' ἐν βάθει πέφυκεν ἕλκους ἡ φύσις, γνοίης τὸ ποιὸν ἔκ γε τῶν κενουμένων. Καὶ καρκίνου πέφυκεν ἐν μήτρᾳ πάθος, ὁ μὲν μεθ' ἕλκους καὶ δριμείας οὐσίας, ὁ δὲ στεγνός τις, οὐδαμῶς ἡλκωμένος. τὸν χωρὶς ἕλκους ἱστορήσει σοι τάδε· σκληρός τις ὄγκος τῆς παθούσης ὑστέρας, χροιὰ τρυγώδης καὶ πελιδνὴ πολλάκις, βουβῶνος ἄλγος, ὀσφύος ἢ γαστέρος. τὸν δ' αὖ μεθ' ἕλκους δεικνύει καὶ σκληρότης· ἡ σκληρότης δὲ τῆς πονούσης ὑστέρας ἢ πολλάκις σύμπαντος αὐτοῦ τοῦ κύτους. ἐφεκτικὸν πέφυκεν ἐμμήνων τόδε μαστούς τέ πως δείκνυσιν ἐξωγκωμένους· πρὸς ὕδερόν τε τοῦτο λήγει πολλάκις. Ἐκ ψύξεως δὲ μυσάσης τῆς ὑστέρας ἐμπνευμάτωσις εὐθέως περιρρέει, ἢ πρὸς τὰ κοῖλα τοῦ λελεγμένου κύτους ἢ πρὸς τὸ σῶμα τῆς παθούσης ὑστέρας. Πνὶξ δ' ὑστέρας ὕψωσίς ἐστιν ὑστέρας, τὰ καίρια θλίβουσα σώματος μέρη, μήνιγγας αὐτάς, καρδίαν, καρωτίδας. τούτου κάτοπτρον ὠχρότης καὶ νωθρότης σκελῶν συνολκὴ καὶ γνάθων ἐρυθρότης δεσμοί τε γλώττης καὶ σκέλη παρειμένα, αἰσθήσεως νέκρωσις, ἄστατοι φρένες. Ἐναντίον πρόπτωσίς ἐστιν ὑστέρας, τῶν φυσικῶν γὰρ χωρίων ὑπορρέει· ἢ γὰρ ῥαγέντων τῶν κρατούντων ὑμένων, ἢ συμπεσούσης τῆς γυναικὸς ὑψόθεν, ἢ καὶ λυθέντος πρὸς τὸ γῆρας τοῦ τόνου, ταῖς ὑστέραις πρόπτωσις ἐμπέπτωκέ πως. Ἡ δ' ἰσχιὰς πέφυκεν ἰσχίων πάθος· χυμοῦ γὰρ αὐτῶν τῇ διαρθρώσει μέσον ψυχροῦ παγέντος καὶ θλίβοντος τὴν φύσιν πάθος συνέστη κλήσεως ἰσχιάδος. Τὴν δ' αὖ ποδάγραν καὶ νόσον τὴν ἀρθρῖτιν ἡ θρεπτικὴ δύναμις ἡτονημένη ἐκ τῆς ἀπλήστου πλησμονῆς τῶν σιτίων παχύν τε σωρεύουσα χυμὸν ἐν βάθει γεννᾷ, προφαίνει, τοῖς ἰατροῖς δεικνύει. ὁ συλλεγεὶς γὰρ χυμὸς ἐξ ἀσιτίας πολὺς πρὸς αὐτὰς τὰς διαρθρώσεις ῥέων τείνει τὰ νεῦρα, τῇ τάσει δ' ἀλγηδόνας πολλὰς δίδωσι τοῖς πεπονθόσι τόποις. ἀλλ' εἰ μὲν εἰσρεύσειε τοῖς ποσὶ μόνοις, ποδαγρικὴ πέφυκε πάντως ἡ νόσος· εἰ δ' αὖ τὸ σύμπαν σῶμα συγκατακλύσει, πρόδηλός ἐστιν τοῦτο πᾶσιν ἀρθρῖτις. Πώρους δὲ ποιεῖ τῇ διαρθρώσει ῥεῦσις χυμοῦ γεώδους φαρμάκων τε ξηρότης. Χείμεθλα δ' εἰσὶ τὰ πρὸς ὥραν τοῦ ψύχους ἕλκη διαρρέοντα δακτύλων μέσον. Ὁ δὲ πτέρυξ ὄνυξιν ἐμπέφυκέ πως· τὴν πλαγίαν γὰρ σάρκα μετρίως τρέφει. Ἡ κλῆσις τοὐλέφαντος εἰκὼν τυγχάνει τῆς θηριώδους τοῦ νοσήματος θέας. γεννᾷ δὲ ταύτην καὶ χολὴ κεκαυμένη ἰλύς τε καὶ τρὺξ αἵματος σεσηπότος· ἀλλ' ἡ μέν ἐστιν οὐδ' ἐπιχειρητέα, ἡ δ' ἐστὶν ἥττων, ἐνδιδοῦσα φαρμάκοις. Ψώρα δὲ καὶ λέπρωσις ἔγκοναι δύο ὕλης μελάγχρου, καὶ διαλλάττουσί πως. ἡ μὲν λέπρα τάχιστα τὴν δορὰν ξέει δύνει τε μέχρι τοῦ βάθους τῶν σωμάτων καὶ σχηματίζει κυκλικῶς τὸ χωρίον, ἀφ' οὗ λεπίδες ἐκρέουσιν αὐτίκα· ψῶραι δ' ἐπεξύσαντο τὴν δορὰν μόνον ἐν σχηματισμοῖς ποικίλοις τῶν τραυμάτων. Ἰχὼρ δὲ λεπτὸς σὺν χυμοῖς παχυτέροις λειχῆνα γεννᾷ, ῥίζα δ' οὗτος τῆς λέπρας. Λευκὴ δέ ἐστι δέρματος πεπονθότος μετάστασίς τις πρὸς τὸ λευκὸν τῆς χρόας· γεννᾷ δὲ ταύτην φλέγματος γλίσχρου φύσις. λευκὴ δὲ πρωτόριζος ἀλφὸς τυγχάνει τρέπων τὸ σῶμα μέχρι τῶν ὁρωμένων. Πρόδηλός ἐστι κλῆσις ἐξανθημάτων· χυμῶν γὰρ ἄνθη τυγχάνουσι ποικίλων. Ἡ νυκτὶς ἕλκος νυκτὸς ἀλγῦνον πλέον, φλυκταινοειδές, ὑπέρυθρον τὴν χρόαν. Δορᾶς φρόνει βλάστημα τὴν μυρμηκίαν, μικρόν, τυλῶδες, οἷα μύρμηξ ἐσθίον, βάσιν πλατεῖαν τῇ φύσει κεκτημένην· τὴν δὲ στενὴν ἔχουσαν, ἀκροχορδόνην. Τὸ γάγγλιον δὲ συστροφὴ νεύρου πέλει. Ἡ φλεγμονὴ δ' ὄγκωσις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐμπύρῳ ζέσει φλέγουσα κοινῶς τοὺς πεπονθότας τόπους. καὶ πᾶς μὲν ὄγκος φλεγμονὴ πεφλεγμένος· ἡ κυρίως δὲ φλεγμονὴ κεκλημένη ἐξ αἵματος πέφυκεν εἴς τινας τόπους χρηστοῦ ῥυέντος τῷ πάχει τε συμμέτρου. Γάγγραινα δ' ἐστὶ φλεγμονή τις πυρφόρος νεκροῦσα δεινῶς τοὺς πεπονθότας τόπους. Ὁ δὲ σφάκελλος φλεγμονὴ μὲν τυγχάνει· καύσας δὲ πᾶσαν τοῦ τόπου τὴν οὐσίαν αἰσθήσεως ἀφῆκεν ἐστερημένον. σφάκελλος αὖθις ὀστέον σεσημμένον. Ἕρπης χολῆς βλάστημα τῆς ξανθοχρόου. Ἐρυσίπελας ἐκ χολῆς ξανθῆς πλέον ἐξ αἵματός τε συμμιγέντος βλαστάνει, μεταστρέφων τὴν κλῆσιν ὡς πρὸς τὴν ὕλην. Βουβὼν δὲ καὶ φύγεθλον, ἀλλὰ καὶ φῦμα πάθη πέφυκεν ἀδένων καλουμένων. πλὴν ἀλλὰ βουβὼν φλεγμονὴ τῶν ἀδένων, φῦμα πρὸς ἐκπύησιν ἠρεθισμένον, φύγεθλον ἡ ζέσασα φλεγμονὴ πλέον τεκοῦσά τ' ὄγκον ἐρυσιπελατόχρουν. Ὄγκος δοθιὴν ἐκ χυμῶν παχυτέρων ἐν σαρξὶ τὴν σύμπηξιν εὐθέων ἔχων. Φλυκταινοειδὲς ἡ τερέβινθος φῦμα. Ἄνθραξ διφυοῦς αἵματος γέννημά τι εἰς τὴν μέλαιναν ἐκτραπέντος οὐσίαν, ἔχοντος ἕλκος ἐσχαρῶδες τὴν φύσιν. Ὁ θηριώδης καρκίνος τῶν σωμάτων ἁπανταχῇ πέφυκε ῥιζοῦσθαι φύσει, μᾶλλον δὲ τιτθοῖς τῶν γυναικῶν βλαστάνει. χολὴ δὲ τοῦτον ἡ μελάντερος τρέφει· πληροῖ δὲ κύκλῳ τὰς προκειμένας φλέβας, ἃς ἄν τις εἰκάσειε θηρίου πόδας. Τὸ δ' ἐμφύσημα πνεῦμα λεπτὸν τυγχάνει ἢ πρὸς τὸ σῶμα τῆς δορᾶς ἠθροισμένον ἢ πρὸς τὰ κοῖλα τῆς κάτωθι κοιλίας. Ὁ σκίρρος ἐστὶν ὄγκος ἐσκληρωμένος αἰσθήσεως ἄμοιρος, οἷά τις τύλος· οὐκ ἀκριβῆ δὲ τὸν δυσαίσθητον λέγε. χυμῶν δὲ τοῦτον ἡ περίγλισχρος φύσις αὔξει πρὸς ὄγκον καὶ τυλώσασα τρέφει. Χοιρὰς δ' ἀδὴν πέφυκεν ἐσκιρρωμένη. Τὸ κηρίον δ' ὄγκωσις ἐντετρημένη, ὡς οἷα σίμβλον βλύζον ἔγχυμον μέλι, κατὰ τράχηλον τὸ πλέον καὶ μασχάλας. Ὁ κόλπος ἕλκος οὐδαμῶς συνημμένος. Κόλπος τυλώδης ἡ καλουμένη σύριγξ. Τοὺς δ' αὖ διὰ σφήνωσιν ἀρθρώδεις πόνους οἱ τεχνικοὶ λέγουσι ἀγκύλας λόγοι. Τρία γένη πέφυκεν ἑλμίνθων μόνα· ἡ μὲν γάρ ἐστι στρογγύλη κεκλημένη, <...............................> ἡ δ' ἀσκαρὶς πέφυκε, τὸ τρίτον γένος· ὕλη δὲ πασῶν φλεγματώδης οὐσία. Τοὺς λυσσοδήκτους ὧδε φωράσειέ τις· φεύγουσιν ὕδωρ καὶ δάκνουσιν ὡς κύνες, ὡς ὑλακὴν πέμπουσιν ἐξεστηκότες, ἱδροῦσι δεινῶς, σπασμὸν ἴσχουσι ξένον, ἐρυθρὸς αὐτοῖς πᾶς ὁ χρὼς τῶν σωμάτων. Ὑποσπαθισμὸς εἶδός ἐστιν ὀργάνου χειρουργικοῦ, τέμνοντος ὁρμὰς ῥευμάτων. Ὑποσκυφισμὸς σχῆμα τῆς χειρουργίας. Τῶν ὑμένων σκλήρωσις ἔκ τινος τρόπου, οἳ γλῶσσαν ἀμπέχουσι χιτῶνος δίκην, δεινὸν πέφυκεν ἀγκυλόγλωσσον πάθος. Ἡ δ' ἀντιὰς τί; φλεγμονὴ παρισθμίων καὶ ξηρότης μάλιστα καὶ δυσχρηστία. Ὁ γαργαρεὼν πλῆκτρον οἷα τυγχάνει φωνῆς ἐνάρθρου· ῥεῦμα δ' ἐνδεδεγμένος, εἰ μὲν πρόμηκες σχῆμα τῇ τάσει λάβοι, κίων καλεῖται τεχνικωτέροις λόγοις· εἰ στρογγύλος δὲ καὶ παχὺς γένοιτό πως, κλῆσιν σταφυλῆς καὶ θέαν προσλαμβάνει. Χειρουργία τις ἡ λαρυγγοτομία. Τὸ στεάτωμα σκληρόν ἐστι σαρκίον· τὸ δ' ἀθέρωμα λεπτὸν οἷ' ἄχνη σίτου· ἡ μελικηρὶς ὡς χλιάζον σῶμά τι. Ὄγκος δὲ χαῦνος ἀνεύρυσμα τυγχάνει, γεννᾷ δὲ τοῦτον αἱματόπνους οὐσία. Ἡ βραγχοκήλη τοῦ τραχήλου τυγχάνει ὄγκωσις, ὡς ἔπαρμα τοῦ βρόγχου τάχα. Ἐξόμφαλόν τί ἐστιν ὀμφαλοῦ πάθος, ἢ συρραγέντος τοῦ παθόντος ὑμένος καὶ συμπεσόντος εἰς τὸν ὀμφαλοῦ τόπον ἢ συνδραμούσης ὑγρότητος ἐνθάδε ἢ συρρυείσης αἱματώδους οὐσίας· καὶ πλεῖστ' ἂν εἴποις αἴτια πρὸς τὸν λόγον. Πόσθη τὸ δέρμα τῆς βαλάνου τυγχάνει. Ὑποσπαδισμὸς σχῆμά πως χειρουργίας. Φίμωσίς ἐστιν ἡ μὲν ὡς βύουσά πως ἄνωθεν τὴν βάλανον ἐνσάρκῳ σκέπῃ, ἡ δ' ὡς ὑποτρέχουσα καὶ γυμνοῦσά πως. Ὁ θύμος εἶδος φύματος τῆς βαλάνου· λυμαίνεται δὲ ταῦτα καὶ πόσθην ἴσως. Καθετηρισμὸς κύστεως χειρουργία. Ἡ σαρκοκήλη ῥευματισμὸς διδύμου. Ἡ κιρροκήλη κιρσός ἐστι σωμάτων τῶν ἐκτρεφόντων τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διδύμων οὐσίαν. Ἑρμαφροδίτων ἀγχίθυρος ἡ φύσις.

## 10 Στίχοι εἰς τὸ «ζύμη ἣν λαβοῦσα γυνὴ ἔκρυψεν εἰς ἀλεύρου σάτα τρία»

Γυνή, ζύμη, βέλτιστε, καὶ σάτα τρία ἔχουσιν ἐξήγησιν ἐξῃρημένην ἀλληγοροῦσαν τοὺς προκειμένους λόγους γυνὴ μέν ἐστι προσφυῶς ἐκκλησία· ζύμη δὲ θεῖος καὶ θεόγραφος λόγος· ἄλευρον ἡ φέρουσα τοῦτον καρδία· ψυχῆς δὲ τριμέρεια τὰ τρία σάτα, θυμός, λόγος πόθος τε, κρειττόνων ἔρως, ἐν οἷς ὁ θεῖος συμφυραθείς πως λόγος ὅλην συνεζύμωσε τὴν ψυχῆς φύσιν. Τὸ γοῦν σάτον πέφυκε χοίνικες δύο, Ἑβραϊκὸν σήμαντρον, οἰκεῖον μέτρον.

## 11 Τοῦ Ψελλοῦ στίχοι περὶ σεληνιασμοῦ

Σεληνιασμὸς φυσικόν τι τυγχάνει πάθημα βλάπτον τὴν φύσιν τῶν σωμάτων· οὐχ ὡς λέγουσι δαίμονος κακουργίᾳ, οὐδ' ἡ σελήνη τὴν κάκωσιν εἰσφέρει. αὔξουσα δ' αὕτη καὶ πάλιν μειουμένη τὸν ἀέρα πέφυκε ποικίλως τρέπειν· ὅσοι δ' ἔχουσι τοὺς χυμοὺς τοὺς ἐμφύτους ἐν ταῖς τροφαῖς πάσχοντας εὐστρόφῳ φύσει, πάσχουσιν οὗτοι τῆς σελήνης τὴν φύσιν καὶ τὴν πάθην λέγουσι φυσικοὶ λόγοι σεληνιασμόν, οἷα δὴ τῆς φωσφόρου σαφῶς τρεπούσης εὐπαθῶς τὸν ἀέρα. ὃν εἰσπνέοντες τῶν ῥινῶν τῇ συρμάδι, ὅσοι μὲν εὖ ἔχουσι τοῦ συγκειμένου οὐκ ἐμπαθῶς φέρουσι τοῦτον ἐν ζάλῃ· ὅσοι δ' ἑτοιμότρεπτον ἴσχουσι φύσιν, τούτοις ἑτοιμότρωτός ἐστιν ἡ πάθη.

## 12 Τοῦ κῦρ Μιχαὴλ τοῦ Ψελλοῦ πρὸς τὸν βασιλέα κῦρ Μιχαὴλ τὸν Δοῦκα

Δισεξαδέλφου παῖδα σῆς οὐ πρὸς γάμον λάβῃς ἐρωτῶν ἄνδρα τηροῦντα νόμους· φθεῖραι δὲ ταύτην ἀνερωτήτως φθάσας ἔχεις ἀδιάσπαστον, ἴσθι, τὸν γάμον. πλὴν κανονικοῖς ἀφορισμοῖς στερκτέον, ἑκάτεροι κρέατος ἐγκρατευμένοι, οἴνου πόματος ἡμέραις σταυρωσίμοις.

## 13 Τοῦ αὐτοῦ στίχοι ὅτι ἀναλογεῖ ὁ νοῦς μὲν τῷ ἡλίῳ, ἡ ψυχὴ τῇ σελήνῃ καὶ ἡ σὰρξ τῇ γῇ· ἐξ ὧν δή, νοός, ψυχῆς καὶ σαρκός, συνιστάμενος ὁ ἄνθρωπος σῴζει τύπον τοῦ σύμπαντος.

Τῶν πρωτοτύπων οὐρανοῦ κινημάτων καὶ τῶν ἐν αὐτῷ προσφυῶν παθημάτων εὕροις παρ' ἡμῖν εἰκόνας κεκρυμμένας. Ὁ νοῦς γὰρ ἡμῖν οἷα λαμπρὸς φωσφόρος τὸν ἥλιόν πως εἰκονίζει πανσόφως, τῆς δ' αὖ σελήνης ἐστὶν ἡ ψυχὴ τύπος. ὁ μὲν γάρ, ὡς κάλλιστος, ὡς φωστὴρ μέγας, ὅλος διαυγής ἐστιν, ἀστραπηβόλος, ψυχὴ δέ, προσπεσοῦσα σώματος φύσει, ἐξ ἡμισείας ὥσπερ αὐγάζει μόνον· τὸ μὲν γὰρ εἰς νοῦν προσφυῶς ἀνηγμένον φωτὸς μετέσχεν ὥσπερ ἐκ πρώτου φάους, τὸ δ' αὖ γε πρὸς αἴσθησιν ἐμπεσὸν κάτω καὶ φωτὸς ἠμοίρησε καὶ σκότους γέμει. ὁ μὲν γὰρ ἀκρότησι τῶν ἄνω λόγων βρύει διαυγεῖ γνωστικῶς λαμπηδόνι· ἡ δέ, πρὸς αὐτῇ τῇ σκιᾷ καθημένη, ἐκεῖθεν ἠμαύρωσεν αὐτῆς τὴν φύσιν, καί πως σκοτώδης, ἀχλύος πεπλησμένη, ὑποδραμοῦσα τὸν νοητὸν φωσφόρον συνέσχεν αὐτοῦ τὰς διαυγεῖς λαμπάδας. Κἀκεῖ μέν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐστι γῆ, σελήνη, φωσφόρος, ψυχὴ δὲ καὶ σὰρξ ὧδε καὶ νοῦς προσφόρως· ἓν οὖν πρὸς ἕν πως ἀντίθες, πλὴν εὐλόγως, πρὸς ἥλιον νοῦν, σῶμα πρὸς γῆν εὐθέτως, τὴν ψυχικὴν δὲ πρὸς σελήνην οὐσίαν. ὁ μὲν γὰρ αὐτόχρημα φωτὸς οὐσία, τὸ σῶμα λαμπρότητος ἐστερημένον, ψυχὴ δὲ τυγχάνουσα μέση τῶν δύο τὸ μὲν τέτευχε φωτὸς ὡς νοῦ πλησίον, τὸ δ' οὐ τέτευχεν ἐγγὺς οὖσα σωμάτων.

## 14 Τοῦ σοφωτάτου Ψελλοῦ στίχοι ὅμοιοι περὶ τοῦ ἰαμβικοῦ μέτρου

Τὸ μέτρον οὕτω τῶν ἰάμβων μοι μέτρει· καὶ τοὺς πόδας μὲν ἡ μέλισσα δεικνύτω, τῶν συλλαβῶν δὲ τὴν ἀρίθμησιν κύκλον τὸν ζωδιακὸν εἰσορῶν μάνθανέ μοι. μέλλων δὲ μετρεῖν καὶ στίχους πλέκειν, φίλος, ἅπασαν ἐν νῷ τοῦ σκοποῦ τὴν εἰκόνα προσλαμβάνων ἄριστα καὶ στίχους πλέκε. Πρῶτον μὲν οὖν καὶ τρίτον ἢ πέμπτον πόδα ἴαμβος ἢ σπονδεῖος εὐτρεπιζέτω, τὸν δεύτερον δὲ καὶ τέταρτον ἀξίως ἴαμβον ἁπλοῦν εἰσφέρων ἀπαρτίσεις, ἕκτος δ' ἰάμβου τέρπεται κόσμον φέρων καὶ πυρριχίῳ τὴν κάραν ὑψοῦ φέρει. Ἔστωσαν οὖν σοι πυρρίχιος μὲν «λ!όγ!ος», σπονδεῖος «Ἄ!Ατλ!ας» ἐκ μακρῶν χρόνων δύο, «Λ!άχ!ης» δ' ἴαμβος καὶ «λ!έβ!ης» αὖ καὶ «Θ!έ!ων». Ἰδοὺ τὸ πᾶν εἴληφας ἐν βραχεῖ μέτρῳ.

## 15 Τοῦ λογιωτάτου Ψελλοῦ Κωνσταντινουπόλεως

Ἄριστον ἀρίστησον ἐκτὸς τοῦ κόρου καὶ δεῖπνον ἀδείπνητον ἐστενωμένον. πάντων λαχάνων, ὀσπρίων μικρὸν λάβε, πασῶν ὀπωρῶν πλησμόνην ἀποτρέπου, κραβηφαγῆσαι βραχυφαγῆσαι θέμις. μίσει τὸν ὄκνον ὡς σατανᾶν, ὡς ὄφιν· δείλης τὸν ὕπνον οὐ καλὸν ποθεῖν ὅλως· παραρριπισμῶν προσβολὴν ἀποτρέπου.

16 Ἐμοί, κραταιὲ φωσφόρε στεφηφόρε, μέλημα καὶ σπούδασμα καὶ βίος λόγοι, ἐξ ὧν φανῆναι καὶ προκόψειν ἐλπίσας πάντων κατεφρόνησα καὶ ζῆν εἱλόμην τέως ταπεινὸν καὶ κεκρυμμένον βίον, πόνοις ὁμιλῶν καὶ σοφῶν βίβλοις μόνον. πλὴν οὖν ἰδεῖν σου τὸ κράτος προσηυχόμην εἰς τὴν ἑαυτοῦ δεδραμηκὸς ἀξίαν, τοῦ προσπεσόντος ἐν μέσῳ δεινοῦ νέφους καὶ πειραθέντος σὰς σβέσαι λαμπηδόνας αὖθις ῥαγέντος καὶ ῥυέντος εἰς χάος. οὐκοῦν θεωρῶ τῆς ἐμῆς εὐχῆς τέλος· τῇ γὰρ προνοίᾳ τοῦ θεοῦ καὶ δεσπότου ἔχεις ἀνεμπόδιστον ἀκραιφνὲς κράτος. δέδεξο λοιπὸν οἰκέτου δῶρον λόγον· σὺ δ' ἀντιδοίης τὴν κατ' ἀξίαν δόσιν τοῖς σοῖς με πάντως συμβαλὼν νοταρίοις.

## 17 Τοῦ ὑπερτίμου Κωνσταντίνου τοῦ Ψελλοῦ στίχοι ἰαμβικοὶ εἰς τὴν τελευτὴν τῆς Σκληραίνης.

Νῦν κοσμικὴ θύελλα, νῦν κοινὴ ζάλη, νῦν συμφορᾶς ἄπαυστος ἠγέρθη κλύδων. νῦν οὐρανὲ στέναξον ἐξ ὕψους μέγα καὶ γῆ κάτω βόησον, «ὢ δεινοῦ πάθους». νῦν ἀντὶ φωτὸς αἷμα πέμψον, φωσφόρε· νῦν καὶ σελήνη καὶ χορὸς τῶν ἀστέρων ἀντ' ἀκτίνων πέμποιτε κρουνοὺς δακρύων. ἀὴρ δὲ καὶ θάλασσα κυματουμένη, ἀχλὺν ἐπενδύθητε καὶ βαθὺν ζόφον. ἡ γὰρ σεβαστὴ καὶ γένει καὶ τῷ βίῳ, τὸ λαμπρὸν ἀξίωμα τῶν ἀνακτόρων, ἡ βαθμὶς ἡ πρόκριτος, ἡ πρώτη βάσις, ἠθῶν ὁ κόσμος, τῶν τρόπων ἡ λαμπρότης, τὸ ζῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄγαλμα, τῶν φρενῶν ἡ σεμνότης, τὸ τερπνὸν ἄνθος, τῆς τρυφῆς τὸ χωρίον, ἡ τῶν Χαρίτων εὐπρεπὴς κατοικία, ἡ πᾶν τὸ κάλλος τῶν ἐν ἀνθρώποις μόνη ἔχουσα καὶ φέρουσα καὶ τῷ δεσπότῃ δείξασα καὶ τέρψασα λαμπρύνασά τε ὡς δένδρον ἀνθοῦν ἐκ νοητῶν κοιλάδων, φεῦ φεῦ, πρὸ ὥρας ἐτρυγήθη ῥιζόθεν. Ὦ δένδρον οἷον ἐξέκοψας, ὦ Χάρων, ᾧ ῥίζα μὲν κάτωθεν ἐψυχωμένη, ὁ καρπὸς ἐγλύκαζεν αὐτὴν καρδίαν, τὸ φύλλον οἷον μὴ μαραίνεσθαι χρόνῳ· οὐκ εἰς ἔαρ ἔθαλλε καὶ θέρος μόνον, εἰς πάντα δ' ἤνθει καιρὸν εὐκάρπῳ φύσει. ὢ ποῖος ἀστὴρ φωτολαμπὴς ἐκρύβη, ὢ ποῖος ἔσβη γῆς ἀπαυγάζων λύχνος· μόνη γὰρ αὐτὴ γῆς τε καὶ πόλου μέσον, ἄστρον φαεινόν, ἄνθος ἡδονῆς γέμον, τὸ σῶμα λαμπρά, παμφαὴς τὴν καρδίαν, ταῖς ἀρεταῖς στίλβουσα μαργάρου πλέον, ταῖς ἡδοναῖς λάμπουσα μᾶλλον χρυσίου, τὸ θῆλυ σαρκὸς ἀρρενοῦσα τοῖς τρόποις, τὸ κόσμιον φέρουσα μέχρι καὶ θέας. ὢ πάντα νικήσασα τῇ σαυτῆς φύσει καὶ πάντα κινήσασα πρὸς θρηνῳδίαν, ὢ πάντα μὲν θέλξασα κάλλει καὶ φύσει καὶ πάντα πληρώσασα νῦν πικροῦ ζόφου, ὢ γῆν καταυγάσασα ταῖς ἀγλαΐαις καὶ νῦν ἀμαυρώσασα τὴν πᾶσαν κτίσιν, ὢ πάντα συγκρύψασα ταῖς εὐμορφίαις τῆς γῆς τὰ κάλλη καὶ τὰ φαιδρὰ τοῦ πόλου, καὶ νῦν κρυβεῖσα σωματοφθόρῳ λίθῳ· τὰ πάντα πλήρη στυγνότητος ἐσχάτης καὶ δακρύων γέμοντα καὶ πένθους ξένου, τὸ λαμπρὸν οὐκ ἔχοντα σῆς θέας φάος, τὸ θέλγον οὐ φέροντα σῆς λύρας στόμα. Τίς μοι παρέξει κρουνὸν ᾑματωμένον, τίς δακρύων ἄβυσσον οὐ κενουμένην, ὅπως ἀποκλαύσαιμι τὴν κοινὴν ζάλην, τὴν φλεγμονὴν δὲ τοῦ πάθους τῆς καρδίας τοῖς δάκρυσι δείξαιμι τοῖς ᾑμαγμένοις; ὢ καὶ μάτην ζήσασα τούτῳ τῷ βίῳ, ὢ καὶ μάτην τυχοῦσα λαμπρᾶς ἀξίας καὶ δόξαν ἄκραν συλλαβοῦσα τῆς τύχης, ὢ καὶ μάτην φανεῖσα λαμπρὰ τὴν θέαν καὶ πάντας ἀστράψασα καλλοναῖς ξέναις, στυγνῷ κρυβεῖσα καὶ παρ' ἐλπίδα λίθῳ. Ὁ δεσπότης δὲ σῷ πόθῳ κεκαυμένος καὶ σῶν μεγίστων ἀρετῶν μεμνημένος ἔχων τε τὴν σύμπνοιαν ἐν τῇ καρδίᾳ καὶ τὴν ἄκραν σου ψυχικὴν εὐφυΐαν φέρων τε τῷ νῷ τὴν πικρὰν τιμωρίαν ἣν ἐν ξένῃ γῇ δυστυχῶν ἐκαρτέρει, καὶ σὸν παρηγόρημα, σὴν θυμηδίαν, ὅπως μὲν αὐτῷ λάτρις ἦσθα τοῖς τρόποις, ὅπως δὲ καὶ θάλασσα τῶν δωρημάτων, τρυφῆς χορηγὸς καὶ τροφῆς ὑπηρέτις· τούτων ἁπάντων τῶν καλῶν μεμνημένος ἔσπευδεν ἰσόμετρον ἐκτῖσαι χάριν, ἔσπευδε νικῆσαί σε πλήθει χαρίτων, χειρὸς τοσαύτης εὐπορήσας καὶ κράτους, καὶ πᾶσι τιμᾷ τοῖς καλοῖς καὶ τιμίοις, πλούτῳ σε πολλῷ, λαμπρότητι παγκάλῃ· τοῖς μαργάροις κρύπτει σε, τοῖς λίθοις πλέον, αἴρει πρὸς ὕψος τῆς ὑπερτάτης τύχης, κοινὴν τίθησι τοῦ βίου σε προστάτιν· ἔπειτα μείζους ἐννοῶν βαθμοὺς πάλιν πρὸς μεῖζον αὔξει καὶ μεταίρει σε κλέος, τιμῇ καταστράψας σε λαμπρᾶς ἀξίας καὶ τὴν σεβαστὴν ἐκ γένους καὶ τοῖς τρόποις τιμᾷ σεβαστὴν ἐκ τύχης καὶ τοῦ βίου. ὀφθαλμὸς αὐτῷ, φῶς ὑπῆρχες ἡδύνον, ζωή, πνοή, τὰ πάντα, δόξα καὶ κράτος, ὁρωμένη, λαλοῦσα καὶ κινουμένη. παρῆν γὰρ ἐν σοὶ κάλλος, ἦθος καὶ χάρις· καὶ γλυκύτης ἔμψυχος ἤνθει σῇ φύσει· καὶ πᾶς βλέπων σε μὴ θέλων ἐμειδία, ὥσπερ τινὸς χάριτος ἐμπεπλησμένος· καὶ χεῖρα κινῶν, ἀλλ' ὁμοῦ καὶ τὴν κάραν, «ἄμεμπτος» εἶπεν «ὃς ποθεῖ τὴν σὴν θέαν». ταύτην ἔχαιρε γῆς ὁρῶν ὁ δεσπότης μόνος τε τὸν λειμῶνα τρυγῶν τοῦ βίου ἄπαυστον εἶχε χαρμονὴν τῇ καρδίᾳ· κἂν ἡλίου φῶς ἦν κεκρυμμένον νέφει, τὴν σὴν ἑώρα λάμψιν ἀντὶ φωσφόρου· κἂν τὴν σελήνην οὐκ ἐδείκνυ τὸ σκότος, σὲ τὴν σελήνην εἶχε λύτειραν ζόφου· ἀχλὺς κατεῖχε τοῦτον ἐξ ἀθυμίας, καὶ σὴν βλέπων ἔναστρον ἤγαλλεν θέαν. Ὀρφεὺς γὰρ ὄντως, ἀλλὰ Σειρὴν ἐν λόγοις ὑπῆρχες εἰσπέμπουσα πάγκαλον μέλος καὶ πάντοθεν θέλγουσα καὶ κηλοῦσά τε καὶ πρὸς χαρὰν πέμπουσα καὶ θυμηδίαν καὶ θλίψεων λύουσα τὰς περιστάσεις. οὕτως ἐνίκας καὶ πάλιν τὸν δεσπότην λαμπραῖς ἀμοιβαῖς ψυχικῶν χαρισμάτων, πάσης δὲ μᾶλλον ἐκράτησας καρδίας, καὶ πάντες εἰς σὲ μᾶλλον ἢ πρὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ὀρφέα ἤγοντο συντρέχοντες ἀπλήστῳ πόθῳ, καὶ πᾶς ἰδὼν ἔκπληκτος ἵστατο βλέπων· κἂν μή τις αἰδὼς ἀντέκρυπτε σὴν θέαν, καινός τις ἄλλος ἂν ἐποιήθη λόγος, ὡς ἡ σεβαστὴ τῷ ξένῳ τῆς ἰδέας πήγνυσι τὸν βλέποντα καὶ ποιεῖ λίθον. Ἀλλ' ἦν ἄθελκτος πρὸς τὸ σὸν μέλος Χάρων, ἀλλ' ἦν ἄτεγκτος ἡ τελευτὴ καὶ μόνη. φεῦ, φεῦ, ὁποῖον νῦν παρεισάγω λόγον; πῶς καὶ κινοῦμαι καὶ λαλῶ καὶ συγγράφω; πέτραι, διαρράγητε πενθικῷ κρότῳ· ὄρη, διαθρύβητε θρηνώδει μέλει· στέναξον, ἡ γῆ, καὶ βόησον ἐκ βάθους· κἂν μὴ στενάζειν φυσικῷ λόγῳ δύνῃ, ἦχόν τινα πρόπεμψον ἐκ τῶν πυθμένων· τὰ δένδρα κόψον οἷα λαμπροὺς βοστρύχους, ἄνθην ἅπασαν κεῖρον ὡς πλοκαμίδα. ἡ γὰρ σεβαστὴ καὶ πρὸ τῆς τύχης γένει λεπτῶς, ἀμυδρῶς, ἐσχάτως ἀναπνέει· τὸ μουσικὸν δὲ καὶ θεηγόρον στόμα σιγὴ κατέσχεν ὑστάτης ἀφωνίας· ἅπαν τὸ κάλλος, ἡ μελιχρὰ τερπνότης, ἡ τῶν λόγων ἔμψυχος ἐν γνάθοις χάρις νῦν ὠχρίασις, νῦν ἀφοίνικτος μόνον. ὁ νοῦς ἐκεῖνος ἐφθάρη πρὸ τοῦ τέλους, ἡ συστροφὴ δὲ τῶν φρενῶν ἀπερρύη, τὰ δὲ βλέφαρα τῶν φαεινῶν ὀμμάτων πρὸ τῆς θανῆς μέμυκεν ἠτονημένα. Θρῆνοι δὲ κύκλῳ καὶ στεναγμοὶ καὶ γόοι, θρύψεις παρειῶν καὶ σπαραγμοὶ τῆς κόμης, τῆς μητρὸς αὐτῆς, τοῦ ποθητοῦ συγγόνου, γνωστῶν, συνήθων, συγγενῶν καὶ γνωρίμων· καὶ πάντα κωφὰ ταῦτα τῇ προκειμένῃ. Μήτηρ δὲ καὶ πρὶν τῷ πάθει κρατουμένη καὶ τῇ θυγατρὶ πάντα συννεκρουμένη, ἐπείπερ εἶδε τὴν καλὴν ἀηδόνα τὴν μουσικὴν ἄφωνον ἀψύχῳ μέλει, ψυχορραγοῦσαν καὶ πνέουσαν ἐσχάτως, ὄρνις καθώσπερ τῶν τέκνων τεθυμένων, τρύζουσα καὶ βοῶσα καὶ μυκωμένη καὶ τὴν κόμην πάττουσα πάντοθεν κόνει τοιάσδε φωνὰς σὺν στεναγμοῖς ἠφίει· «Ὦ τέκνον ἡδύ, τέκνον ἡδονῆς γέμον, σπλάγχνων ἐμῶν γέννημα δυστυχεστάτων, τίς ἥρπασέν σε τῆς ἐμῆς νῦν ἀγκάλης; τίς ὡς στάχυν πρόωρον ἐξέκοψέ σε, τίς ὡς βότρυν ἄωρον ἐτρύγησέ σε; τίς ἔσβεσέν μου τὴν νοητὴν λαμπάδα, ἐμῶν δ' ἀπημαύρωσε φῶς, φεῦ, ὀμμάτων; σαρκῶν ἐμῶν στήριγμα γηραιῶν μόνη, χείρ, ὄμμα καὶ ποὺς καὶ καλὴ βακτηρία, ψυχή, πνοὴ ζωή τε, νοῦς καὶ καρδία, ποῦ νῦν ἀπέρχῃ σὴν ἐῶσα μητέρα; ὦ κῦμα διπλοῦν συμφορῶν ἀμηχάνων, ἤνεγκα πρὶν στέρησιν ἀνδρὸς φιλτάτου, τομὴν μέλους, φεῦ, ἡμιθανὴς δ' ἦν βίῳ· ἐν σοὶ δ' ἐπέζων, ἀλλὰ νῦν, ὢ τοῦ πάθους, καὶ σοῦ στεροῦμαι, τῆς πνοῆς καὶ καρδίας. καὶ νῦν ἄπνους, ἄψυχός εἰμι τῷ βίῳ. ἐγὼ μέν, ὦ θύγατερ, εἶχον ἐλπίδας γηρωκομηθῆναί με πρὸς σοῦ, φιλάτη, κόλπῳ τε τῷ σῷ καὶ ποθηταῖς ἀγκάλαις πνοὴν ἀφεῖναι τοῦ βίου τὴν ἐσχάτην. σὺ δ' ἀλλ' ἐμοὶ τέθνηκας ἡ ζῆν ἀξία τῇ καὶ τεθνάναι προσδοκωμένῃ πάλαι. τί καὶ γὰρ οὐ τέθνηκα σοῦ πρῶτον, τέκνον, γηραιά, παντάλαινα, ῥυτίδων ὅλη; ὦ δυστυχὴς δύσμητερ, οἰκτρὰ κοιλία, κἂν εὐθέως ἔδοξας εὐτυχεστάτη περιστερὰν τέξασα κεχρυσωμένην. φεῦ ὠδίνων, φεῦ τοῦ παναθλίου τόκου. ποῖόν τι πρῶτον κλαύσομαι καὶ δακρύσω, ποῖον δ' ἀφήσω, θύγατερ, σῶν χαρίτων ἄκλαυστον, ἀθρήνητον, ἔξω δακρύων; τὴν ἔμφυτόν σου καλλονὴν τῆς καρδίας; τὴν ἐκτὸς εὐπρέπειαν; αὐτὰς τὰς φρένας; τὸ συμπαθές σου, τὸν φιλεύσπλαγχνον τρόπον; τὴν εἰς ἐμὲ πρόνοιαν ἀκριβεστάτην; ἁμαρτίαν ἥμαρτες, ὦ Χάρων, ξένην ἐμοῦ προπέμψας εἰς ᾅδην τὴν φιλτάτην· εἰ γὰρ θερίζειν τοὺς βροτοὺς ἐπετράπης, ἔργον θεριστοῦ πρᾶττε τὰς λευκὰς τρίχας· ὡς λευκὸν ἐκθέριζε τοῦ βίου στάχυν. τί καὶ πρὸ καιροῦ τοὺς ἀώρους ἐκτέμνεις; εἰ δ' ἐκθερίζεις ἀλληνάλλως, ὡς θέλεις, κἂν ἄρτι με πρόρριζον ἐκκόψας λάβε καὶ συγκόμιζε τῇ θυγατρὶ πρὸς τάφον· καὶ σωρὸς ἔστω σοῦ βροτοκτόνου θέρους μήτηρ ὁμοῦ καὶ τέκνον, ἄβρωτος στάχυς.» μήτηρ μὲν οὕτως μητρικῶς κινουμένη ἀνωλόλυζεν, ἐστέναζεν ἐκ βάθους, πέμπουσα κρουνοὺς αἱμοφύρτων δακρύων καὶ τὴν κλίνην βρέχουσα καὶ τὴν φιλτάτην τοῖς φυσικοῖς λούουσα λουτροῖς ἐν τέλει. Ὁ σύγγονος δὲ Ῥωμανὸς τῆς κειμένης, γερουσίας ἡ δόξα, συγκλήτου κλέος, ἀνὴρ τὰ πάντα καὶ φύσει καὶ καρδίᾳ, νέος τὸ σῶμα, τὰς φρένας δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πρεσβύτης, ἐκεῖθεν αὖθις ἀντεδάκρυε πλέον, βρυχώμενος μὲν ἐκ βάθους ὥσπερ λέων καὶ τοῖς στεναγμοῖς ἦχον ἐμποιῶν μέγαν, ὡς δ' ἐμπνεούσῃ προσλαλῶν τῇ συγγόνῳ· «Ὦ πάντα μοι, δέσποινα, δόξα καὶ κλέος, κοινὸν γένους στήριγμα, κοινὴ καὶ χάρις, ζωῆς ἐμῆς ἔρεισμα, τοῦ βίου στύλε, ὦ θάρσος, ἐλπίς, τῶν ἐμῶν οἴκων κίον, ὦ πάντα ταῦτα καὶ πλέον ποθουμένη, ἔσβης ὁ λαμπτὴρ τῆς ἐμῆς παρρησίας, ἔσβης τὸ καλλώπισμα τῆς οἰκουμένης, ἡ τῶν πενήτων ἄρτι χεὶρ ἀπερρύης, ὁ κοινὸς ὅρμος τῶν ζάλαις στροβουμένων τῇ τῆς τελευτῆς προσβολῇ διεφθάρης. ἅπαντα φροῦδα τῶν ἐμῶν τρυφημάτων, ἅπαντα τὰ πρὶν εὐτυχῆ μοι τοῦ βίου περιστροφὴν πέπονθε δυστυχεστάτην. μάτην ἐγὼ ζῶ σοῦ λελειμμένος μόνος. ἢ φάρμακόν τις ἢ ξίφος τομὸν δότω, ὡς ἂν συνεκπνεύσαιμι τῇ ποθουμένῃ· ποθῶ τὸν ᾅδην ἀντὶ τούτου τοῦ βίου, ἐκεῖνο κρεῖττον τὸ σκότος τοῦ φωσφόρου. ἔχει γὰρ ὡς νὺξ τὴν σελήνην τοῦ βίου· κἂν οὐ προλάμπῃ τῶν προλοίπων νερτέρων, σὺν τῇ σκιᾷ γε κείσομαι τῇ φιλάτῃ σκιά τις ἄλλη, κωφὸν εἴδωλον τάχα. ὦ δυστυχεῖς πρόπαππε, πάππε καὶ πάτερ, πολλὰς ἰδόντες πραγμάτων τρικυμίας καὶ συστραφέντες ὡς κλύδωνι τῷ βίῳ. ὦ δυστυχεῖς ἅπαντες, ἀλλ' ἐγὼ πλέον, φωτὸς στερηθεὶς ὀμμάτων καὶ καρδίας, ζωῆς δὲ μᾶλλον καὶ πνοῆς ψυχεμπνόου, καὶ δυστυχῶς ζῶν, νεκρὸς ἄψυχος πέλων. εἴ τις τομὴν ἤνεγκε κυρίου μέλους, τὴν συμφορὰν ἤνεγκα μετρίῳ πάθει· κἂν οὐσίας πάσης τις ἐξένωσέ με, πρὸς οὐδὲν ἂν ἤλγησα, πάντα γὰρ κόνις· κἂν εἰς ξένην γῆν ἤλασεν τῆς πατρίδος, κἂν πᾶσαν ἄλλην ἀντεπήνεγκεν βίαν βυθῷ καλύψας καὶ κατακλείσας σκότει, τῆς σῆς τελευτῆς εὐθύμως προειλόμην. πλὴν ἀλλὰ μὴ κάλυπτε, γῆ, τὴν συγγόνην, ἕως με νεκρὸν αὐτόκλητον συλλάβῃς. οὓς γὰρ μία τις ὤδινεν γαστὴρ πάλαι, εἷς καὶ τάφος κρύψειε τῷ κοινῷ τέλει.» τούτους ἐκεῖνος τοὺς ὀδυρμοὺς συμπλέκων καὶ δακρύων ῥοῦν ἄσχετον καταρρέων τὴν τῆς θαλάττης εἰκόνιζε πλημμύραν, ζώνην τε τὴν σφίγγουσαν αὐτὴν κυκλόθεν ταῖς χερσὶν ὡς σκίασμα τῆς σαρκὸς φέρων ἔλουε τοῖς δάκρυσιν ὑετοῦ δίκην, ὁρῶν τε πυκνῶς καὶ τιθεὶς τὴν καρδίαν αὐτήν τε κινῶν τὴν ἀναίσθητον φύσιν εἰς θρῆνον, εἰς ἄμετρα ῥεῖθρα δακρύων. οὗτοι μὲν οὕτως ἀντεθρήνουν ἐν μέρει καὶ τοῖς στεναγμοῖς ἀντεπήχουν εἰκότως. Ὁ δεσπότης δέ, γῆς ὁ λαμπρὸς φωσφόρος, τῆς συμφορᾶς τὸ κῦμα τῇ ψυχῇ φέρων τὴν ἀθρόαν στέρησιν ἐν νῷ τε στρέφων, στροβούμενος δὲ τοῖς λογισμοῖς τῷ πάθει, πῶς ἐκ μέσων ἥρπαστο τῶν ἀνακτόρων ἣν εἶχεν ἔνδον τῆς ἑαυτοῦ καρδίας, πῶς ἐξαπέπτη, πῶς ἀπῆλθεν ἀθρόον, ἣν ὡς νεοσσὸν εἶχεν ἐν ταῖς ἀγκάλαις, ἔσπευδε μὲν φρόνημα γενναῖον φέρων τὴν συμφορὰν ἄριστα καρτερεῖν μόνος, νικώμενος δὲ τῷ τυραννικῷ πάθει λεπτῶς ἀνεστέναξεν ἐκ ψυχῆς μέσης· ὁρῶν τε ταύτην ὑπτίαν προκειμένην ἄπνουν, ἄφωνον, μηδαμῶς κινουμένην, ἀπάρχεται, φεῦ, πενθικωτάτων λόγων· «Φῶς σήμερόν μοι σβέννυται τῶν ὀμμάτων, ὀφθαλμὸς ἔνδον ὁ βλέπων τῆς καρδίας, αἰαῖ, τυφλοῦται καὶ καλύπτει με σκότος· βέλη πικρὰ κεντοῦσι τῆς ἀθυμίας. ὢ ποίαν εἶδες, ἥλιε, τραγῳδίαν· ὢ ποῖος ἔσβη λύχνος ἀκροφεγγίας. ποῦ μοι τὰ πολλὰ τῶν νοημάτων τέλη, ἡ φροντίς, ἡ μέριμνα τῶν ἐμῶν πόνων, δι' ἣν ἐκαρτέρησα πολλὰς φροντίδας, δι' ἣν ὑπέστην θλίψεων καταιγίδας; ποῦ νῦν ἀπῆλθε πάντα; ποῦ νῦν ἐκρύβη; αἰαῖ τὰ δεινὰ τῆς ἀειστρόφου τύχης, αἰαῖ τὰ ῥευστὰ τοῦ πολυπλάνου βίου. οἴμοι, τί πράξω; πῶς διάξω τὸν βίον, ἄψυχος, ἄπνους, παντελῶς παρειμένος; ποῖον παρηγόρημα τῶν πόνων λάβω; ποίαις ἐπῳδαῖς τὴν ἀθυμίαν σβέσω; γῆ, μὴ καλύψῃς σῶμα τῆς ποθουμένης, κἂν συγκαλύψῃς, μὴ μαράνῃς τὴν φύσιν. μὴ σῶμα κοινὸν τοῦτο δέξῃ καὶ κόνιν, φύλαττε τὸ πρόσωπον, ὡς κάλλους ἔχει. τὸ λαμπρὸν αἰδέσθητι τῶν μελῶν ὅλων, ἄγαλμα ταύτην καὶ τεθαμμένην φέρε. τῶν ὀμμάτων τὰ κύκλα μὴ διασπάσῃς, λαμπρὰς βολὰς ἔχουσιν ἔνδον ἀκτίνων, τὸ μουσικόν τε τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀηδόνος στόμα τήρει μεμυκός, Ὀρφέως ἔχει μέλη· τῶν βοστρύχων τὸ πλέγμα μὴ διαξάνῃς· θησαυρὸν ἔσχες, οὐχὶ νεκρὸν σαρκίον· ὅλον καλῶς φύλαττε τῷ δεδωκότι. οἴμοι, τί φάσκω; πεπλάνημαι τοῖς λόγοις· ἡ τοῦ πάθους ῥύμη με πρὸς κρημνὸν φέρει. οὐκ ἔστι μοι φῶς, οὐ πνοὴ καὶ καρδία, συνερρύη τὰ πάντα τῇ ποθουμένῃ. τὸ στέμμα μοι χοῦς, τὸ κράτος λεπτὴ κόνις. ἕν μοι ποθεινόν, ἓν παρηγόρημά μοι· ὁ τύμβος ὁ κρύπτων σε· τοῦτον ἂν βλέπω, παρηγοροῦμαι, ψυχαγωγοῦμαι τάχα. τί μοι τὰ λαμπρὰ τῶν κατασκευασμάτων; εἰς γῆν ἅπαντα τῷ τάχει συμπιπτέτω· ὁ χρυσὸς ὡς χοῦς, ἡ γλυφὴ τῶν μαργάρων λίθος τραχύς μοι νῦν λογίζεται μόνον· εἷς μοι λίθος κάλλιστος, ὡραῖος πάνυ, ὁ συγκαλύπτων σόν, σεβαστή, σαρκίον· τὰ δ' ἄλλα μοι χοῦς καὶ κόνις καὶ σαπρία.» Ἐπίσχες, ὦ κράτιστε γῆς ὅλης ἄναξ, στῆσον τὸ ῥεῦμα τῶν ἀμέτρων δακρύων, παύου στενάζων, στῆθι συγκεχυμένος καὶ βλέψον, ὡς χρή. γνῶθι τὴν ἡμῶν φύσιν, ὡς οὐδέν ἐσμεν πλὴν κόνις κεχρωσμένη· ζωὴ δὲ καὶ θάνατος ὡς πύλαι δύο, μέσον δὲ τούτων ὁ βραχὺς οὗτος βίος. οὐδεὶς διῆλθε τὴν πύλην τῆς εἰσόδου, ὃς οὐ παρῆλθε τὴν πύλην τῆς ἐξόδου. καλὴ μὲν ἡ θανοῦσα καὶ (τίς οὐ λέγει;) πασῶν γυναικῶν ἀκριβῶς ὑπερτάτη· ἀλλ' οὐχὶ θνητή; καὶ τέθνηκε τῇ φύσει, ὡς Ἀβραὰμ πρίν, ὡς ὁ Μωσῆς ὁ γνόφῳ ἰδὼν τὸ θεῖον τῆς ἀληθείας φάος, ὡς Χριστὸς αὐτός, τῆς πνοῆς ὁ δεσπότης, ὡς ἡ τεκοῦσα τοῦτον ὠδίνων δίχα. οὕτω πέφυκε τῶν ῥεόντων ἡ φύσις, οὕτω πέφυκεν ἡ παροῦσα λαμπρότης. τί καινόν, εἰ τέθνηκεν ἡ θνητὴ φύσις; τὸ σῶμα χοῦς πέφυκεν εἰκονισμένος, ἡ γῆ δὲ μήτηρ, καὶ πάλιν καταρρέει πρὸς γῆν, ἀφ' ἧς εἴληφε πρὶν τὴν οὐσίαν. τί ταῦτα φάσκω; βλέψον ἀκριβῶς, ἄναξ, εἰς πᾶσαν αὐτὴν τὴν ὁρωμένην κτίσιν καὶ γνῶθι, πῶς ἔχουσι φυσικοῦ λόγου, πῶς ζῶσι καὶ θνήσκουσι πάντα κυκλόθεν. βλέπεις τὰ δένδρα σήμερον τεθηλότα, ἀλλ' αὔριον ῥέουσιν ὡς τεθνηκότα, πίπτει τὸ φύλλον οἷα θρὶξ ἐκ τῶν κλάδων· ζωῆς ἐκεῖνα, ταῦτα τοῦ κοινοῦ τέλους. τὸν λαμπρὸν ἄθρει καὶ φαεινὸν φωσφόρον, πῶς ζῇ τὸ πρῶτον ὡς ἀείζωος φύσις, λάμπων ἑῴος λαμπαδουχίαις ξέναις, ἔπειτα θνῄσκει πρὸς δύσιν καταστρέφων καὶ κρύπτεται, φεῦ, καὶ καλύπτεται κάτω τὸ λαμπρὸν ὄμμα γῆς ὁμοῦ τε καὶ πόλου. ἡ δ' αὖ σελήνη ζῶσα πολλάκις μόνη τοσαυτάκις πέφυκε θνῄσκειν καὶ ῥέειν, ἐκλείψεων πάσχουσα μυρία πάθη. τῶν ἀστέρων ἕκαστος οὕτω τυγχάνει. καὶ καινὸν οὐδὲν οὐδὲ τῇ φύσει ξένον, εἰ σὺν σελήνῃ, σὺν φυτοῖς, σὺν ἡλίῳ ἡ σὴ σελήνη καὶ φυτὸν καὶ φωσφόρος ἀπῆλθεν, ἐξέρρευσε τούτου τοῦ βίου. Μὴ πολλὰ μέμφου τῇ τελευτῇ, γῆς ἄναξ· εὐεργέτις πέφυκε κοινὴ τῇ φύσει. ἄγει πρὸς ὕψος τῆς παλαιᾶς ἀξίας, ἄγει πρὸς αὐτὸ τῆς Ἐδὲμ τὸ χωρίον, ἀφ' οὗπερ ἐρρίφημεν ἀπροσεξίᾳ. τομὴ πέφυκεν ἐμπαθῶν κινημάτων, τὴν τῶν κακῶν ἵστησιν ἄσχετον ῥύμην. οὐ παντελὴς πέφυκε τοῦ ζῶντος λύσις, διάστασις μικρὰ δὲ τῶν ἡνωμένων· ψυχὴ γὰρ ἔστι καὶ λυθέντος σαρκίου καὶ μᾶλλον ἀνθεῖ ζῶσα κρείττονι τρόπῳ. τί καὶ ταράττῃ καὶ στρέφῃ τὴν καρδίαν, ὡς τὴν ποθητὴν οὐκ ἔχων οὐδὲ βλέπων; οὐχ ὡς ἀχλὺς ἀπῆλθεν οὐδ' ὥσπερ νέφος, οὐχ ὡς ὁμίχλη παντελῶς ἀπερρύη, ἀλλ' ἔστι καὶ ζῇ καὶ βλέπει τὸν δεσπότην καί σοι νοητῶς συλλαλεῖ καὶ συμμένει. καὶ ταῦτα φωνεῖ· «Παῦε τῶν ὀδυρμάτων. οὐ παντελῶς λέλοιπα τὴν σὴν καρδίαν, οὐκ ἐσκεδάσθην ὡς καπνὸς πρὸς ἀέρα, ἀλλ' εἰμὶ καὶ πάρειμι γνωστικῷ τρόπῳ. ἀφεὶς δὲ θρηνεῖν τὴν λύσιν τοῦ σαρκίου μνήσθητί μου νῦν τῶν ὑπὲρ σοῦ φροντίδων, πολλῶν μεριμνῶν καὶ πόνων ἀνενδότων, ἃς ἐν ξένῃ γῇ συμπαροῦσά σοι μόνη ἐκαρτέρουν ὡς πύργος, ὡς στερρὰ πέτρα. μνήσθητι δούλης, ἀλλὰ καὶ ποθουμένης, καὶ τὰς ἀμοιβὰς νῦν πάρασχέ μοι πλέον. ψυχὴν ἐμὴν τίμησον εὐσπλάγχνοις τρόποις· ἐξιλεοῦ μοι δωρεαῖς τὸν δεσπότην, λαμπροὺς μεσίτας ἐργομόχθους εἰσάγων πτωχῶν πενήτων χεῖρας ἐστενωμένας· θνητὴ γὰρ οὖσα καὶ ῥεούσης οὐσίας καὶ πρὸς τὸ φαῦλον εὐκόλως κινουμένης ψυχὴν κατεσπίλωσα τὴν ἐμὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πάλαι· ἣν οὐδὲν οὕτως λευκᾶναι κατισχύει ὡς χεὶρ πλατεῖα δωρεῶν καὶ χαρίτων. ἔπειτα τὴν γραῦν τὴν ἐμήν, φεῦ, μητέρα γηρωκόμησον καὶ γενοῦ βακτηρία σαρξὶ ῥυείσαις ἐκ χρόνων τε καὶ πόνων. ψυχῆς δ' ἐμῆς φρόντισμα τῶν πάντων πλέον, τὸν σύγγονόν μοι Ῥωμανόν, νέον κλάδον, ταῖς χερσί σου τίθημι, σοὶ λείπω μόνῳ· οὕτως ὄναιο σῆς, ἄναξ, σκηπτουχίας, οὕτως ὄναιο τοῦ κράτους καὶ τοῦ στέφους, ὡς τοῦτον ἕξεις ἀντιληπτικωτάτως. τὸν πάππον οἶδας καὶ τὸ πάππου παιδίον, τὸν φύντα τοῦτον, εὐγενεῖς πεφυκότας· τήρησον αὐτῷ τοῦ γένους τὴν ἀξίαν, φύλαξον αὐτῷ τὰς ἐφ' ἡμῖν ἐλπίδας. ναί, πάντα μοι πρὶν καὶ πάλιν, Μονομάχε, ἡ κλῆσις ἡ πάγγλυκος ἡ ποθουμένη, καὶ χαῖρε καὶ φρόντιζε τῶν ἐνταλμάτων.» «Ὡς οὖν ἐκείνης καὶ λαλούσης σοι πάλιν καὶ συμπαρούσης εἰς ἀεὶ τῇ καρδίᾳ ἀναψυχήν, κράτιστε, θυμήρη λάβε. ἔπειτα ῥῖψον τὰς βολὰς τῶν ὀμμάτων, στρέψον δὲ τὸν νοῦν τοῦ πάθους ὡς ἐκ ζάλης εἰς τὸν φαεινὸν τῶν ἀνακτόρων λύχνον, τὸ κοινὸν ἐντρύφημα τῆς οἰκουμένης, τὸ λαμπρὸν ἀγλάισμα τῆς ἁλουργίδος, τὸ τοῦ κράτους στήριγμα τῆς σκηπτουχίας, τὸ τοῦ στέφους ἔρεισμα τῶν ἀνακτόρων, τὸν πύργον ἢ τὸ τεῖχος ἢ καὶ τὴν βάσιν, Ζωήν, τὸ καλλώπισμα γῆς τε καὶ πόλου. ἰδὼν δὲ πᾶσαν τοῦ προσώπου τὴν χάριν καὶ τὴν ἀπαστράπτουσαν ἀκροφεγγίαν παρηγόρησον τὴν σεαυτοῦ καρδίαν. ὕπνου μέτασχε καὶ τροφῆς, σκηπτροκράτορ· ἔχεις γὰρ ὄντως τῆς τροφῆς ὑπηρέτιν τὴν ἐκ θεοῦ δοθεῖσαν ἡμῖν τοῖς κάτω, τὸ φαιδρὸν ἀγλάισμα τῆς Βυζαντίδος, τὸ σεμνὸν ἄνθος, τὴν γονὴν τῆς πορφύρας, Θεοδώραν, τὸ κάλλος αὐτοῦ τοῦ βίου. αὕτη τὰ πάντα σοὶ γενέσθω τῷ κράτει, ὑπηρέτις, δέσποινα καὶ πάλιν λάτρις. καὶ χαῖρε, λειμών, ἄστρον ἐψυχωμένον· καὶ σὺν θεῷ, κράτιστε, τῷ σκέποντί σε ἄνασσε, βασίλευε τῆς οἰκουμένης.»

## 18 Πρὸς τὸν βασιλέα τὸν Κομνηνὸν κῦρ Ἰσαάκιον περὶ καλανδῶν, νόννων καὶ εἰδῶν

Ἡ τῶν καλανδῶν Ἰτάλιος ἡμέρα Ἑλληνικῆς πρόσχημα χαρμονῆς ἔφυ καὶ λαμπρὸν εὐτύχημα σῆς σκηπτρουχίας, Ῥώμης μὲν οὖσα δόγμα τῆς πρεσβυτέρας, εὐάγγελον δ' ἄθυρμα τῆς νεωτέρας. Ἡ δόξα καὶ γὰρ ἡ παλαιὰ Λατίνων τρεῖς οἶδε ταύτας ἡμέρας σκιρτησίμους, εἰδούς, καλάνδας, πρὸς δὲ καὶ νόννας, ἄναξ, καὶ μὴν ἕκαστος ταῖσδε μετρεῖται μόναις, πρώταις καλάνδαις, εἶτα νόνναις, καὶ τρίτον εἰδοῖς μερισταῖς καὶ διηριθμημέναις. Ἀλλ' ἡ μέν ἐστιν ἀκριβῶς ὡρισμένη, ἡ τῶν καλανδῶν, ὡς διηκριβωμένη, πρώτη γάρ ἐστι τῆς σελήνης ἡμέρα, μᾶλλον δὲ μηνός ἐστιν ἀρχικωτάτη· τῶν δ' αὖ γε νόννων ἡ μέν ἐστι πεμπτέα, ἡ δ' ἑβδομαία· τῶν γε μὴν εἰδῶν πάλιν ἡ μέν τις εἶχεν ἡμέρας τρεῖς πρὸς δέκα, ἡ δ' αὖ γε πέντε καὶ τὸ λοιπὸν τοῦ μέρους. Ἑστὼς δ' ὁ κῆρυξ ἐν μεσαιτάτῳ λόφῳ πρώτην καλανδῶν ἡμέραν ἐκεκράγει, πρὸ πέντε νόννων, εἶτα καὶ πρὸ τεσσάρων, καὶ πρὸ τριῶν· ἔπειτα τὴν ἀποφράδα καλῶς σιωπῶν, φημὶ δὴ τὴν δυάδα, πρὸ τῆς μιᾶς ἔφασκεν εὐτονωτέρως· ἔπειτα νόννας καὶ πρὸ εἰδῶν εὐθέως, πρὸ τῶν καλανδῶν εἶτα καὶ μέχρι τέλους. Ἐντεῦθεν ἡ βίσεξστός ἐστιν ἡμέρα, Ἑλληνικῶς δίσεκτος ἠγορευμένη. τῇ δευτέρᾳ γὰρ τοῦ φθίνοντος ἡμέρᾳ (εἰκοστόδυον αὐτὴν ἄλλος εἰπάτω) «πρὸ ἓξ καλανδῶν», τοῦ φθίνοντος ὀγδόην, σαφῶς ἐδήλου πᾶς ὁ κηρύσσων μέγα· εἰ δ' ἦν ὁ μὴν ὁ πρέσβυς ἐννέα φέρων, δὶς τὸ «πρὸ ἓξ» συνεῖρεν ὡς πρὸς τὸν χρόνον, ὅπερ βίσεξστον γλῶσσα Ῥωμαίων λέγει, δίσεκτον ὃν μάλιστα φωνῇ γνωρίμῳ. Νῦν δ' ἀλλὰ χαιρέτωσαν εἰδοὶ καὶ νόνναι, τὰς γὰρ καλάνδας οἶδεν ἡ Κωνσταντίνου, πρὸ τῶν θυρῶν δὲ συρρέουσι μυρίοι σκιρτῶντες ἡδὺ καὶ γελῶντες ἀθρόον, εὐάγγελον σκίρτημα τοῦ παντὸς χρόνου, εὔηχον οἰώνισμα, κήρυγμα ξένον. Ὅθεν κἀγώ σοι τὰς καλάνδας εἰσάγω καὶ μέτρα ποιῶ τοὺς ἐτησίους ὕμνους, εὐάγγελός



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σοι προσφόρως δεδειγμένος. χαῖρε, στρατηγὲ καὶ βασιλεῦ γῆς ὅλης, μέγιστε, παμβόητε, τοῦ κράτους κράτος· τοὺς σοὺς γὰρ ὑμνήσουσιν εὐήχους ἄθλους οὐ παιδιαῖς χαίροντας ἄνδρες ἀθρόοι, οἱ τοῖς λόγοις δὲ μουσικῶς τετραμμένοι καὶ πάντα ῥυθμίζοντες εὐρύθμοις μέτροις. χαῖρε στρατηγέ (τοῦτο γὰρ πάλιν φράσω) ἀκινδύνου φάλαγγος εὖ τεταγμένης, θέαμα φρικτὸν βαρβάροις τοῖς ἀθέοις. σῶν γὰρ τροπαίων πᾶσαν ἐμπλήσεις χθόνα, καὶ πᾶσα γλῶσσα σοὺς ἀνυμνήσει πόνους μέτροις τε ποικίλλουσα καὶ λόγοις ἅμα.

## 19 Στίχοι τοῦ Ψελλοῦ εἰς τὸν Κομνηνὸν λεγόντων τινῶν, ὡς ἐν τῷ Αὐγούστῳ μηνὶ τελευτᾷ.

Λευχειμονῶν ἄνασσε νῦν Ῥώμης γένους, Ἰσαάκιε, τοῦ κράτους ὁ φωσφόρος· τὰς γὰρ ζοφώδεις ἐξαπέπτης ἡμέρας, λευκὴν δὲ φωτὸς ἐξαποστίλβεις χάριν. λευχειμονῶν ἄνασσε, τέρπου, λαμπρύνου· τὰς γὰρ κατηφεῖς οὐκ ἔχεις ὑποψίας. ὁ χρησμὸς ἠσθένησε τῶν ψευδηγόρων· ὁ Χριστὸς ἡδραίωσε τὸ σεπτὸν κράτος· ἡ μαντικὴ πέπτωκεν ἰσχὺς καὶ τέχνη· τῶν πλασμάτων ἀπῆλθεν ἡ λεπτουργία· Αὔγουστος οὐδείς, ἀλλ' ὁ δεσπότης μόνος Αὔγουστος ὄντως φεγγολαμπὴς τὴν φύσιν. Παρῆλθεν ἡ νύξ, ἀντεπῆλθεν ἡμέρα· ὁ τοῦ χρόνου κύκλος σε μείζω δεικνύει. ὥσπερ γὰρ αὔξεις, μᾶλλον αὐγάζεις, ἄναξ. λαμπρῶς πανηγύριζε σῷ λαμπρῷ κράτει· ἔλαμψας, ἤρθης, ἧκες εἰς μεσημβρίαν, εἰς ἑσπέραν ἤστραψας, ἦλθες εἰς ἕω. νῦν λάμψις ἄλλη, νῦν νεωτέρα κτίσις· νῦν καινὰ πάντα, νῦν νεόκτιστος βίος· νῦν πορφύρα λάμπουσα, νῦν λευκὸν στέφος· νῦν κύκλος ἄλλος δευτεροπρώτου κράτους. πολλοὺς ἑλίξεις οἷα φωσφόρος δρόμους ἄλλους ἐπ' ἄλλοις, φεγγολαμπεῖ εἰς ἄκρον. Τὸ σὸν κράτος κράτιστον, Ῥωμαίων ἄναξ, ῥάβδος σιδηρᾶ, τεῖχος ὠχυρωμένον, ἔπαλξις ἀκράδαντος, ἀρραγὴς κίων, πυκνὴ φάλαγξ, ἔρεισμα, πύργος ἰσχύος. οὐ προσβολαὶ κλονοῦσιν αὐτοῦ τὴν βάσιν, οὐ πῦρ ἀπειλοῦν οὐδὲ τέμνοντα ξίφη, οὐ βαρβάρων φάλαγγες, οὐ καταιγίδες· ἐν τῷ θεῷ γάρ ἐστιν ἐστηριγμένον, ὃς πρῶτος αὐτὸς καὶ μόνος, στεφηφόρε, ἥδρασε τὴν σὴν ἀσφαλῶς σκηπτουχίαν. Κἂν μή μέ τις γράψαιτο θωπείας λόγων, εἰκὼν ὑπάρχεις τῶν θεοῦ γνωρισμάτων· εὐθύς, ἀληθής, στερρός, ἠκριβωμένος, ἡδύς, προσηνής, εὐσταθής, ἡδρασμένος, ὑψηλός, ἀπρόσιτος ἐν συμβουλίαις, ταπεινός, εὐπρόσιτος εἰς ὁμιλίαν, λαμπτὴρ ἁγνείας, εὐσεβείας φωσφόρος, κοινὸς δικαστής, ἀρρεπὴς ἐν τῇ κρίσει, εὐσυμπάθητος ἐν φιλανθρώπῳ σχέσει, ὀξύς, νοήμων, ἀσφαλὴς βουληφόρος, γενναῖος, ἀκλόνητος ἐν τρικυμίαις. ποῦ θυμὸς ἐν σοί; ποῦ διάρρυτος γέλως; ὀργῆς ἴχνη ποῦ καὶ διαρρέων λόγος; ποῦ κόμπος ἢ φρύαγμα καὶ νοῦς ποικίλος; ποῦ δ' ὀφρύων σύνδεσμος ἢ σκυθρωπότης; οὐδὲν γὰρ ἐν σοὶ τῶν ἀσέμνων τυγχάνει, οὐκ ἦθος εὐκίνητον, οὐ ψευδὴς λόγος, οὐ δεινότητες, οὐ δίγλωσσος καρδία, οὐ στυγνότης πέμπουσα καρδίαις νέφος, οὐ βλέμμα δεινόν, οὐκ ἀπειλῆς ὀξύτης, οὐ πλῆξις, οὐ κάκωσις, οὐ σφοδρὸς πόνος, οὐ τέρψις, οὐ χάριτες, οὐ πολὺς γέλως, οὐ νωθρότης χαυνοῦσα τὴν ψυχὴν ἔσω, οὐ σφοδρότης σφίγγουσα τοὺς ὑπηκόους. Ἔγνω σε γῆ σύμπασα καὶ πᾶσα κτίσις, θάλασσα, νῆσοι, γήλοφοι καὶ κοιλάδες· οἱ βάρβαροι βοῶσι τὰς στρατηγίας, οἱ δυσμενεῖς τρέμουσι τὰς εὐβουλίας, αὐτόχθονες ποθοῦσι Ῥώμης τῆς νέας, οἱ ῥήτορες γράφουσιν ἐξῃρημένον, φιλόσοφοι λέγουσιν ἐκλελεγμένον, στρατηγικοὶ ποθοῦσιν ἠκριβωμένον, ὀξυγράφοι φάσκουσιν ἐπτερωμένον, καὶ πᾶσα θαυμάζει σε τῶν ὄντων φύσις. Ἀλλ' οἱ λόγοι θαρροῦσιν εἰπεῖν τι πλέον καὶ νουθέτησιν εἰσάγειν τῷ σῷ κράτει. μέριζε σαυτὸν ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ῥοπαῖς ἐναντίαις, ὕπνοις, πόνοις κόποις τε καὶ θυμηδίαις. οὐκ ἦσθα χαλκοῦς, οὐ σιδηροῦς τὴν φύσιν· μισεῖ δ' ὁ Χριστὸς τὰς ἄγαν προθυμίας. πολλὴ κατέσχε τὸν βίον τρικυμία, πολλὴ καταιγὶς καὶ θύελλα καὶ ζάλη· τὰ μὲν πράυνε τῶν ἀτάκτων κυμάτων, τὰ δ' ἄλλα τέμνε ναυτικαῖς εὐτεχνίαις. οὐ σήμερον γάρ, ἀλλὰ πολλοὺς εἰς χρόνους εἰς τάξιν ἄξεις τὴν κακὴν ἀταξίαν. Σχεδὸν τὸ πᾶν σέσωκας ἐκ καταιγίδος. τι δυσχεραίνεις; τί στενάζεις ἐκ βάθους; ἡ τῶν Σκυθῶν ἔφριξε μακρόθεν φάλαγξ, ὑπεστάλησαν οἱ παρ' Ἴστρῳ σκορπίοι, ὁ Τοῦρκος ἠρέμησεν ἠρεθισμένος, Αἰγύπτιός σοι συμβιβάζεται ψόφῳ, τοὺς μείζονας δράκοντας ἦρας ἐκ μέσου. σπαίρων σε μικρὸς ἐκταράττει σκορπίος τὸν ἀσπίδας ῥήξαντα καὶ δεινοὺς ὄφεις; ὄψει τάχιστα τοῦτον ἠθλιωμένον, πεσόντα καὶ ῥαγέντα καὶ τεθνηκότα. οὐδεὶς δυνάστης, οὐ πολίτης, οὐ ξένος, ἁπανταχοῦ πέφυκεν ἰσοτιμία. τὸ γὰρ πολυτράχηλον ἐτμήθη κράτος καὶ νῦν πάρεστιν ἀκριβὴς μοναρχία, τῶν Αὐσόνων ἄρχουσα καὶ τῶν βαρβάρων. Αὔγουστε, χαῖρε. χαῖρε, τεθρυλλημένε, Αὔγουστε παμβόητε, κλῆσις ἠρμένη. Αὔγουστε, χαῖρε· χαῖρέ μοι καὶ πολλάκις καὶ πολλάκις πρόσελθε καὶ πάλιν τρέχε. πλὴν ἀλλὰ μὴ σύμπλαττε ληρώδεις λόγους, μὴ δυσμέναινε τῷ κρατοῦντι δεσπότῃ. Αὔγουστος ὢν Αὔγουστον ἀσπάζου πλέον καὶ πολλάκις πρόσελθε τῷ στεφηφόρῳ, εὔκρατος, ἡδύς, εὐμενής, ζωηφόρος, ὡς ἄν σε πρῶτον θήσομαι μηνῶν κύκλοις, ἄνακτα πανσέβαστον αὐτοῦ τοῦ χρόνου, Αὔγουστον αὐτόχρημα καὶ στεφηφόρον.

## 20 Τοῦ Ψελλοῦ εἰς τὸν τάφον τοῦ Κομνηνοῦ τοῦ βασιλέως

Πλήρης ὁ τύμβος καὶ χαρᾶς καὶ δακρύων· ὁ γὰρ τὸ πρὶν μέγιστος ἐν στρατηγέταις, ἔπειτα παμβόητος ἐν στεφηφόροις, Ἰσαάκιος, τὸ κράτος τῶν Αὐσόνων, ἀφεὶς τὸ λαμπρὸν τῆς βασιλείας κράτος καὶ τῷ θεῷ δοὺς τὸ στέφος προαιρέσει, τὸ σεπτὸν ἠλλάξατο καὶ θεῖον ῥάκος· ὃν δ' οὐκ ἐχώρει γῆς ἀπείρου τὸ πλάτος, φεῦ, ὁ βραχὺς ἔκρυψεν ὡς ὁρᾷς λίθος. τὸ φῶς δ' ὁ Χριστὸς φῶς ἀνέσπερον νέμει σκηνῆς τε θείας ἀξιοῖ μονοτρόπως μητρὸς δεήσεις καὶ φίλου δεδεγμένος. προλ21 Τοῦ Σαββαΐτου πρὸς τὸν Ψελλόν Ὄλυμπον οὐκ ἤνεγκας, οὐδὲ κἂν χρόνον· οὐ γὰρ παρῆσαν αἱ θεαί σου, Ζεῦ πάτερ.

## 21 Τοῦ Ψελλοῦ πρὸς τὸν Σαββαΐτην

Πρὸς τὸν σατάν σε, τὴν ἔχιδναν τοῦ βίου, τὴν τῶν κακῶν θάλασσαν ἢ τὴν πλημμύραν, τὴν τοῦ φθόρου δίαιταν ἢ τὴν ἑστίαν, τὸν Σαββαΐτην καὶ πλέον Σαββατίτην, σάββατά τε στέρξαντα καὶ νουμηνίας καὶ τὸν παλαιὸν καὶ πεπαυμένον νόμον, χάριν δ' ἀπωθήσαντα τὴν νεωτέραν, ὁ τῶν ἰάμβων ἐσχεδίασται λόγος· ὃς σύνθετος πέφυκας ἐξ ἐναντίων, ἄκρας ἀνοίας, ἐσχάτης πονηρίας· ὃς μηδὲν εἰδώς, μήτε τάξιν πραγμάτων, μὴ δόγμα θεῖον, μὴ βίων διαιρέσεις, μὴ κοσμικὴν πρόνοιαν ἢ ψυχῶν λόγους, μὴ βασιλείας τὴν μεγίστην ἀξίαν, τὸ θεῖον ὕψος, τοῦ θεοῦ τὴν εἰκόνα, μὴ πατριαρχῶν τοὺς ὑπερτάτους θρόνους, ἄνθρωπος ὢν ἄπληστος εἰς ἁμαρτίαν, ἀδδηφάγος βοῦς, αὐτόχρημα κοιλία, ἔπειτα λυττᾷς οἷα λυσσώδης κύων, ἐλεγκτικὴν ἄνοιαν ἐκχέων μάτην, καὶ δογματίζεις καὶ τυποῖς καινοὺς βίους, κυκᾷς δὲ πάντα καὶ ταράττεις ἀφρόνως, συγχεῖς δὲ τάξεις καὶ τρόπους τεταγμένους· οὐδὲ πρόσωπον εὐσεβείας εἰσφέρων οὐδ' εὐλαβείας σχῆμα καὶ σεμνοῦ τρόπου, ἀλλ' ὡς ἀναιδὴς καὶ κατάπτυστος κύων κινεῖς ἀναιδῶς τοὺς φονοδρόμους πόδας, χέεις δὲ γλῶτταν ἔμπλεων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βλασφημίας· καὶ τῶν πενήτων προστάτης δεδειγμένος γυμνοῖς ἐκείνους ἄχρι καὶ χιτωνίου· ὡς ζῆλον αὐχῶν οἷα καινὸς Ἠλίας οὐ τοὺς ἀναιδεῖς ἐμπιπρᾷς θυηπόλους, ἀλλ' εἴ τις ἔνθους, εἴ τις εὐσχήμων ὅλος, τούτου καθάπτῃ πυρπολῶν τὴν καρδίαν. Πλὴν ἀλλ' ἐρωτῶ, καὶ δίδου θᾶττον λόγον. τίς ὢν ἐλέγχεις καὶ κατάρχεις κρειττόνων; νέος Σαμουήλ; ἀλλὰ μὴν Ἡσαΐας; ἀλλ' οὐ δοτὸς σὺ τῷ θεῷ πρὸ τοῦ τόκου οὐδὲ προσευχῆς καὶ προγνώσεως τόκος, οὐ στεῖρα μήτηρ ὠδίνησε καλλίπαις, τὸ πρὶν ἄτεκνος, ἀλλὰ πεντηκοντάπαις. ἀλλ' Ἠλίας; Δαυίδ τις; ἀλλ' Ἰωσίας; ὃς οὐρανοῦ μὲν οὐ κατήνεγκας φλόγα, πυρσοὺς δὲ πέμπεις θυμικοὺς ἐκ καρδίας. βροντῆς γόνος σύ; Παῦλος ἀστράπτων λόγοις; ὃς οὐκ ἀνέπτης οὐδὲ πῆχυν τοῦ βίου, ἀλλ' εἰς ἰλὺν πέφυκας ἐμβεβὼς μέσην πεφυρμένος μάζῃ τε καὶ τοῖς πιτύροις· ἀλλ' οὐρανὸν μὲν οὐδὲ πόρρωθεν βλέπεις, κόρας τυφλώττων σώματος καὶ καρδίας. ἆρ' οὖν ἀνῆλθες εἰς τὸ Σίναιον, πάτερ; εἰσῆλθες ἔνδον τοῦ νοουμένου γνόφου; ἔγνως τὰ φρικτὰ τῶν ἄνω μυστηρίων; ὃς ἀστικοῖς μὲν φωλεοῖς ἐπιτρέχεις, ζυγοστατεῖς δὲ τοὺς λογισμοὺς χρυσίῳ καὶ πρὸς τὸ λῆμμα τὴν ῥοπὴν μετακλίνεις καὶ λεῖμμα ποιεῖς πρὸς τὸ κίβδηλον πλέον. πότ' οὖν ἐδέξω τὰς θεογράφους πλάκας, τὴν δέλτον αὐτὴν τῶν ἀπορρήτων λόγων; τίς δημαγωγὸν τοῦ λαοῦ τέθεικέ σε; τίς δὲ στρατηγὸν τάξεων δέδωκέ σε; τίς δογματιστὴν εἰς ἔθνη πέπομφέ σε, τίς ἀκριβαστὴν ἔνθεον τῶν κρειττόνων, τίς δ' εἰς ἔλεγχον ἀκρίτων στεφηφόρων; τίς Ἀχαὰβ νῦν, τίς δὲ νῦν Ἰεζάβελ, Ναβουθὲ τίς πέφυκεν ἠδικημένος; οὐ Δαυὶδ ἄρχει τῆς νέας κληρουχίας; οὐκ ἄλλος ὄντως εὐσεβὴς Ἰωσίας; ᾧ πορφυρὶς μὲν ἀκριβὴς ἡ πραότης, οὗ στέμμα νοῦς ἄυλος ἐξῃρημένος, ὃν λαμπρύνουσι μαργαρῖται δακρύων, ὃς ἀμπελώνων οὐκ ἐρῶν ἀλλοτρίων τῆς ἀμπέλου πέφυκε τῆς θείας βότρυς, ὃς ἱερεῖς ἔστερξεν, οὐ τῆς αἰσχύνης, αἰδοῦς δὲ καὶ χάριτος ἐμπεπλησμένους, ὃς οὐρανοῦ δέδωκε τὰς κλεῖς εἰκότως τῷ γνόντι Χριστὸν πρακτικαῖς θεωρίαις, ὃς καὶ πέτρα πέφυκε τῆς ἐκκλησίας, βροντᾷ δὲ λαμπρῶς τὸν κεκρυμμένον λόγον καὶ Παῦλός ἐστιν οὐρανὸν φθάσας τρίτον καὶ σεπτὸς ὄντως πρόδρομος τοῦ κυρίου θύτης τε χρηστός. καὶ πεφράχθω σοι στόμα βλάσφημα ληροῦν ἐκ φρενῶν πεφυρμένων. Ὦ πάντα τολμῶν, πάντα πράττων ἐκτόπως, ὦ πάντα πληρῶν ἀκριβῶς ἀκοσμίας, ὦ κοπρίας γέμουσα γλῶσσα μυρίας, ὦ βορβόρου πλήθουσα χοιρώδης φύσις, δυσωδίας γέμουσα δεινὴ καρδία, ὦ λῆρε καὶ φλύαρε, βάσκανε πλέον, ὦ γαστρὸς ἧττον, συρφετοῦ πεπλησμένε, πάντολμε καὶ κίναιδε, ῥέκτα κρυφίων, βδέλυγμα σαρκὸς ἡδονῶν κεκρυμμένων, κρίθινε ῥῆτορ καὶ πλέον Πηλοπλάτων, ἀγυρτολέσχα καὶ κριτὰ τῶν κρειττόνων, ἴνδαλμα κωφὸν πρὸς τὸν ἦχον τοῦ λόγου, εἴδωλον ἔμπνουν, δειματοῦν τὸν πλησίον, ἑρμαφρόδιτε καὶ πλέον θηλυδρία· ὦ μίγμα δυσκέραστον, ὦ κρᾶσις ξένη, σπάδων κατ' αὐτὸ καὶ δασὺς πωγωνίας· ὦ δεινὸν οἰώνισμα μέχρι καὶ θέας, ἀποτρόπαιον καὶ δυσάντητον τέρας, Τιθωνὲ μακρόζωε, πάγκακε Κρόνε, ζώθαπτε, νεκρόζωε, δύσπιστος πλάσις, Θερσῖτ' ἀκριτόμυθε, χωλόπους ὅλε, κακόν τι Τερμέρειον ἠκανθωμένον, θέαμα Κερβέρειον ἠγριωμένον, εἶδός τι Θερσίτειον ἠθλιωμένον· ὦ νεκροπομπὲ καὶ πλέον βροτοκτόνε, Χαρύβδεως πρόσωπον, εἶδος Γοργόνης, ὦ βλέμμα τοῦ Χάρωνος, ὄμμα Ταρτάρου, Τιτανικὸν θέαμα, Τυφὼν πυρφόρε, δεινῷ κεραυνῷ Ζηνὸς ἠνθρακωμένε· ὦ νυκτὸς ὄψις καὶ ζοφώδης οὐσία· ὦ βροῦχε σαρκῶν καὶ ψυχῶν ἐρυσίβη, κάμπη λογισμῶν, ἀκρὶς ἐνθυμημάτων, κηφὴν ἀεργὲ καὶ βαρυβρέμων ὄνε· ὦ βορβόρου θύλακε, πήρα σαπρίας, ὦ μισοθύτα, μισογείτων, μισάναξ, φίλυλε, φιλόσαρκε καὶ φιλοτρύφων· ὦ καπνὲ καὶ θύελλα καὶ βαθὺ σκότος, ὦ νεκρὲ τὸν νοῦν, ζῶν δὲ τὴν ὕλην μόνην, ἔμψυχε τύμβε, νεκρόχρωτε τὴν θέαν, ἄψυχε πάντα πλὴν τρυφῆς καὶ κοιλίας· ὦ καὶ νεκρῶν βδέλυγμα, καὶ ζώντων πλέον, δράκον δαφοινὲ ῥηγνύων βλασφημίας, οἴκων φθορεῦ, σύντριμμα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καινὸν τοῦ βίου, δύσοδμε κύων, τὴν πονηρίαν ὄφι· ὦ κτῆνος ἀργόν, γῆς δυσαχθὲς φορτίον· ὦ γλῶσσα μὲν πρόχειρε πρὸς βλασφημίαν καὶ χεὶρ ἕτοιμε πρός γε δωροληψίας καὶ ποὺς ἕτοιμε πρὸς φονοδρόμους βλάβας· ὦ κοιλία σφύζουσα πρὸς λαιμαργίαν, ὦ νοῦς ἄνους, ἔννους δὲ πρὸς πονηρίαν· ὦ Μῶμε παμμώμητε, μωκίας γέμων, ἀναιδὲς ὄμμα, παμπόνηρε καρδία, πεπλασμένον φρόνημα, ποικίλη φύσις· ὦ δεινὸν ἦθος, πικρίας πεπλησμένον, ἀλλοπρόσαλλε, διπρόσωπε, ποικίλε, ἀρρητοποιὲ κρυφίων ἐγκλημάτων καὶ μηχανουργὲ πράξεων μισουμένων· ὦ τῶν σιωπῆς ἀξίων πρωτοσπόρε καὶ τῶν ἀύλων πράξεων ἀναιρέτα, γλώσσαλγε καὶ ψίθυρε καὶ ψυχοκτόνε, δίγνωμε καὶ δίμορφε καὶ βροτοφθόρε· ὦ πλάσμα διπλοῦν φύσεων ἐναντίων, ἄνω μὲν ἄρρην καὶ κάτω θηλυδρία, εὐνοῦχε τὸν σίδηρον, ἄρρην τὸν τρόπον, ἄτμητε τὸν νοῦν, ἡμίτμητε τὴν φύσιν· ὦ χεῖλος ἀκρόβυστε καὶ τὴν καρδίαν, τῇ νεκρότητι τῶν τριχῶν τεθαμμένε καὶ τῇ ψιλώσει τῶν καλῶν βεβυσμένε καὶ τῷ ταραγμῷ τοῦ λόγου πεφυρμένε καὶ τοῖς ὀδοῦσι τοῦ φθόνου βεβρωμένε καὶ τῇ νεκρώσει τῶν μελῶν σεσημμένε καὶ ταῖς ἀκίσι τῶν κακῶν τετρωμένε

καὶ τοῖς ἐνύλοις εἴδεσι μεμιγμένε, ταῖς ἡδοναῖς δὲ τῶν παθῶν βεβλημένε τῇ διπλόῃ τε τῶν φρενῶν κεκομμένε καὶ τῷ προδήλῳ τῶν κακῶν δεδειγμένε· ὦ γνώσεως ἄμοιρε τῆς τῶν κρειττόνων, μαθημάτων ἄδεκτε τῶν σοφωτέρων, φύσις δὲ πλήρης πνευματουμένων γνάθων γλωττοκρότων τε τεχνῖτα λεξειδίων· ὦ καινὲ ῥῆτορ, γῆθεν ἐκφὺς ἀθρόον, τὰς εὑρέσεις ἄτεχνε καὶ τὰς ἰδέας, τὰς δὲ στάσεις ἔντεχνε τὰς ἀμφιρρόπους καὶ δεινὲ τὴν ἔννοιαν ἢ καὶ τὴν φράσιν· ὦ πρὸς καταδρομὴν μὲν ἢ κοινὸν τόπον θερμουργὲ καὶ πρόχειρε, καχλάζων ὅλος, τοὺς δὲ τρόπους ἄτεχνε τῶν ἐγκωμίων· ὦ γλῶσσα τὴν σφάττουσαν εἰδυῖα φράσιν, δήμων ἀνάπτα, λαομουλτοσυστάτα· ὦ δάκτυλοι πλήττοντες οἷάπερ βέλη καὶ βραχίων δόρατος εἰσβάλλων πλέον καὶ καλαμὶς τέμνουσα πολλῶν καρδίας μέλαν τε τὴν μέλαιναν ἐγγράφον δίκην· ὦ φαρμακὶς δράκαινα, πικρὸν θηρίον, μύραινα δεινὴ καὶ τρυγὼν θαλασσία, ταύρειον αἷμα, πηγνύον, διολλύον, ἰοῦ γέμων θὴρ καὶ δόλου καὶ πικρίας· ὦ κανθαρίς, βδέλλιον ἢ χαμαιλέον, ὦ γραῦς Ἐρινύς, συμφορῶν παραιτία, ὦ νυκτιτυμβάς, φαρμακὶς κεκρυμμένη, οἴκους καπνοῦ πληροῦσα καὶ δυσθυμίας, κακοῦργε καὶ πανοῦργε, δεινὲ τὰς φρένας· ὦ τοῦ σατὰν γέννημα, δαιμόνων φύσις, Τελχίν, Τυφών, Πρίαπε, Σατύρου θέα, Τιτάν, Προμηθεῦ καὶ Κορύβα μητρίσας, Ἰαπετοῦ πρώτιστε καὶ Κρόνου πλέον. Ὢ μυσταγωγὲ Δελφικῶν δεσπισμάτων, ἀρρητοποιὲ Πυθικῶν μυστηρίων· ὦ μάντι δεινῶν, ὦ προφῆτα χειρόνων, ὦ Φοῖβ' Ἄπολλον, ψυχικῶς ἀπολλύων, χρηστηριάζων, ἀλλὰ λοξὰ τῷ βίῳ· ποῦ σοι τρίπους νῦν τῶν προδήλων πλασμάτων, ποῦ χαλκὸς ἠχῶν, ποῦ δὲ Δωδώνης ψόφοι; παρῆλθεν ἡ θύελλα, φροῦδον πᾶν νέφος· χρησμῳδὲ λοξὲ θεσφάτων ἀθεσφάτων, ἡ μάντις ἠσθένησεν αἴφνης σοι δάφνη, ὕδωρ τὸ φωνοῦν ἐψύγη παρ' ἐλπίδα· λεκανόμαντι, πάντα σοι διερρύη· καταφρονῶ σου τῶν ἀθέσμων ὀργίων, τῆς μαντικῆς σου φιάλης καταπτύω· γελῶ σε, κριθόμαντι καὶ σχοινοστρόφε, Ἐρινύος πρόσωπον ἡπατοκτόνου, τὰ νυκτερινὰ φροῦδα μαντεύματά σου· Ἄπολλον, ἐξόλωλας, ἠλέγχθης ὅλος, στέναζε τὴν σὴν συρραγεῖσαν καλύβην· ἔλαμψεν αἰθὴρ ἡλιοβρύτου φάους, ψευδεῖς ὄνειροι, χαίρετ', οὐδὲν ἦτ' ἄρα, Ἄνειμι δ' αὖθις εἰς ἐρωτήσεις, πάτερ, καί μοι πρὸ ταρσῶν στῆθι καὶ σαφῶς λέγε· τίς καὶ πόθεν σε τὸν κατεστυγημένον διδάσκαλον πέπομφε κοινὸν τῷ βίῳ; ἐκ τῆς Σιών τις; ἀλλ' ὅθεν Μωσῆς πάλαι; μῶν οὖν κατεῖδες τὴν βάτον πεφλεγμένην ἄφλεκτα μηνύουσαν ἄρρητον λόγον; ἔγνως τὰ φρικτὰ τῆς ἀπορρήτου θέας, ὡς παρθένος μὲν ἡ βάτος νοουμένη, τὸ πῦρ δ' ὁ Χριστός, τὴν κύουσαν μὴ φλέγων; τίς δ' οὖν ὁ πέμψας ἄγγελον μυστηρίων; δέδοικα, μὴ δαίμων τις


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνθρωποκτόνος. ἆρ' οὖν ὑπεῖξας ὡς βραδύγλωσσος φύσει ἢ προδραμὼν ἥρπασας οὐ λειτουργίαν, ξένην δὲ παντάπασιν ἀρρητουργίαν; ἐχέγγυον δ' εἴληφας ἢ παρρησίας ἢ τῶν ἐλέγχων ἢ σοφῆς στρατηγίας; τὴν ῥάβδον <ἔσχες> εἰς ὄφιν τεταμένην, ὕδωρ καθῃμάτωσας, ἤγειρας σκνίπας, τὴν ἡμέραν ἤμειψας εἰς βαθὺν ζόφον; τίς οὖν σε καὶ δέξαιτο καινὸν Μωσέα, ὃς τῶν Μιθαίκων καὶ Σαράμβων τυγχάνεις, δικῶν ταράκτης, συκοφαντῶν προστάτης, συνηγορῶν ἔμμισθα πολλοῦ χρυσίου; Ἔστω δέ, καὶ πέφυκας ἠκριβωμένος τὴν πρακτικὴν ἅπασαν ἢ θεωρίαν, τὸν βαθμὸν ἔγνως τῶν ἀΰλων κλιμάκων, ἀνῆλθες ἄχρι τῆς ὑπερτάτης πύλης, τῶν σωμάτων ἔγνωκας αὐτοὺς τοὺς λόγους ἀσωμάτων τε τὰς ὑπερτέρους φύσεις, τό γ' ἕν τε κεκράτηκας ἐν τῇ τριάδι, ἔγνως τὸν ὄντα, τὴν ὑπὲρ νοῦν οὐσίαν. ἀλλ' οὐκ ἐδέξω δημαγωγίαν, πάτερ, οὐδ' εἰς ἔλεγχον δυσσεβούντων ἐστάλης. Σπάρταν λέλογχας, τήνδε καὶ κόσμει μόνην· οὔπω γὰρ εἶ ποὺς οὐδὲ δακτύλου μέρος. μὴ τὴν κεφαλὴν ἡ βάσις ζυγοστάτει· ἕστηκα καὶ πέπτωκα τῷμῷ κυρίῳ, σαυτὸν παρεξέταζε, σαυτὸν ἀκρίβου. ἀγυρτικὴν ἔζησας ἰδέαν βίου, οἰκοτριβῶν, ἄνθρωπος ἠμελημένος, φθορεὺς λογισμῶν ἁπλότητι συγκράτων. ὁ χθὲς κάπηλος σήμερον θεηγόρος; ὁ πρὸ τρίτης βοῦς ἄγγελος νῦν ἀθρόον; ὁ σήμερον πρόχειρος εἰς ἁμαρτίαν πῶς σήμερον πρόχειρος εἰς σωτηρίαν; ὁ νῦν ἀσελγὴς πῶς ἀσελγείας κρίνεις; ἰατρέ, φαρμάκευε τὸν σαυτοῦ βίον· ὕπουλα τἄνδον, ψωριᾷ τὸ σαρκίον, τὸ τραῦμα δῆλον, τηλεφανὴς ἡ λέπρα· κενώσεως δεῖ καὶ συχνῶν καθαρσίων, δεσμῶν βιαίων, τριμμάτων, ἀλειμμάτων. μελαγχολᾷς, ἄνθρωπε, δεινῶς τὰς φρένας. τί συκοφαντεῖς τοὺς ἀνεγκλήτους μάτην λόγους τε πλάττεις καὶ διαπλέκεις δόλους; ἑλλεβόριζε τὴν σεαυτοῦ κακίαν, εἴ πως κενώσεις τοῦ χυμοῦ τὴν οὐσίαν· φρενιτιᾷς γὰρ καὶ νοσεῖς παρρησίαν, εἰπεῖν δὲ μᾶλλον ἀκριβῆ λοιδορίαν. τί μου τὸ κάρφος πρὸς δοκὸν σῶν ὀμμάτων; πρόσχημά σοι πέφυκεν ἡ παρρησία, πρόσχημα καὶ κάλυμμα τῶν πεπραγμένων καὶ κρυπτὸν ἐμπόρευμα καὶ στρατηγία. ἀλλ' οὖν ἐγνώσθης, ἀκριβῶς ἐφωράθης. πόρρω κάταιθε σάρκας, ἐμπλήσθητί μου πίνων κελαινὸν αἷμα τοὐμοῦ σαρκίου. πάντων καθάπτου, τῶν μακράν, τῶν πλησίον, πτωχῶν πενήτων, πλουσίων εὐδαιμόνων, κριτῶν, στρατηγῶν, ἱεραρχῶν κυρίου, σεπτῶν ἀνάκτων, εὐσεβῶν θυηπόλων, ψυχῶν διαυγῶν, ἀγγέλων, ἀρχαγγέλων. καὶ τοῦ λόγου κάτειπε· καὶ τί σοι λόγος; ἤνεγκα καὶ δάκνοντα πολλάκις κύνα, ἐκαρτέρησα καὶ κτύπους θαλαττίους. λήρει, φλυάρει, παίγνιον τῶν παιγνίων, Μορμώ, Μιμὼ Βριμώ τε καὶ Γιλλὼ πλέον, θεοστυγὲς μίασμα, παμμιγὲς τέρας, σταυρῷ σε πλήττω καὶ καταπλήττω πλέον, πόρρωθεν εἴργω τῆς πρὸς ἡμᾶς εἰσόδου. ἔρρ' εἰς κόρακας, εἰς ἀνηλίους ζόφους, ἀποφθάρητι, στῆθι πόρρω μοι τάχος. φεῦγ' ἐξ ἐμῆς, πάντολμε, μακρὰν καρδίας· ἐπιζυγῶ σοι τὰς ἀκηράτους πύλας. ἀρχιερεὺς ἔσωθεν, εἰκὼν τοῦ λόγου, ὃν δαιμονῶν πέφρικας ὑβρίζων μάτην, σεπτή τε τάξις ἱεραρχῶν κυρίου, ἑξαπτερύγων εἰκονιζόντων τύπους. ἐπυρπολήθης, εἰ προσέλθῃς πλησίον· κατηνθρακώθης, εἰ προσεγγίσῃς ὅλως. μὴ τρῖβε τὸν τρίβωνα καὶ μίαινέ μοι· ῥῖψον, κύον, τάχιστα τὴν ἐπωμίδα. τί κοινόν, εἰπέ, τῷ λύκῳ καὶ κωδίῳ; ἐκτὸς τὸ χρῶμα, ζωγραφούντων ἡ πλάσις. πρόσχημά σοι πένητες, οὓς κατεσθίεις· θὴρ ἔνδοθεν, θὴρ ἀκριβῶς ἐφωράθης. Ἀλλ' ἡ γραφή, φεῦ, τῶν ἰάμβων πρὸς τίνα; ὕβρις δὲ ποία σῇ κατάλληλος φύσει καὶ σκῶμμα ποῖον σῷ κατάλληλον βίῳ; γλώσσης ἐμῆς μίασμα· πλὴν τί καὶ δράσω; καὶ συμφορὰν τίθημι τὴν κωμῳδίαν, εἰ τὸν σὸν αὐτὸς ἐξετάζω νῦν βίον; ὃς ἐν λόγοις γοῦν φείδομαι καὶ δαιμόνων, τὸν Σαββαΐτην οἷα χείρω δαιμόνων τοῖς ἐμμέτροις τέθεικα παίγνιον λόγοις, τὸν ταρσὸν αὐτῷ τοῦ ποδὸς παραξέσας. καί που σὺ καυχήσαιο σαυτὸν σεμνύνων, ὡς τοῖς ἰάμβοις τοῖς ἐμοῖς τεθεὶς γέλως· καὶ Θερσίτης γάρ, εἴπερ ἔζη τῷ βίῳ, οὐκ ἂν ἀπηξίωσε τὴν Καλλιόπην σκώπτουσαν αὐτὸν ἐμμελῶς τοῖς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐμμέτροις, ἀλλ' ἡδέως ἔστερξε τὴν κωμῳδίαν. προλ

**22 Στίχοι Ἰακώβου τινὸς μοναχοῦ ἀπὸ τῆς μονῆς τοῦ Συγκέλλου κατὰ τοῦ Ψελλοῦ**

Ὦ δέσποτα Ζεῦ καὶ πάτερ καὶ βακλέα, ὀβριμοβουγάιε καὶ βαρυβρέμων, Ὄλυμπον οὐκ ἤνεγκας κἂν βραχὺν χρόνον· οὐ γὰρ παρῆσαν αἱ θεαί σου, Ζεῦ πάτερ.

**22 Ταῦτα ἀκούσας ὁ Ψελλὸς ἐποίησε κανόνα κατὰ τοῦ αὐτοῦ Ἰακώβου** οὗ ἡ ἀκροστιχὶς «Μέθυσον Ἰάκωβον εὐρύθμως ᾄδω, Κώνστας» ᾠδὴ α΄, ἦχος πλ. δ΄. Ἁρματηλάτην Μέθη καὶ πότος καὶ χορός, Ἰάκωβε, / ἡ σὴ πανήγυρις, καὶ συμποτῶν κρότοι / καὶ τρυφαὶ καὶ χάριτες, ὀρχήματα καὶ κύμβαλα / καὶ βοτρύων ἐκθλίψεις καὶ ῥάγες ληνοβατούμεναι / καὶ κοιλίαι πίθων πληρούμεναι. Ἐπιποθήσας τὰς τρυφάς, Ἰάκωβε, / πάσας ἐμίσησας ἀσκητικὰς πράξεις, / πρῶτον τὴν ἐγκράτειαν, τὴν χαμευνίαν ἔπειτα / καὶ τὴν σκληραγωγίαν καὶ τὴν εὐχὴν καὶ τὰ δάκρυα / καὶ τὴν πρὸς θεόν, πάτερ, ἔπαρσιν. Θαυμάτων πέρα ὁ καλὸς Ἰάκωβος, / ὁ τῆς Συγκέλλου μονῆς· ὡς γὰρ ληνὸς ἄλλη / δέχεται τοὺς βότρυας, καὶ σφίγγων ἐν τῷ λάρυγγι / ἀποθλίβει τὸν οἶνον ὥσπερ εἰς πίθον τὸν στόμαχον, / καὶ μεταγγιζόντων οὐ δέεται. Ὑποχωρεῖ σοι καὶ διψάς, Ἰάκωβε, / ζῷον ἀκόρεστον, καὶ πυρετὸς φλέγων / πόσει μὴ σβεννύμενος καὶ ἐμπρησμὸς ἀφόρητος / καὶ κατάξηρον πέδον· ὥσπερ γὰρ ᾅδης ἢ θάλασσα / πίνων οὐκ ἐπλήσθης τὸν στόμαχον. ᾠδὴ β΄. Οὐρανίας ἁψῖδος Σταθηρὸς τὴν καρδίαν / καὶ τὴν ψυχὴν πάντολμος καὶ ἀκαταπτόητος ὤφθης / ῥοφῶν τὸν ἄκρατον· ὅθεν οὐκ ἔπτηξας / οὐδὲ ληνοὺς κενουμένους οὐδὲ πίθους ῥέοντας / ἐν τῇ κοιλίᾳ σου. Ὁ πληρώσας ἀβύσσους / δημιουργὸς κύριος καὶ τὴν τῆς θαλάσσης κοιλίαν / μεστώσας ὕδατος σὴν οὐκ ἐπλήρωσε, / πάτερ, πλατεῖαν γαστέρα· ὡς σωλὴν γὰρ ἅπαντα / κενοῖς δεχόμενος· Νόμος ἔστι σοι, πάτερ, / κανονικῶς κείμενος πάντα σου τοῦ βίου τὸν χρόνον / πίνειν ὡς ἄσαρκος· ὅθεν οἱ ὄρθροι σε / καὶ μέσαι νύκτες πολλάκις ἔχουσι μεθύοντα / καὶ γαστριζόμενον. Ἰωνᾶς μείζων, πάτερ, / νῦν ἐφ' ἡμῖν γέγονας, μένων τῆς ζωῆς σου τὸν χρόνον / ἐν τῇ τοῦ πίθου γαστρί, καὶ ψάλλων ἄπαυστα / οὐ τὸ «Ἀνάγαγε», πάτερ, ἀλλὰ τὸ «Κατάγαγε / εἰς φθορὰν οἴνου με». ᾠδὴ γ΄. Σύ μοι ἰσχύς, κύριε Ἀναπεσὼν / ὕπτιος ἐπὶ τῆς κλίνης σου καὶ γυμνώσας / στῆθος καὶ τὸν τράχηλον καὶ τὸν μηρὸν ἄχρι τῆς αἰδοῦς πίνεις ἀνενδότως, / ἴσως καὶ πέρδεις, Ἰάκωβε, ἐξόδοις τὰς εἰσόδους / ἐκμετρῶν παραχρῆμα καὶ σκορπίζων κακῶς ἃ συνήγαγες. Κανονικῶς / πίνεις ὁ μέγας Ἰάκωβος, οἶνον τάξας / μέλανα καὶ ἄκρατον καὶ μετρητὰς ἀκράτου ποτοῦ κατὰ τὰς αἰσθήσεις / τὰς τῆς ψυχῆς καὶ τοῦ σώματος· τὰς δέκα γὰρ βαπτίζεις / ἐν ἑνὶ νυχθημέρῳ μηδεμίαν καθαίρων ὁ πάντιμος. Ὤφθης ἐν γῇ / ἄμπελος, πάτερ, πολύκαρπος, οἶνον στάζων / πάντοθεν παχύτατον, ἐκ τοῦ λαιμοῦ, ἐκ τῶν ὀφθαλμῶν, ἐκ τῆς κάτω θύρας, / ἀπὸ παντός σου τοῦ σώματος· ἱδρῶτας γὰρ ἐκχέεις, / ἀλλὰ μέθην βαρεῖαν ὡς ἀσκὸς διαρρεύσας, Ἰάκωβε. Βέλει τρωθεὶς / σὺ τὴν καρδίαν ὡς ἔλαφος ἀνενδότως / τρέχεις ἐλαυνόμενος πάσας πιεῖν οἴνου τὰς πηγάς, ὅλους ἐκροφῆσαι / ληνοὺς καὶ πίθους, ἀκόρεστε, καὶ στῆσαί σου τὴν δίψαν / οὐδὲ Νεῖλος ἰσχύει οὐδὲ θάλασσα, πάτερ Ἰάκωβε. ᾠδὴ δ΄. Ἵνα τί με ἀπώσω Οὐ φυτεύσας ἀμπέλους, πάτερ, ἐν τῷ βίῳ σου πολλὰς ἐτρύγησας, οὐδὲ θλίψας βότρυν τοῖς ποσί σου ληνοὺς ὅλους πέπωκας, οὐδὲ ὕδωρ βάλλων / ἐν τῇ φιάλῃ σου τῆς μέθης ἐκροφᾷς θαυμασίως τὸν ἄκρατον. Νυσταγμὸν σοῖς βλεφάροις οὐδὲ τῇ γαστρί σου ἀνάπαυσιν δέδωκας· πίνεις γὰρ τὰς νύκτας ὡς ἀσώματος, πάτερ Ἰάκωβε, χαίρων τῇ καρδίᾳ / τῇ ἐργασίᾳ τῆς μέθης καὶ γελῶν ἀκρατῶς εἰς τὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄκρατον. Ἐκ κοιλίας κραυγή σου ἤκουσται, Ἰάκωβε, ἐν τῇ τοῦ πίθου γαστρί, καὶ ὑπήκουσέ σου ὁ τὸν οἶνον ἐκχέων σοι, πάντιμε· πληρωθεὶς γὰρ μέθης / βορβορυγμούς, ὀξυρεγμίας ὠρυγάς τε ἐκπέμπεις καὶ πνεύματα. Ὑπέταξας τὴν σάρκα, ἐχαλιναγώγησας εἰς τὰ συμπόσια, καὶ ὡς δούλῃ πίθους ἐπεφόρτισας ἀκράτου γέμοντας, καὶ πρὸς πᾶσαν μέθην / καὶ ἀκρασίαν ἀναγκάζεις, καὶ ὑπείκει σοι, πάτερ Ἰάκωβε. ᾠδὴ ε΄. Ἱλάσθητί μοι Ῥοφήματί σου ἑνὶ / ἐκένωσας δέκα κύλικας, τῷ πνεύματι δὲ προσθείς, / ἀσκὸν εἰκοσάμετρον· λείπεται, Ἰάκωβε, / τὸ στόμα πλατύνας ἐκροφῆσαι καὶ τὴν θάλασσαν. Ὑπείκουσι σταλαγμοῖς / καὶ σίδηροι καὶ ἀδάμαντες, ῥανίσι δὲ συνεχεῖ / αἱ πέτραι κοιλαίνονται· τὸν σὸν δὲ ἀκόρεστον / στόμαχον οἱ πίθοι ἐκκενούμενοι οὐκ ἤμβλυναν. Θυμὸν ὀργῶντα δεινῶς / σβεννύεις, πάτερ Ἰάκωβε· πληρώσας γὰρ εὐφυῶς / ἀκράτου τὴν κύλικα τῷ ψυχρῷ φλεγμαίνουσαν / τὴν ὀργὴν κοιμίζεις καὶ νικᾷς τὰ πάθη, πάνσοφε. Μὴ ἔλθῃς εἰς τὰς ἐμὰς / ἀμπέλους, πάτερ Ἰάκωβε, μὴ κείρῃς βότρυν ἐμόν, μὴ ληνοβατήσαις μοι· ὡς γὰρ σπόγγος ἄνικμος / ἀνιμᾷς τὸν οἶνον πᾶσι μέρεσι τοῦ σώματος. ᾠδὴ ϛ΄. Παῖδες Ἑβραίων Ὤφθης κανὼν καὶ τύπος, πάτερ, τοῖς μεθύουσι, / μὴ συγκιρνῶν τὸν οἶνον μηδ' ἀμβλύνων αὐτοῦ / δι' ὕδατος τὸν τόνον, ἀλλ' ὡς ἐρρύη χρώμενος, / τῶν βοτρύων ἐκθλιβέντων. Στέψον τὴν κάραν σου ταῖς δάφναις, ἐπενδύθητι / καὶ δέρματα δορκάδων, καὶ τοὺς θύρσους κινῶν / τῷ Διονύσῳ κράζε· «εὖ ὕις ἄτ[ις], βρόμιε, / βοτρυοῦχε, ληνοβάτα.» Ἅπτουσαν κάμινον τῆς μέθης κατεπάτησας / ὡς ἄλλος Ἀζαρίας, καὶ ἀγγέλου χωρὶς / οὐδ' ὅλως κατεφλέχθης, σβέσας τὴν φλόγα, πάντιμε, / ἀκράτῳ πολυποσίᾳ. Δάκρυσι πλύνεις σου τὴν κλίνην καὶ βαπτίσματι / βαπτίζῃ καθ' ἡμέραν· ἡ γαστήρ σου καὶ γὰρ / τὸν οἶνον μὴ χωροῦσα δι' ὀχετῶν τοῦ σώματος / ἀποβλύζει τοῦτον, πάτερ. ᾠδὴ ζ΄. Ἑπταπλασίως κάμινον Ὥριμος βότρυς πέφυκεν / ἡ σὴ ὄψις, Ἰάκωβε, οἴνους διαφόρους πανταχόθεν βλύζουσα, τὸν Χῖον τοῖς ὄμμασι / τοῖς γνάθοις τε τὸν Πράμνειον καὶ τὸν ἀνθοσμίαν ὀχετοῖς τῶν ὀφρύων, τοῖς χείλεσι τὸν Κεῖον / καὶ τῷ στόματι, πάτερ, ἡδύοσμον ὀσφρήσει / καὶ μέλανα τῇ χρόᾳ. Κλινοπετὴς καὶ πάννυχος / ἐκτελεῖς τὸν κανόνα σου, χαίρων τῇ ἀσκήσει τῆς σαρκός, Ἰάκωβε· ἀσκοὺς γὰρ προθέμενος / φιάλας τε καὶ κύπελλα, πίνεις ὅλην νύκτα καὶ καυχώμενος λέγεις· οὐκ ἔμιξα τῷ οἴνῳ / ὥσπερ κάπηλος ὕδωρ, οὐ ψῦχον οὐδὲ ζέον, / ἀκράτου τούτου σπῶμαι. Ὡς οἰκονόμος πάνσοφος / νουνεχής τε καὶ φρόνιμος ἀποθησαυρίζεις μετοπώρῳ πάντοτε κεράμια γέμοντα / οἴνου καλοῦ, Ἰάκωβε, καὶ κατακλιθεὶς ἐπὶ τῆς κλίνης εὐθέως ἀφροντίδι καρδίᾳ / ἀμερίμνῳ τε βίῳ τὸν χρόνον ὅλον πίνεις· / ὢ ξένων θαυμασίων. Νέον ἀσκὸν εὐμήχανον / ἀπειργάσω τὸ σῶμά σου, τάξας εἰσδοχὰς καὶ ἐκβολάς, Ἰάκωβε· καὶ γὰρ εἰσδεχόμενος / πρηγορεῶνι πέμπεις εὐθύς, καὶ ἐμπιπλαμένη ἡ γαστήρ σου οὐκ ἔστιν· ὡς θάλασσα γάρ, πάτερ, / ποταμοὺς δεχομένη ἰσόμετρος τυγχάνει / διὰ μηχανουργίαν. ᾠδὴ η΄. Ἐξέστη ἐπὶ τούτῳ Στηρίξας σου τοὺς πόδας / ἐν τῷ ληνῷ ἐν τοῖς βότρυσιν ἔχεις τὰς χεῖράς σου καὶ τοῖς ἀσκοῖς πέμπεις σου τὸ βλέμμα, πάτερ σοφέ· ἐρείσας δὲ τὸ στόμα σου / ἐν βαθεῖ κυπέλλῳ πίνεις ὡς βοῦς, οὐδ' ὅλως ἀναπνέων, / οὐδ' ὅλως ἐπασθμαίνων, ἀλλ' ἀνελκύων ὥσπερ ἄμπωτις. Τὰς τάξεις τῶν ἀγγέλων / ἐν οὐρανῷ, ἐπὶ γῆς δὲ ἐκπλήττεις ἀνθρώπων ψυχάς, ὅτι τὰ σὰ χείλη ἐναρμόττων ἐν τοῖς ἀσκοῖς ἀπορροφᾷς τὸν ἄκρατον / βλέπων ὥσπερ ταῦρος τοῖς ὀφθαλμοῖς, καὶ πίνων ἀνενδότως / ἄχρις ἰλύος, πάτερ, μὴ συγκοπτόμενος τῷ πνεύματι. Ἀσκήσεως κανόνας / οὐκ ἀναγνοὺς ἀσκητὴς ἀνεφάνης αὐτόματος ἀσκῶν, σοφέ, ἄσκησιν τὴν ὄντως ἀσκητικήν· ἀσκητικῶς γὰρ ἤσκησας / πίνων ἐν ἀσκήσει πολλοὺς ἀσκούς· ἀσκήσας δὲ ἐν βίῳ / ἀσκήσεως τοὺς ἄθλους, ἀσκοὺς ἐν βίῳ πάντας εἴληφας. Στεφανοὺς ἐξ ἀμπέλων / σῇ κορυφῇ ἐπιθήσωμεν, πάτερ Ἰάκωβε, καὶ τοῖς ὠσὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βότρυας κρεμάσωμεν εὐφυῶς, ἀσκοὺς δὲ τοῦ τραχήλου σου / κύκλῳ ἐξαρτήσωμεν οἰνηρούς, καὶ κράξωμεν εὐτόνως, / «ὁ πίνων ἀνενδότως οὕτως πομπεύει καταγέλαστα.» 23 Μηνὶ Νοεμβρίῳ κη΄ Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Συμεὼν λογοθέτου τοῦ Μεταφραστοῦ Στιχηρὰ εἰς τὸ Κύριε ἐκέκραξα ἦχος πλ. β΄, πρὸς τὸ Ὅλην ἀποθέμενοι Γέρας τὸ λαμπρότατον / σοῦ καὶ περίβλεπτον ὕψος μεγαλοπρεπέστερον / ταῖς μεγαλουργίαις σου / ἀπετέλεσας, καὶ τὴν ἐνεγκοῦσάν σε / βασιλίδα πόλιν καὶ ἐν τούτῳ βασιλεύουσαν πασῶν τῶν πόλεων / καὶ ὑπερκειμένην ἀπέδειξας καθ' ὥραν ἐξανθήσασαν / σὲ τὸν ἀληθῶς περιώνυμον βίῳ τε καὶ λόγῳ / καὶ πάσαις ταῖς καλλίσταις ἀρεταῖς, τὸ θαυμαστὸν ταύτης γέννημα / καὶ λαμπρὸν στεφάνωμα. Ὢ τῶν θαυμασίων σου, / θαυμασιώτατε πάτερ, οἷς σε ἐθαυμάστωσεν / ὁ ποιῶν θαυμάσια / μόνος κύριος· ὡς γὰρ ζῶν ἄψαυστον / σαρκικῶν μίξεων διετήρεις τὸ σαρκίον σου, οὕτως ἐφύλαξας / τάφῳ τυμβευθὲν ἀπροσπέλαστον τὸ σῶμά σου τὸ ἅγιον / τῆς ἐπιμιξίας τοῦ ὕστερον τούτῳ συντεθέντος / ἑτέρου σωματίου ἀπρεπῶς· καὶ μαρτυρεῖ τοῦ ἐκβλύζοντος / μύρου σου ἡ ἔκλειψις. Σοῦ τοῖς θείοις χείλεσι / χάρις πολλὴ ἐξεχύθη καὶ σοφίας ἔμψυχον / τῆς ἀκτίστου γέγονας / οἰκητήριον· ὡς πυρὸς γλώσσῃ δὲ / στομωθείς, ὅσιε, ἐν τοῖς λόγοις ὑπερηύγασας, τῶν ἀποστόλων τε / καὶ τῶν ἀθλοφόρων τὰ σκάμματα καὶ βίον τὸν ἰσάγγελον / ἀσκητῶν ἑκάστου διέγραψας. καὶ νῦν συνοικήτωρ / γενόμενος αὐτοῖς ἐν οὐρανῷ τριάδος φῶς τὸ ἀνέσπερον / βλέπεις ἀγαλλόμενος. Δόξα Ἰδιόμελον, ἦχος πλ. β΄ Ὅσιε πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου, διὸ ἐν οὐρανοῖς εὗρες μισθὸν τῶν καμάτων σου. τῶν δαιμόνων ἔλυσας τὰς φάλαγγας, τῶν ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας. παρρησίαν ἔχων ἐν τῇ μνήμῃ σου εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν. Ἀπολυτίκιον ἦχος πλ. δ΄ Ὀρθοδοξίας ὁδηγέ, εὐσεβείας διδάσκαλε καὶ σεμνότητος τῆς οἰκουμένης ὁ φωστήρ, τῶν λογογράφων θεόπνευστον ἐγκαλλώπισμα λύρα τοῦ πνεύματος, ταῖς διδαχαῖς σου πάντας ἐφώτισας, Συμεὼν πατὴρ ἡμῶν. πρέσβευε Χριστῷ τῷ θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Ὁ κανών, ποίημα τοῦ αὐτοῦ Ψελλοῦ, φέρων τὴν ἀκροστιχίδα τήνδε· Μέλπω σε τὸν γράψαντα τὰς μεταφράσεις ᾠδὴ α΄, πλ. β΄, Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραὴλ Μέλος μοι εὔρυθμον δίδου, / λόγε θεοῦ, εὐφημεῖν ὁρμήσαντι / τὸν θεράποντα τὸν σόν, Συμεῶνα τὸν Μεταφραστήν, τὸν κυρίως λογοθέτην ἀξιάγαστον. Ἐξ ὑψωμάτων τῶν θείων καὶ ἐπὶ σὲ πνεῦμα τὸ πανάγιον / κατελήλυθε, σοφέ, καὶ καρδίαν εὗρε καθαράν, καὶ ἐν σοὶ ἀληθῶς ἐπανεπαύσατο. Λύχνος ὁ νόμος κυρίου / σοῦ τοῖς ποσὶν ἀπὸ βρέφους γέγονε, / μελετῶντος ἐν αὐτῷ εὐσεβῶς ἡμέρας καὶ νυκτός, τῆς ἡμέρας ὡς υἱοῦ, καὶ φῶς τοῖς τρίβοις σου. Πόκον σε πάλαι προεῖδεν / ὁ Γεδεών, ἐφ' ὃν καταβέβηκεν / ὁ θεὸς ὡς ὑετὸς καὶ τὴν γῆν πεπλήρωκεν αὐτοῦ, μητροπάρθενε ἁγνή, τῆς ἐπιγνώσεως. ᾠδὴ γ΄, Οὐκ ἔστιν ἅγιος ὡς σύ Ὡς πλήρης πνεύματος θεοῦ πληρωτὴς ἀνεδείχθης / τῶν αὐτοῦ προσταγμάτων· τὸ γὰρ παρὰ τοῦ Χριστοῦ / ἐμπιστευθέν σοι καλῶς ἐξειργάσω / τάλαντον, μακάριε. Σοφίας θείας ἐραστὴς ἁπαλῶν ἐξ ὀνύχων / γεγονώς, θεορρῆμον, περιεπλάκης αὐτὴν / καὶ τῶν χαρίτων αὐτῆς τῷ στεφάνῳ, / μάκαρ, ἐστεφάνωσαι. Ἐνδιαπρέψας ἐν ἀρχαῖς ταῖς τῆς κάτω συγκλήτου / ὡς ἀνὴρ βουληφόρος, τὸ πολίτευμα τὸ σὸν / ἐκτήσω ἐν οὐρανοῖς καὶ τὴν ἄνω / σύγκλητον ἐκόσμησας. Τὸν ὑπὲρ φύσιν τοκετὸν τῆς πανάγνου παρθένου / ὁ σοφὸς λογοθέτης ἀκατάληπτον εἰδὼς / ἀγγέλοις τε καὶ βροτοῖς ἐκδιδάσκει / πίστει μόνῃ σέβεσθαι. ᾠδὴ δ΄, Χριστός μου δύναμις Ὁ πάντων κύριος καὶ πάντων αἴτιος τῶν καλῶν ἐξ ἁπάντων σὲ τὸν σοφόν, μάκαρ, ἐξελέξατο τῶν θεραπόντων τῶν αὐτοῦ / ἐπαινέτην ἀξιάγαστον. Νοὸς ὀξύτητι καὶ καθαρότητι καὶ λαμπρότητι βίου τὸ νοερόν σε φῶς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καθωράισε καὶ ταῖς τῶν λόγων καλλοναῖς / ὁ θεός σε ἐχαρίτωσεν. Γραφαῖς ἐσχόλαζες ταῖς θείαις, ὅσιε, καὶ ἁγίων τοὺς βίους ἰχνηλατῶν τούτων τὰ παθήματα καὶ τοὺς ἀγῶνας ἐξυμνεῖς / ταῖς σοφαῖς σου μεταφράσεσιν. Ῥητόρων στόματα, σαλπίγγων ᾄδοντα εὐηχέστερα μέλη, ἀνευφημεῖν ἐπαξίως, ἄχραντε, ἀδυνατοῦσι τοῦ θεοῦ / σὲ τὸ ὄρος τὸ κατάσκιον. ᾠδὴ ε΄, Τῷ θείῳ φέγγει σου, ἀγαθέ Ἀνατολῆς ἥλιε, Χριστέ, τῆς δικαιοσύνης τῶν ψυχῶν, ὁ φωτισμὸς τῶν ὑμνούντων σε, τοῦ Μεταφραστοῦ σου ταῖς παρακλήσεσι τὸν ζόφον τῆς ψυχῆς μου / λῦσον ὡς εὔσπλαγχνος. Ψυχωφελεῖς καὶ ἐπιτερπεῖς καὶ σωτηριώδεις τοῖς πιστοῖς λόγους, θεόφρον, συντέθεικας, ζῆλον πρὸς ἀνδρείαν, ἀρετῆς μίμησιν, τῶν εὖ βεβιωκότων / τὰ ὑπομνήματα. <Α........................ ......................... ........................... ........................... ...........................> Ναὸς καὶ θρόνος καὶ κιβωτὸς τοῦ παμβασιλέως καὶ θεοῦ σὺ εἶ, πανύμνητε δέσποινα, μόνη θεστόκε, τὸ ἱλαστήριον ἡμῶν τῶν προσφευγόντων / ὑπὸ τὴν σκέπην σου. ᾠδὴ ϛ΄, Τοῦ βίου τὴν θάλασσαν Τὸ πρῶτόν σου σύγγραμμα ἐκ προνοίας θεϊκῆς / καὶ ὁμιλίας γέγονε τοῦ ἱεροῦ πρεσβύτου καὶ μοναστοῦ, Συμεὼν θεσπέσιε, ὃν ἐν Πάρῳ τῇ νήσῳ τεθεώρηκας. Ἀξίως ἐξύμνησας τῆς Λεσβίας τὰ λαμπρὰ / καὶ θεῖα ἀγωνίσματα Θεοκτίστης τῆς ὄντως ἀγγελικόν, μικροῦ καὶ ἀσώματον, τελεσάσης πανσόφως τὸ πολίτευμα. Τὰ ἄδηλα, κύριε, καὶ τὰ κρύφια τῷ σῷ / θεράποντι ἐδήλωσας τῆς σῆς σοφίας ἄβυσσον οἰκτιρμῶν, δεικνὺς τὰ ἐλέη σου καὶ δοξάζων τοὺς πίστει σε δοξάζοντας. Ἀνάγαγε, κύριε, ἐκ βυθοῦ με τῶν κακῶν / πρεσβείαις τῆς τεκούσης σε καὶ τοῦ ὁσίου, δέσποτα, Συμεών, τοῦ σε θεραπεύσαντος διὰ βίου καὶ λόγου, πολυέλεε. Κοντάκιον ἦχος β΄, Τὰ ἄνω ζητῶν Ἀμέμπτως ἐν γῇ, / σοφέ, πολιτευσάμενος τῶν ἐν οὐρανοῖς / ἁγίων τὰς λαμπρότητας κατιδεῖν ἠξίωσαι / καὶ πανσόφως τούτους ἐξύμνησας. σὺν αὐτοῖς Χριστῷ τῷ θεῷ μὴ παύσῃ πρεσβεύων ὑπὲρ πάντων ἡμῶν. Ὁ οἶκοσ Μελῳδικῶς πιστοὶ συνελθόντες εὐφημήσωμεν πάντες ἐπαξίοις ᾠδαῖς τὸν μέγαν θεοῦ θεράποντα Συμεῶνα, τὸν ἅγιον λογοθέτην, / ὃν ἡ Χριστοῦ ἐκκλησία φωστῆρα πεπλούτηκεν ἐπὶ γῆς τοῖς διδασκάλοις πατράσιν ἐκλάμψαντα· σὺν τούτοις γὰρ ψάλλων ἀπαύστως Χριστῷ φωτός τε ἀιδίου πληρούμενος συγχαίρει πρεσβεύων ὑπὲρ πάντων ἡμῶν. ᾠδὴ ζ΄, Δροσοβόλον μὲν τὴν κάμινον Στηλιτεύονται καὶ δαίμονες καὶ τύραννοι, μάρτυρας καὶ ὁσίους Χριστοῦ οἱ κολάσαντες ταῖς σοφαῖς σου, μάκαρ, συγγραφαῖς. πιστῶν μελῳδεῖ δὲ ἡ πληθύς· Εὐλογητὸς εἶ, ὁ θεὸς / ὁ τῶν πατέρων ἡμῶν. Μεταφράσεις ὠνομάσθησαν οἱ λόγοι σου, τρισμάκαρ, καθηδύνοντες νοῦν <τὸν> ἡμέτερον ὑπὲρ μέλι καὶ τὸν γλυκασμὸν τοῖς χείλεσι στάζοντες βοᾶν· Εὐλογητὸς εἶ, ὁ θεὸς / ὁ τῶν πατέρων ἡμῶν. Ἐπαινέσει γενεὰ κατὰ τὸν ψάλλοντα καὶ γενεὰ τοὺς λόγους τοὺς σοὺς ὡς ἐξᾴδοντας τὰ θαυμάσια τὰ τοῦ θεοῦ καὶ μέλπειν προτρέποντας ἡμᾶς· Εὐλογητὸς εἶ, ὁ θεὸς / ὁ τῶν πατέρων ἡμῶν. Τὴν καλὴν ἐν γυναιξί σε καὶ πανάμωμον μητέρα τοῦ θεοῦ οἱ πιστοὶ ἱκετεύομεν ἐνεστώσης ῥύσασθαι ἡμᾶς κακίας τοῦ ψάλλειν ἐμμελῶς· Εὐλογημένη ἡ θεὸν / σαρκὶ κυήσασα. ᾠδὴ η΄. Ἐκ φλογὸς τοῖς ὁσίοισ Ἁπασῶν ἡ λαχοῦσα / ἄρχειν τῶν πόλεων σὲ προήνεγκε θεῖον / καρπόν, μακάριε, τρέφοντα αὐτὴν / μυστικῶς καὶ ποτίζοντα νέκταρ ἀμβροσίας / ψυχῶν εἰς σωτηρίαν. Φυτουργὸν ἐγκρατείας / καὶ βίου σώφρονος, γεωργὸν εὐσεβείας / καὶ θείας πίστεως, γνώσεως βυθὸν / καὶ πηγὴν κατανύξεως πάντες σε τιμῶμεν, / Συμεὼν λογοθέτα. Ῥητορεύων τὰ θεῖα / θέλγεις τὸ πλήρωμα τῆς σεπτῆς ἐκκλησίας, / θεομακάριστε, καὶ διανιστᾷς / ἀρετῆς πρὸς τὴν μίμησιν τῶν ἐν εὐσεβείᾳ / καλῶς τελειωθέντων. Ἁγιάσματος θείαν / κιβωτὸν ἔχοντες, θεοτόκε παρθένε, / σὲ τὴν χωρήσασαν πανυπερφυῶς / τὸν θεὸν τὸν ἀχώρητον, ἀνυμνολογοῦμεν / πιστοὶ εἰς τοὺς αἰῶνας. ᾠδὴ θ΄, Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον Σεμνῶς βιώσας πρὸς τὸν ποθούμενον εἰρηνικῶς,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μάκαρ, ἐξεδήμησας κύριον, κατ' αὐτὴν τὴν ἡμέραν καθ' ἣν ὁ κλεινὸς Στέφανος τελειοῦται / ὁ ὁσιόμαρτυς, ᾧ καὶ συνεστέφθης εὐκλεῶς / καὶ συνδεδόξασαι. Ἐκ γῆς ἀπαίρουσα πρὸς οὐράνια ἡ ἱερὰ ψυχή σου, θεοφόρε, σκηνώματα, ἀγαλλόμενον εἶχε τὸ πρόσωπον, βλέπουσα τοὺς ἁγίους / αὐτῇ συγχαίροντας καὶ πρὸς ὑπερκόσμιον ζωὴν / ταύτην προπέμποντας. Ἰδοὺ συνήφθης ἁγίων τάγμασι πατριαρχῶν, μαρτύρων, ἀποστόλων ὁσίων τε προφητῶν καὶ διδασκάλων καὶ ἱεραρχῶν· οἷσπερ καὶ συγχορεύων, / μακαριώτατε, μέμνησο πρὸς κύριον ἡμῶν / τῶν εὐφημούντων σε. Σιὼν ἁγία, θεοχαρίτωτε, πόλις θεοῦ καὶ κατωχυρωμένον παλάτιον, τὴν πασῶν βασιλεύουσαν πόλεων ἐν σοὶ ἀνακειμένην / ταύτην περίσῳζε τοῦ Μεταφραστοῦ ταῖς ἱεραῖς, / κόρη, δεήσεσιν. Εἰς τοὺς αἴνους ἦχος δ΄, Ὡς γενναῖον ἐν μάρτυσιν Εὐγενοῦς ἀνεβλάστησας / ῥίζης ῥόδον κατέρυθρον βεβαμμένον χάρισι / ταῖς τοῦ πνεύματος καὶ τοὺς πιστοὺς εὐωδίασας / ὀσμαῖς συγγραμμάτων σου, ἀποστόλων, ἀθλητῶν / καὶ ὁσίων τὰ σκάμματα συνταξάμενος· / ὧν καὶ σύστοιχος ὤφθης, θεοφάντορ Συμεών, / τρυφῆς ἐν χλόῃ τῇ ἀειδρόσῳ σκηνούμενος. Γραφικῶς ἐξεχύθη σοι, / Συμεών, ἐν τοῖς χείλεσι τοῦ ἁγίου πνεύματος / χάρις ἄρρητος· διὸ τὸν μάτην καυχώμενον / πλοκαῖς διαλέξεων ἐξελέγξας ταπεινοῖς· / ὡς καλάμη γὰρ γέγονε κατὰ πρόσωπον / τοῦ πυρὸς τεφρουμένη καὶ σὲ μᾶλλον / μεγαλύνων ἀνεδείχθη, φρίξας νοός σου τὴν δύναμιν. Ὡς θεράπων γενόμενος / τοῦ θεοῦ ἐκ τῶν ἔργων σου, ὡς ἁγίων σύσκηνος / οὓς ἀνύμνησας, ὡς παρρησίαν κτησάμενος / ἁγνείᾳ τοῦ βίου σου, θεορρῆμον Συμεών, / τῶν ὑμνούντων σε μέμνησο, τὸ φιλάγαθον / τῆς ψυχῆς σου δεικνύων, ἵνα πάντες / τοῦ θεοῦ φιλανθρωπίᾳ πταισμάτων ἄφεσιν εὕρωμεν. <Δόξα. Καὶ νῦν> Βίον ἔνθεον κατορθώσας θεωρίᾳ τὴν πρᾶξιν κατεκόσμησας, Συμεὼν παμμακάριστε· τὴν γὰρ σοφίαν φιλήσας ἔρωτι θείῳ ἐκ στόματος τοῦ πνεύματος τὴν χάριν κατεπλούτησας. καὶ ὡς κηρίον μέλιτος τὸν γλυκασμόν σου τῶν λόγων ἀποστάζων ἡμῖν εὐφραίνεις νοήμασι θείοις τὴν ἐκκλησίαν τοῦ Χριστοῦ. διὸ ἐν οὐρανοῖς ἐμφιλοχρωρῶν αὐλιζόμενος ὑπὲρ ἡμῶν ἀπαύστως πρέσβευε τῶν ἐκτελούντων τὴν μνήμην σου. Προκείμενον τοῦ ἀποστόλου· Θαυμαστὸς ὁ θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ (πς. 67, 36). Ἐν ἐκκλησίαις (πς. 67, 27). Πρὸς Κορινθίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα· Ἀδελφοί, ἑκάστῳ δίδοται ... βούλεται (ξορ. 12, 7–11). Τὸ εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον· Εἶπεν ὁ κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ὑμεῖς ἐστε ... τῶν οὐρανῶν (ματτη. 5, 14–19).

## 24 Τοῦ ὑπάτου τῶν φιλοσόφων κυροῦ Μιχαὴλ τοῦ Ψελλοῦ παράφρασις διὰ στίχων ἰαμβικῶν εἰς τὸν κανόνα τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κοσμᾶ τοῦ Μαϊουμᾶ ἐπισκόπου, ὃν ἐκεῖνος συντέθεικε ψάλλεσθαι τῇ ἁγίᾳ καὶ μεγάλῃ πέμπτῃ

ᾠδὴ α΄, Τμηθείσῃ τμᾶται πόντος ἐρυθρός, κυματοτρόφος δὲ ξηραίνεται Πόντος μέλας πρὶν τέμνεται τετμημένῃ ξηραίνεται δὲ κυματοτρόφον βάθος. βυθὸς δ' ὁμοῦ τάφος τε καὶ καινὴ βάσις, Αἰγυπτίοις τάφος μέν, Ἑβραίοις βάσις. ᾠδὴ δὲ τοῖς σωθεῖσιν ἐμμελεστάτη ἐκ τῶν νοητῶν ἐκροτεῖτο κρουμάτων· ἔνδοξος ὄντως ὁ πλάσας ἡμᾶς λόγος, καὶ θαυματουργῶν νῦν δεδόξασται πλέον. ἡ πανταιτία καὶ παρεκτικὴ ζωῆς, ἡ ἄπειρος σοφία τοῦ θεοῦ Ὁ τοῦ πατρὸς δύσφραστος ἐν γνώσει λόγος, ἡ τῶν ἀπείρων κτισμάτων πανταιτία, ἡ πᾶσιν ἐμπνέουσα πνεύματος χύσιν, ἔμψυχον οἶκον ἐξ ἀπειράνδρου κόρης λόγοις ἑαυτοῦ δημιουργεῖ πανσόφοις· ναὸν δὲ τὸ πρόσλημμα ποιήσας ξένως ἔνδοξός ἐστι καὶ δεδόξασται πλέον. μυσταγωγοῦσα φίλους ἑαυτῆς τὴν ψυχοτρόφον ἑτοιμάζει Ἡ γνῶσις αὐτὴ τῶν ἀπορρήτων λόγων, ὁ τῶν πατρῴων ἄγγελος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βουλευμάτων, ὡς οἷα μύστας μυσταγωγῶν τοὺς φίλους τὸ σῶμα μὲν τράπεζαν ὡς ψυχοτρόφον, τὸ δ' αἷμα κιρνᾷ νέκταρ ἡδῦνον φρένας. ἀλλὰ πρόσελθε καὶ βόησον ἐμφρόνως· ὁ Χριστὸς ἡμῶν, ἡ λύτρωσις, ἡ χάρις, ἔνδοξος ὢν πρὶν νῦν δεδόξασται πλέον. ἀκουστισθῶμεν πάντες οἱ πιστοὶ συγκαλουμένησ Λόγου βοῶντος, γνώσεως κεκρυμμένης ἅπαντας ἡμᾶς συγκαλούσης ἐνθέως ἀνοιγέτω πᾶς ὦτα τοῖς λαλουμένοις· παγκόσμιον κήρυγμα τῇ καινῇ κτίσει. ὁ Χριστὸς αὐτός, ἡ νοητὴ θυσία, γεύσασθε, φησί, τῶν ἐμῶν νῦν θυμάτων καὶ γνόντες εὐλογεῖτε τὸν τεθυμένον· ἔνδοξος ὢν πρὶν νῦν δεδόξασται πλέον. ᾠδὴ γ΄, Κύριος ὢν πάντων καὶ κτίστης θεός, τὸ κτιστὸν ὁ ἀπαθὴς πτωχεύσας Ἄκτιστος ὤν, κτίστης δὲ πάσης οὐσίας, τὸ κτιστὸν ἐπτώχευσας ὕστερον, λόγε, τὸν δουλικὸν χοῦν προσλαβὼν ὁ δεσπότης. τὸ πάσχα δ' αὐτὸς τυγχάνων ἀποστόλοις, οἷς καὶ θανεῖν ἔμελλες ὡς εὐεργέτης, καινὴ προήχθης οἷα θύτης θυσία, φαγεῖν κελεύων σῶμά σου ψυχοτρόφον στερράν τε ποιῶν τὴν ἐκείνων καρδίαν. ῥύσιον παντὸς τοῦ βροτείου γένους τὸ οἰκεῖον, ἀγαθέ Κρατῆρα πλήσας γνωστικῆς εὐθυμίας τὴν σὴν γλυκεῖαν αἱματόρρυτον πόσιν, ἁμαρτίας κάθαρσιν, ἀγνοίας λύσιν, τῶν σῶν μαθητῶν ἐγχέεις ταῖς καρδίαις, ἑαυτὸν αὐτὸς ἱερουργῶν τοῖς φίλοις ὡς οἷα θύτης, ἀλλ' ὁμοῦ καὶ θυσία, φαγεῖν κελεύων σῶμα σὸν ψυχοτρόφον στερράν τε ποιῶν τὴν ἐκείνων καρδίαν. ἄφρων ἀνήρ, ὃς ἐν ὑμῖν προδότης, τοῖς οἰκείοις μαθηταῖσ Γνώστης ὑπάρχων τοῦ κεκρυμμένου δόλου τοῖς σοῖς προεῖπας ἐμφανῶς ἀποστόλοις· ἄφρων τις ὑμῶν καὶ φονουργὸς τυγχάνων οὐ γνώσεται τὸ πάσχα τοῦ σωτηρίου, ἀλλ' ἐμφαγών με μέχρι τῶν ὁρωμένων οὐ μὴ συνήσει τὴν νοητὴν θυσίαν· ὅμως ὑμεῖς μενεῖτε τοῖς ἐμοῖς λόγοις στερράν τέ μοι λήψεσθε πίστιν τοῦ λόγου. ᾠδὴ δ΄, Προκατιδὼν ὁ προφήτης τοῦ μυστηρίου σου τὸ ἀπόρρητον Τὴν σὴν κένωσιν ὁ προφήτης προβλέπων σαρκώσεώς τε τοὺς ἀπορρήτους λόγους προφητικοῖς εἴρηκεν ἐνθέως λόγοις· ἔθου κραταιὰν ἀγάπησιν ἰσχύος καὶ πατρικὴν νόησιν, οἰκτίρμον πάτερ, τὸν σὸν κραταιὸν υἱὸν ἠγαπημένον ἱλασμὸν ἡμῖν τοῖς ἀπωσμένοις πάλαι καὶ πταισμάτων δοὺς λύτρον ἡμαρτηκόσιν. ἐπὶ τὸ πάθος τὸ πᾶσι τοῖς ἐξ Ἀδὰμ πηγάσαν ἀπάθειαν Ἰὼν ὁ Χριστὸς εἰς ἑκούσιον πάθος τὸ πηγάσαν ἅπασι τὴν καινὴν χάριν τοῖς σοῖς μαθηταῖς εἶπας, ἀλλ' ἀποκρύφως, συνεστιαθῆναί σε βούλεσθαι λίαν τὸ πάσχα τὸ ζῶν οἷα καινοῖς συμπόταις, ὡς οἷα μάρτυς μάρτυσι, θύταις θύτης· εἰς τοῦτο καὶ γὰρ ἐξεπέμφθην πατρόθεν, ὑμῖν ἐμαυτὸν θυσιάσαι τοῖς φίλοις. μεταλαμβάνων κρατῆρος τοῖς μαθηταῖς προεῖπας, ἀθάνατε Ὡς ἑστιάτωρ τοῖς φίλοις καὶ συμπόταις σπῶν τοῦ κρατῆρος τοῦτο νῦν τέλος λέγεις κοινῆς τραπέζης καὶ προσύλων βρωμάτων· ἤδη γὰρ ἔσχεν ἡ παρουσία τέλος. ἀφέξομαι δὲ καὶ νομίμου θυσίας, αὐτὸς δὲ καινὴ θυσία ψυχοτρόφος γενήσομαι σύμπαντι τῷ βροτῶν γένει· ἧκον γὰρ ἐξίλασμα τούτοις πατρόθεν. πόμα καινὸν ὑπὲρ λόγον ἐγώ φημι ἐν τῇ βασιλείᾳ μου Μυστηρίων ἄρρητα τοῖς φίλοις βάθη ὁ κηδεμὼν εἴρηκας ἀρρήτοις λόγοις, κοινῆς μὲν αὐτοῖς οὐ μετασχεῖν ἑστίας, καινὸν δὲ τούτοις συμπιεῖν λόγου πόμα, κοινωνὸς αὐτοῖς τῶν ἀπορρήτων μένων καὶ συνθέωσιν τὴν βασιλείαν λέγων, σὺ μὲν προὼν ἄρρητος ἀρχὴ καὶ λόγος, θεοῖς δὲ τούτοις ἐν μεθέξει συμμένων. ᾠδὴ ε΄, Τῷ συνδέσμῳ τῆς ἀγάπης συνδεόμενοι οἱ ἀπόστολοι Δεσμοῖς ἀγάπης οἱ μαθηταὶ τοῦ λόγου δεσμούμενοι κάλλιστα τῷ κοινῷ πόθῳ συνημμένοι τε τῷ θεῷ καὶ δεσπότῃ κοινῶς ἀπερρύπτοντο σὺν τρόμῳ πόδας, εὐαγγελικῶν δογμάτων ταχυδρόμους καὶ πίστεως ἔχοντες ὡραίας βάσεις, εὐάγγελοι κήρυκες ὄντες τοῦ λόγου. ἡ τὸ ἄσχετον κρατοῦσα καὶ ὑπέρροον ἐν αἰθέρι ὕδωρ Χεὶρ ἡ κρατοῦσα τῶν ὅλων τὴν οὐσίαν πηγάς τε τὰς ἄνωθι τὰς ὑπερρόους καὶ τὰς κάτωθι τῶν ἀβύσσων συστάσεις καὶ τῆς θαλάσσης τὰς ῥοώδεις ἐκχύσεις μέρος τι τούτων τῷ πλυνῷ παρεγχέει, πόδας ἀποπλύνει δὲ δούλων δεσπότης. μαθηταῖς ὑποδεικνύων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ταπεινώσεως ὁ δεσπότης τύπον Τύπον μαθηταῖς δεικνύων ὁ δεσπότης ταπεινότητος πνεύματός τε μετρίου ὁ πάντα δεσμῶν ζώννυται τῷ λεντίῳ· ᾧ πάντα κάμπτει κάμπτεται νῦν τὸν πόδα, πλύνει τε χερσὶ τῶν μαθητῶν τοὺς πόδας αἷς ἡ πνοὴ σύμπασα τῶν ποιημάτων. ᾠδὴ ς΄, Ἄβυσσος ἐσχάτη ἁμαρτημάτων ἐκύκλωσέ με Ἄβυσσος ἐσχάτη με κυκλοῖ πταισμάτων, καὶ τὸν κλύδωνα μὴ φέρων τῶν ῥευμάτων ὡς πρὶν Ἰωνᾶς νῦν βοῶ σοι τῷ λόγῳ· ῥῦσαι φθορᾶς με καὶ ζάλης καὶ πνευμάτων. κύριον φωνεῖτε, ὦ μαθηταί, καὶ διδάσκαλόν με Στοιχεῖν μαθητὴς οἶδε τῷ διδασκάλῳ. τοῖς οὖν μαθηταῖς ὡς διδάσκαλος λέγω· μιμεῖσθε πάντες τὸν τύπον τῶν πρακτέων, ὧν αὐτὸς ἦρξα πρακτικαῖς συμβουλίαις. ῥύπον τις μὴ ἔχων ἀπορρυφθῆναι οὐ δεῖται πόδασ Ἐκτὸς μολυσμῶν οὐ καθαίρεται πόδας ὑμεῖς διαυγεῖς ὡς μαθηταὶ καὶ φίλοι, ἀλλ' εἷς ἀφ' ὑμῶν τὴν ῥοπὴν τῆς καρδίας εἰς θηριώδεις ἐκφέρει φονουργίας. ᾠδὴ ζ΄. Οἱ παῖδες ἐν Βαβυλῶνι καμίνου φλόγα οὐκ ἔπτηξαν Τὴν Περσικὴν κάμινον ἑπταπλασίως καυθεῖσαν οὐκ ἔπτηξαν οἱ νεανίαι· ἡγούμενοι δὲ τὴν πυρὰν ὥσπερ δρόσον ἔψαλλον ἡδύφωνον ᾆσμα τῷ λόγῳ, ὡς εὐλογητὸς τῶν ὅλων ὁ δεσπότης. νευστάζων κάραν Ἰούδας κακὰ προβλέπων ἐκίνησεν Ἔσεισε νεύων τὴν φονοσκόπον κάραν πλέκων Ἰούδας τὸν φόνον τοῦ δεσπότου, ζητῶν ἐφευρεῖν προσφυῶς εὐκαιρίαν Χριστὸν προδοῦναι τὸν κριτὴν κατακρίτοις, ὅς ἐστι πάντων καὶ θεὸς καὶ δεσπότης. μεθ' ὅστις ἐμοῦ τὴν χεῖρα τρυβλίῳ βάψει θρασύτητι Σημεῖον εἶπας τοῖς ἐρωτῶσι φίλοις τῆς τοῦ μαθητοῦ μηχανουργίας, λόγε, τὴν χεῖρα τοῦ βάψαντος ἐν τῷ τρυβλίῳ· ᾧ μὴ προσελθεῖν τοῦ βίου ταῖς εἰσόδοις κρεῖττον τέθεικας λαμπροτήτων μυρίων. τοῦτον δ' ἐδήλους ὅσπερ ἦν φονοδρόμος πάντων ὁ πλάστης καὶ θεὸς τῶν πατέρων. ᾠδὴ η΄, Νόμων πατρῴων οἱ μακαριστοὶ ἐν Βαβυλῶνι νέοι Νόμων πατρῴων Ἰσραηλῖται νέοι ἐν Περσικῇ γῇ φύλακες δεδειγμένοι κατέπτυσαν μὲν τοῦ τυραννοῦντος λόγων, στερροὶ δὲ τυγχάνοντες ὄντως τὴν φύσιν τὸ παμφάγον πῦρ ἐκπεφεύγασι μόνοι, ἐπάξιον δὲ τῷ κρατοῦντι δεσπότῃ ἔμελπον ὕμνον κρούμασι ψυχοκρότοις· τῷ δημιουργῷ πᾶσα μελπέτω κτίσις. οἱ δαιτυμόνες οἱ μακαριστοὶ ἐν τῇ Σιὼν τῷ λόγῳ Τῷ μυσταγωγῷ τῶν ἀληθῶν δογμάτων προσκαρτεροῦντες οἱ μαθηταὶ τῷ λόγῳ ὡς οἷα μύσται τῶν ἀπορρήτων λόγων ἐν τῇ Σιὼν εἵποντο συγκεκλημένοι, ἄρνες καθώσπερ τῷ νοητῷ ποιμένι. συνεστιαθέντες δὲ τὸν θεῖον λόγον θεῷ προσῆγον ἐμμελῆ συμφωνίαν· σύμπασα τὸν κτίσαντα μελπέτω κτίσις. νόμου φιλίας ὁ δυσώνυμος Ἰσκαριώτης γνώμῃ Θεσμῶν ἀληθοῦς καὶ φίλης κοινωνίας ἑκὼν Ἰούδας δυσμενὴς λελησμένος οὓς χερσὶν ἐξένιψε δεσπότης πόδας τούτοις κατ' αὐτοῦ πρὸς φονουργίαν τρέχει· τὸ σὸν δὲ σῶμα μυστικῶς κατεσθίων σοὶ πτέρναν ἦρεν ὕβρεως τῷ δεσπότῃ, μὴ γνοὺς μελῳδεῖν· εὐλογείτω τὸν λόγον ἡ τῷ λόγῳ παγεῖσα τῶν ὄντων κτίσις. ἐδεξιοῦτο τὸ λυτήριον τῆς ἁμαρτίας σῶμα ὁ ἀσυνείδητος Ἐδεξιοῦτο σῶμά σου ψυχοτρόφον ἁμαρτιῶν κάθαρσιν ἀγνώμων λάτρις· ἐδεξιοῦτο καὶ πόμα ζωηφόρον, τῶν αἱμάτων σου τοὺς καθαρσίους λύθρους. ἀλλ' ἦν ἀναιδὴς καὶ πιπράσκων καὶ πίνων καὶ τοῖς πονηροῖς μὴ προσοχθίζων τρόποις, οὐδ' αὖ συνῆκεν ἐκβοᾶν· τὸν δεσπότην ἡ τῶν βροτῶν σύμπασα μελπέτω κτίσις. ᾠδὴ θ΄, Ξενίας δεσποτικῆς καὶ ἀθανάτου τραπέζησ Τοῦ κήρυκος βοῶντος ὡς ὁ δεσπότης εἰς ὑπερῴους χαμόθεν ἤρθη τόπους κοινῇ πρὸς αὐτὸν συνδραμόντες εὐτόνως ἄνω κάτωθεν ἐν τρόποις ὑπερτάτοις θείας τραπέζης συμμετάσχωμεν, φίλοι. ἄπιτε, τοῖς μαθηταῖς ὁ λόγος ἔφη, τὸ πάσχα Τὸ πάσχα, φησὶ τοῖς μαθηταῖς ὁ πλάσας, θύειν τὸ θεῖον εἰς ὑπέρτατον τόπον, ᾧ νοῦς ἔνεστι τοῖς ἐμοῖς μύσταις ξένως, ἑτοιμάσατε γνωστικαῖς θεωρίαις, ἐξ ἀζύμου μὲν τῆς ἀληθείας λόγου, στερρᾷ δὲ πήξει τῇ βάσει τῶν δογμάτων. δημιουργὸν ὁ πατὴρ πρὸ τῶν αἰώνων σοφίαν γεννᾷ, ἀρχήν Λόγον με πλάστην τῶν ἀπείρων κτισμάτων γεννᾷ πατὴρ πρίν, πλὴν πρὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αἰώνων ὅλων, ἀρχὴν ὁδῶν ἄναρχον ἀγνώστων λόγον. γεννᾷ μὲν οὕτως, εἶτα καὶ κτίζει πάλιν εἰς ἔργα ταῦτα τῶν γε νῦν τελουμένων. λόγος γὰρ ὢν ἄκτιστος ἄρρητος μόνος φωνὰς λέγω πως οὗ προσείλημμαι γένους. ὡς ἄνθρωπος ὑπάρχω οὐσίᾳ, οὐ φαντασίᾳ, οὕτω θεὸς τῷ τρόπῳ Ὥσπερ βροτὸς πέφυκα καὶ θεὸς πέλω, οὕτω θεὸς πέφυκα καὶ βροτὸς μένω· ὑπόστασις γάρ εἰμι σύνθετος μία. ἀλλ' ὥσπερ ὢν ἄνθρωπος ὁ πλάστης λόγος φύσει τὸ πᾶν πέφυκα μηδὲν φαντάσας, οὕτω θεὸς πέφυκε τὸ πρόσλημμά μου. οὗτος γάρ ἐστιν ἀντιδόσεως τρόπος· εἴληφεν ὡς δέδωκεν, εἶτ' ἀντιστρόφως δέδωκεν ὡς εἴληφεν. ἰσότης φίλη· ἐκεῖνο τοῦτο, τοῦτ' ἐκεῖνο τῇ φύσει, ἄμφω τὸ κοινόν, ἓν δ' ὁμοῦ τε καὶ δύο. εἷς εἰμι τοίνυν, τὰς φύσεις μὴ συγχέας, ἐξ ὧν, ἐν οἷς πέφυκα, τὸ κρεῖττον δ', ἅπερ. τὸ μὲν γὰρ ἐξ ὧν ταῦτα συγχεῖ πολλάκις, ὥσπερ τὸ σῶμα τὰς συνελθούσας φύσεις (οὐ πῦρ γάρ ἐστιν, οὐκ ἀήρ, οὐδ' ἄλλό τι)· τὸ δ' αὖ ἐν οἷς τρίτον τι τούτων τυγχάνει· ὃ δ' οὖν ἅπερ πέφυκε, ταῦτα τυγχάνει. ἅπερ κἀγὼ πέφυκα φύσεως λόγοις, θεὸς βροτὸς τέλειος, εἷς ἄμφω μόνος.

**25 Εἰς τὸν βασιλέα κῦριν Ῥωμανὸν τὸν γέροντα**

στίχοι, ἐν ταῖς ἀρχαῖς τῶν λέξεων δηλοῦντες τὸ ὄνομα Ῥοδοκρινοπρόσωπος ὡραῖος μέδων ἀκτῖσι νίκης οὐρανοῖ σκηπτουχίαν.

**26 Εἰς τὸν βασιλέα κῦριν Βασίλειον ὅμοιοι**

Βέβαιον ἄστρον, σεμνὸν ἵλασμα λίαν ἔλαμψεν ἴσχειν οἴακας σκηπτουχίας.

**27 Τοῦ αὐτοῦ στίχοι εἰς τὸ φλάμουλον τοῦ Μονομάχου**

ἔχον ἱστορημένον τὸν ἅγιον Γεώργιον, τὸν βασιλέα ἔφιππον, φέροντα λόγχην καὶ τοὺς βαρβάρους διώκοντα Μάρτυς, βασιλεῦ, ἵππε, λόγχη, βάρβαροι, σύμπνει, δίωκε, σπεῦδε, πλῆττε, πίπτετε.

**28 Τοῦ αὐτοῦ εἰς τὸν πρωτοσύγκελλον**

Σύγκελλος ὡς σύνοικος, ἀλλὰ τοῦ λόγου· καὶ πρῶτος ὡς πρόεδρος, ἀλλὰ τοῦ πόλου. πᾶς οὖν τις αὐτὸν πρωτοσύγκελλον λέγε ὡς οὐρανοῦ πρόεδρον, ὡς θεοῦ φίλον.

**29 Στίχοι τοῦ αὐτοῦ Τοῖς ἓν πνέουσι καὶ συνουσιωμένοις,**

συγκλητικοῖς, ἄρχουσι τῆς ἐκκλησίας, Βάρδαις Προκοπίοις τε, Κιννάμοις πλέον, ὀστιαρίοις ὑπομιμνήσκουσί τε, κλητοῖς ἀκλήτοις, γνωρίμοις ἀνωνύμοις, πρώτοις μεγίστοις, ἐσχάτοις παρεσχάτοις, ἐμοῖς ἀδελφοῖς καὶ φίλοις καὶ συντρόφοις, τὰ πάντα μίγδην τοῖς ὁμοῦ μεμιγμένοις. οὐ γὰρ διαιρεῖν βούλομαι τὰς ἀξίας οὐδὲ φθόνου πρόσκομμα γίνεσθαι θέλω· εἷς εἰμι καὶ κάτοιδα δεσπότην ἕνα καὶ πάντας ὑμᾶς ὡμογνωμονηκότας.

**30 Τοῦ αὐτοῦ πρὸς ἀναίσθητον λοίδορον**

Καὶ βάτραχοι φωνοῦσιν, ἀλλ' ἐκ τελμάτων· καὶ κύνες ὑλακτοῦσιν, ἀλλὰ μακρόθεν· καὶ κάνθαροι παίζουσιν, ἀλλ' ἐν κοπρίαις. οὐκοῦν τί καινὸν εἰ λαλοῦσι καὶ λίθοι, μικρὸν παραλλάττοντες ἁδρῶν βατράχων;


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

31 Τοῦ Ψελλοῦ εἰς τὸν ἅγιον Γεώργιον.

Ὡς στερρός, ὡς ἄτρεστος, ὡς ὑπὲρ φύσιν ἀθλητικοὺς ἤνεγκας εὐψύχως πόνους, Γεώργιε κράτιστε, μαρτύρων κλέος. πυρὸς κατεφρόνησας ἐμπύρῳ ζέσει, ὑγρᾶς κατεκράτησας ὡς πῦρ οὐσίας, κρείττων ἐφάνης καὶ τομῆς καὶ μαστίγων. ὡς θῦμα δεκτὸν τῷ θεοῦ, μάρτυς, λόγῳ τομὴν ὑπέστης καὶ σφαγὴν μαρτυρίου. ταῖς ἀρεταῖς δὲ πανσθενῶς πεφραγμένος τροχοῦ φορὰν ἤνεγκας ἐντόνῳ σθένει καὶ δεσμὰ καὶ κάκωσιν ἄλλην ἐσχάτην. καὶ δὴ προσελθὼν τῷ βραβευτῇ σου λόγῳ στεφηφορῶν ἕστηκας ὡς νικηφόρος.

32 Στίχοι τοῦ Ψελλοῦ

[Τὸ] φῶς τὸ θεῖον, Φώτιε, δεδεγμένος [ποι]μὴν ἐδείχθης φωσφόρος Νέας Ῥώμης· [ἣν] φωτίσας κάλλιστα πράξει καὶ λόγῳ [ὡς] φῶς ἀνῆλθες εἰς ἀνέσπερον φάος.

33 Τοῦ Ψελλοῦ εἰς τὴν θεοτόκον θηλάζουσαν

Τὴν παρθένον βλέπων με καὶ βρεφοτρόφον νόει, θεατά, τὸ σθένος τοῦ δεσπότου.

34α Τοῦ Ψελλοῦ εἰς κώθωνα γυναικὸς ἀργυροῦν

Κώθων διαυγής, ἀλλὰ χεὶρ πολλῷ πλέον. Κώθωνα τόνδε χεὶρ νεαρὰ βαστάσοι, ἄν τις δὲ λεπρὰ μηδὲ κἂν προσεγγίσοι. Καὶ μὴ πιεῖν θέλοντα κώθων ἑλκύει. Κώθων πιεῖν πείθει με καὶ δίψης πλέον. Πίνειν με πείθει καὶ πρὸ δίψης ἡ θέα.

3552τ Τοῦ σοφωτάτου καὶ ὑπερτίμου Ψελλοῦ πρὸς τὸν βασιλέα Μιχαὴλ τὸν Δούκαν αἰνίγματα

Ἔστι τι ζῷον λογικόν, δέσποτα στεφηφόρε, ὁρῶν, οὐκ ἔχον ὀφθαλμούς, ἐκτὸς ποδῶν βαδίζον, ἐστερημένον κεφαλῆς, ἀκέραιον τὰς φρένας, πνεύμονος ἄτερ καὶ λοβῶν, καρδίας καὶ κοιλίας, ἐστερημένον τοῦ παντός, τινὸς οὐ λελειμμένον. τί τοῦτο; φράσον, ἔξειπε, λέξον, δήλωσον, γράψον, ὡς συνετός, ὡς νουνεχής, ὡς ὑπερφέρων πάντων.

36 Σφαῖρά τις ὕπερθεν τῆς γῆς, πετάλοις σκεπομένη, ὕπτιος ἐπανάκειται, ὕδατος πεπλησμένη, καιρῷ προσφόρῳ λάμπουσα, πάλιν μαραινομένη, ὅλῳ τῷ χρόνῳ λάμπουσα, φθίσιν οὐ δεχομένη, ἀλέαν ἀποτίκτουσα, σβεννύουσα τὴν ζέσιν, τοῖς εὐπαθοῦσι πρόσφορος, τοῖς δυσπαθοῦσι πλέον, νοσήματος γεννητική, λυτήριον τῆς νόσου. τίς αὕτη, πορφυρόβλαστε; τῆς λύσεως τίς λόγος;

37 Εἶδον ἀρρήτοις ὄμμασι, δέσποτα στεφηφόρε, νέον πρεσβύτην ἐν ταὐτῷ τέλειον λελειμμένον, ὑψιπετῆ καὶ χθαμαλόν, κλονούμενον ἑδραῖον, φωτίζοντα σκοτίζοντα, τέμνοντα συνουλοῦντα, τοὺς μὲν ἐκ γῆς ἀνάγοντα, τοὺς δὲ πρὸς γῆν κρατοῦντα, καὶ σῴζοντα καὶ τῇ φθορᾷ τῆς ὕλης συμπηγνύντα.

53 Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν βασιλέα

Ὁ θεοπάτωρ βασιλεὺς Δαυὶδ ὁ ψαλμογράφος, νομοθετῶν καὶ προφητῶν καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

στρατηγῶν τὸ κλέος, τῶν ἄλλων παίδων Ἰεσσαὶ νεώτατος ὑπῆρχε· τὴν ὄψιν μὲν ἀπέριττος, τὴν δὲ ψυχὴν ὡραῖος, τὴν γνώμην ἀνδρικώτατος, τὸ σῶμα ῥωμαλέος, πρᾶος, κοινὸς καὶ ταπεινός, ἀλλ' ἀρχικὸς τὴν πρᾶξιν, ἡδύτατος ἐν ἤθεσιν, ὀξύτατος ἐν λόγοις, ποικίλος τὰ χαρίσματα, τὴν θεωρίαν ἔνθους. οὗτος πολλὰ μὲν ὑποστάς, πολλὰ καὶ κατορθώσας, τραπεὶς δ' ἀπείρους τὰς τροπὰς ἐφ' ἱκανὸν τὸν χρόνον, καὶ νῦν μὲν ἐλαυνόμενος, νῦν δὲ δεινοῖς ἐμπίπτων, νῦν πάσχων καὶ θλιβόμενος, ἄλλοτε φυγαδεύων, ποτὲ μὲν ἔχων ἄνεσιν καὶ ζῶν θυμηρεστέρως, ποτὲ δὲ χειμαζόμενος θλίψεων τρικυμίαις, ἄλλοτε πάλιν τὴν ὁδὸν τὴν θείαν διοδεύων, ποτὲ δὲ καὶ πλανώμενος <...........> ἐκ ταύτης, ἅπερ σαφῶς μανθάνομεν ἀπὸ τῆς ἱστορίας, ἅπαντα νῦν τὰ καθ' αὐτὸν ὡς ἔχει κατὰ μέρος ἐν τούτῳ τῷ συγγράμματι διδάσκων ἀνατάττει. Καὶ πρώτη μὲν ὑπόθεσις τῆσδε τῆς πραγματείας ἀφήγησις διδάσκουσα τὰ πάθη τοῦ προφήτου. Δεύτερον δὲ κεφάλαιον τῆς συγγραφῆς εὑρήσεις τὴν θαυμαστὴν ἀφήγησιν τῆς ἀρχαιολογίας. ἐν διαφόροις γὰρ ψαλμοῖς ἱστορικῶς συγγράφει πατριαρχῶν τὴν γένεσιν, τὴν ἀγωγήν, τὴν πρᾶξιν, τὴν ἐν Αἰγύπτῳ μοχθηρὰν δουλείαν τῶν Ἑβραίων τῶν νώτων τὴν ἐπίτριψιν, τὴν ἄρσιν τῶν κοφίνων, πρὸς δὲ καὶ τὴν δεκάπληγον ποινὴν τῶν Αἰγυπτίων· εἶθ' οὕτως καὶ τὴν ἔξοδον τὴν ἀπὸ τῆς Αἰγύπτου, τῆς Ἐρυθρᾶς τὴν χέρσωσιν, τοῦ Φαραὼ τὴν πνῖξιν, ἀναβατῶν καὶ τριστατῶν τὸν ὄλεθρον τὸν ξένον· τὰ τῆς ἐρήμου θαύματα καὶ τὴν μαννοβροχίαν, τὸν ἐκ τῆς πέτρας ποταμὸν καὶ τὴν ὀρτυγομήτραν· τὰ νομικά, τὰ τῆς σκηνῆς, τὰ τῆς ἱερατείας, τοὺς Ἀριθμοὺς καὶ τὴν γραφὴν τοῦ Δευτερονομίου· τὴν στρατηγίαν Ἰησοῦ καὶ τὴν κληροδοσίαν· πρὸς τούτοις δὲ καὶ τοὺς Κριτὰς ἅμα ταῖς Βασιλείαις· καὶ τἆλλα πάντα σὺν αὐτοῖς ὅσα τῆς ἱστορίας. Τρίτον ἐστὶ κεφάλαιον ἡ φυσιολογία, ἐξ ἧς ἐκδιδασκόμεθα τὰ τῆς δημιουργίας, περί τε γῆς καὶ τῶν ἐν γῇ καὶ περὶ γῆν κτισμάτων περί τε τῶν κατ' οὐρανὸν περί τε τῶν στοιχείων. Τέταρτον δὲ κεφάλαιον γνῶθι τὰ τοῦ σωτῆρος, ὅσα περὶ τὴν σάρκωσιν καὶ τὴν οἰκονομίαν, τὴν τῶν θαυμάτων ἔνδειξιν καὶ τὴν διδασκαλίαν, τὴν τοῦ λυσσώδους μαθητοῦ δολίαν προδοσίαν, τὸν χλευασμόν, τὸν ἐμπαιγμόν, τὸν γέλωτα, τὰς ὕβρεις, ὅσα περὶ τὴν σταύρωσιν καὶ τἆλλα τὰ τοῦ πάθους, τὴν βρῶσιν τὴν ἐκ τῆς χολῆς, τὴν πόσιν τὴν ἐξ ὄξους, τὴν ἔγερσιν, τὴν ἄνοδον, τὸν ὕμνον τῶν ἀγγέλων, ὅσα τε προηγόρευσε προδήλως ἐπὶ τούτοις. Πέμπτον τὴν κλῆσιν τῶν ἐθνῶν, τῶν μαθητῶν τὴν δόξαν, τὴν προκοπὴν καὶ σύστασιν τῆς νέας ἐκκλησίας, τὴν τῶν Ἑβραίων κάκωσιν καὶ τὰς αἰχμαλωσίας, τὴν τοῦ δεσπότου φοβερὰν δευτέραν παρουσίαν. Ἕκτον ἐστὶ κεφάλαιον τὸ κατὰ τὴν τριάδα, πατρός, υἱοῦ καὶ πνεύματος σεπτὴ θεολογία. Ἕβδομον ἡ τῶν νοερῶν ἐξήγησις κτισμάτων, ἤγουν νοός τε καὶ ψυχῆς, ἀγγέλων καὶ δαιμόνων. Ὄγδοον οἱ τῆς ἠθικῆς παιδαγωγίας λόγοι, δι' ὧν ποθοῦμεν ἀρετὴν καὶ φεύγομεν κακίαν. Ἔννατον τὰ τῶν λογισμῶν καὶ τὰ τῆς διανοίας, τῆς τῶν δαιμόνων προσβολῆς, τῆς τῶν παθῶν ἐφόδου, καὶ τῆς αὐτῶν ἀποτροπῆς καὶ συντριβῆς καὶ νίκης. Δέκατον δὲ κεφάλαιον τῶν ἐντολῶν ὁ λόγος, ἐν οὐδενὶ λειπόμενος τῶν ἐν εὐαγγελίοις. Δέκα μὲν οὖν κεφάλαια τὰ συνηριθμημένα, οἷσπερ ἡ πᾶσα τῶν ψαλμῶν ἔγκειται πραγματεία· εἰσὶ δὲ πάλιν ἕτερα χωρὶς τῶν δέκα τούτων ἐκ τῶν πραγμάτων φέροντα κλήσεις ἰδικωτέρας. ψαλμὸς δοξολογητικός, ὡς ὢν δοξολογία· ψαλμὸς εὐχαριστήριος, ὡς ὢν εὐχαριστία· ἄλλος ψαλμὸς προσευκτικός, ὡς προσευχὴν ἐμφαίνων· ἄλλος παραμυθητικός, ὅτι παραμυθεῖται· ἕτερος δὲ προτρεπτικός, ὡς προτροπὴν σημαίνων· ἕτερος δ' ἀποτρεπτικός, ἐπείπερ ἀποτρέπει· πρὸς τούτοις δ' ὁ μεθοδικός, ἐπείπερ ἑρμηνεύει, οὐ μόνον γὰρ προτρέπεται τὸ πράττειν ἢ μὴ πράττειν, ἀλλ' ὑποτίθησιν ὁμοῦ τὸν χρόνον καὶ τὸν τρόπον. Ὅλως δ' ἡ βίβλος τῶν ψαλμῶν ἐστι ταμεῖον, παθῶν ἁπάντων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φάρμακον, κοινὴ ψυχῶν ὑγεία, συμφόρημα τῶν ἀγαθῶν, ἀνθρώποις σωτηρία. πᾶσαν γὰρ νόσον ψυχικὴν ἐξαίρει καὶ διώκει, τὴν ἀρετὴν συνίστησι, παύει τὴν ἁμαρτίαν, λύπης δροσίζει καύσωνα, μέριμναν ἐξορίζει, θλιβόμενον παρηγορεῖ, θυμούμενον πραΰνει, πρόσφορον ἄκος δίδωσιν ἑκάστῳ τῶν ἀνθρώπων· καὶ τοῦτο δὲ μετά τινος ἐνθέου μελῳδίας, μεθ' ἡδονῆς τε σώφρονος, μετ' εὐφροσύνης θείας, ἵνα τῷ λείῳ καὶ τερπνῷ θελγόμενοι τοῦ μέλους τὸ τῶν ῥημάτων ὄφελος ἕλκωμεν λεληθότως, ὃ τοῖς σοφοῖς τῶν ἰατρῶν ἔθος ποιεῖν πολλάκις. ἡνίκα γὰρ τὰ πόματα κιρνῶσι τοῖς ἀρρώστοις, μέλιτι περιχρίουσι τὰ τῶν κυλίκων ἄκρα, ὅπως ἐκ τῆς γλυκύτητος κλεπτόμενοι τὴν γεῦσιν δέχωνται προσηνέστερον τὴν πόσιν τῶν φαρμάκων. οὕτως οὖν ψάλλοντες ἡμεῖς δοκοῦμεν μέλος ᾄδειν, τὸ δ' ἀληθὲς παιδεύομεν τὰς ἑαυτῶν καρδίας καὶ μνήμην ἀνεξάλειπτον ἔχομεν τῶν λογίων. ἐπεὶ γὰρ πάντες ἄνθρωποι τοῖς μέλεσι κηλοῦνται, κρατεῖ δ' ἐν τούτοις ἡδονὴ ῥευστοῖς τὴν φύσιν οὖσι, τὸ ῥάθυμον δ' ἀπόλλυσι τὴν μνήμην τῶν ῥημάτων, ἕνεκεν τούτου τοῖς ψαλμοῖς τὸ μέλος εἰσηνέχθη, τὸ τῶν φαρμάκων αὐστηρὸν τῶν γραφικῶν καὶ θείων μέλιτος δίκην ἀλλοιοῦν καὶ καταφαρμακεῦον καὶ τῷ γλυκεῖ τὸ χρήσιμον εὐτέχνως παραρτῦον· καὶ γὰρ τὸ χαριέστατον ἡδέως ἐπεισδῦνον πάντως καὶ μονιμώτερον καρδίαις ἐφιζάνει. ὅτι δ' οἰκείως ἔχομεν φύσει πρὸς μελῳδίαν, τοῖς βουλομένοις ῥᾴδιον μαθεῖν ἐκ τῶν πραγμάτων. καὶ γὰρ κλαυθμυριζόμενα πολλὰ τῶν βρεφυλλίων μητέρες κατεκοίμησαν ὑπὸ τῆς μελῳδίας. εἰ βούλει δέ, μετένεγκε πρὸς ἄλογα τὸν λόγον· ἵπποι μὲν γὰρ ἀκούοντες τῆς σάλπιγγος ἠχούσης ὀργῶσι θυμικώτερον πρὸς συμπλοκὴν πολέμου· τὰ θρέμματα δ' ἐφέπεται τῷ μέλει τῶν συρίγγων, καὶ τότε πλέον τέρπεται καὶ γέγηθε καὶ σκαίρει, σὺν τούτοις δὲ πιαίνεται, τὸ θαυμαστὸν καὶ μεῖζον. ὁρῶμεν δ' ἐν ταῖς ἀγοραῖς τὰς χειροήθεις ἄρκτους ὑπὸ κιθάρας κρούματα παιζούσας ὀρθοστάδην. ἐγὼ δ' ὁ ταῦτα γεγραφὼς ἐρῶ σοι καί τι πλέον· εἶδόν ποτε κυνίδιον ἀπὸ τῶν Μελιταίων, παρῆν δὲ καί τις αὐλητὴς ἀπὸ τῶν ἀγοραίων, καλάμῳ μέλος ἐνηχῶν μετὰ κιθαρῳδίας· ὅταν δ' αὐτὸς ἐνέπνευσε τὸ μέλος τῷ καλάμῳ, ἐκεῖνο τὸ κυνίδιον, ἂν ἔτυχεν ἐσθίον, ἐνέκοπτε τὰ τῆς τροφῆς, ἀπέρριπτε τὸ βρῶμα, ἠρέμα τε προσέβαινε τοῦ μουσικοῦ πλησίον, καὶ τοῦτον βλέπον ἀτενῶς ἅμα καὶ περισαῖνον ἐκ λεπτοτάτης ὑλακῆς ὥσπερ ἀντεμελῴδει· ἡνίκα δὲ κατέπαυεν ὁ τραγῳδὸς τὸ μέλος, ἐπὶ τὸ λεῖπον τῆς τροφῆς ὑπέστρεφεν ὁ κύων, ὅταν δὲ πάλιν τὸν αὐλὸν ὑπέπνευσεν ἐκεῖνος, καὶ πάλιν τὸ κυνίδιον τὴν βρῶσιν διωθεῖτο καὶ γαληνῶς προσυλακτοῦν ἀντᾴδειν πως ἐῴκει· ἁπλῶς δ' ὁσάκις ᾔσθετο τὸν αὐλητὴν αὐλοῦντα, τῶν ἄλλων πάντων ἀμελοῦν ἐξήρτητο τοῦ μέλους. ἀλλ' ἐπὶ τὸ προκείμενον ὁ λόγος ἀναγέσθω. τὸ μέλος τοίνυν τῶν ψαλμῶν παύει καὶ τὴν νωθρείαν, δίδωσι καὶ τῷ ψάλλοντι παραψυχὴν τοῦ κόπου. καὶ γὰρ ὁρῶμεν ψάλλοντας πολλοὺς τῶν ὁδοιπόρων, ὅπως τὸν νοῦν συστρέφοντες περὶ τὴν ψαλμῳδίαν τὸν κάματον συντέμνωσι τὸν τῆς ταλαιπωρίας· καὶ γεωργοὶ δὲ σκάπτοντες ἐν μέσῃ μεσημβρίᾳ ἀντίπαλον τοῦ καύσωνος προβάλλονται τὸ μέλος· ὁ δὲ χαλκεὺς σφυροκοπῶν παρ' ὅλην τὴν ἡμέραν τὸν τῶν μελῶν ἐκτιναγμὸν παρηγορεῖ τῷ μέλει. συλληπτικώτερον εἰπεῖν, πάντες οἱ χειροτέχναι τοῖς ᾄσμασι προσχρώμενοι συστέλλουσι τοὺς πόνους. Ἔστι δὲ τοῦ μελίσματος αἰτία τις δευτέρα. ἀπατηλῆς γὰρ ἡδονῆς τοῖς μέλεσι τιτρώσκων ἀπόλλυσι τὸν ἄνθρωπον ὁ δυσμενής, ὁ πλάνος· σοφῶς δ' ἀντιτιτρώσκεται πνευματικαῖς βολίσιν ἑτέρας πάλιν ἡδονῆς, εὐτέχνου, θαυμασίας· ὅπερ ἐστὶ κατόρθωμα στρατηγικῆς σοφίας, ὅταν οἷς τρόποις τὸν ἐχθρὸν ὁρῶμεν πολεμοῦντα, τούτοις κατατροπώμεθα τὰς τούτου πανουργίας. ξύλῳ νεκρώσας τὸν Ἀδὰμ ἀντινεκροῦται ξύλῳ, ἐν ᾧ δεσπότης νεκρωθεὶς ὑπὲρ οἰκείων δούλων τὸν νεκρωτὴν ἐνέκρωσε καὶ νέκρωσιν ἐξεῖλεν· ἐκ πικροτάτης



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συμβουλῆς ἐσκέλισε γυναῖκα, γυνὴ δ' αὐτὸν κατέβαλε θεὸν σαρκὶ τεκοῦσα, τὸν τῶν ἀνθρώπων λυτρωτήν, τὸν τούτου καθαιρέτην, ἡ μακαρία γυναικῶν, ἡ μήτηρ καὶ παρθένος, ἡ τὴν κατάραν ἄρασα διὰ τῆς εὐλογίας, ἡ τοῖς ἀνθρώποις τὴν χαρὰν τῆς λύπης ἀντιδοῦσα· δῆμον Ἑβραίων ὥπλισε πρὸς φόνον τοῦ σωτῆρος, ἀλλ' εἷς Ἑβραῖος ἤρκεσεν ἀντὶ πολλῶν Ἑβραίων ἀπὸ τοῦ φάρυγγος αὐτοῦ πολλὰς ψυχὰς ἁρπάσαι, Παῦλος ὁ παμφαέστατος φωστὴρ τῆς οἰκουμένης· καὶ τὸν λῃστὴν ἠρέθισεν ἐπὶ τὴν βλασφημίαν, λῃστὴς δὲ πάλιν ἕτερος τὸν λῄσταρχον λῃστρεύει. τί δ' ἂν καὶ τἆλλα λέγοιμι ταύτης τῆς εὐτεχνίας; οὕτως οὖν φαύλης ἡδονῆς τὸν ἄνθρωπον ῥιπτούσης πνευματική τις ἡδονὴ τοῦτον ἐπανεγείρει. Ἔστι καὶ τρίτον αἴτιον ταύτης τῆς μελῳδίας. τῶν γὰρ ᾀσμάτων ὁ ῥυθμὸς ἔστιν ἐκ συμφωνίας, ἡ συμφωνία γίνεται τῆς ὁμονοίας μήτηρ, τῆς δ' ὁμονοίας ὁ δεσμὸς διδάσκει τὴν ἀγάπην· καὶ δείκνυται τὸ μέλισμα πρόξενον τῆς ἀγάπης, εἰς ἓν συνάγον ἄριστα τὰς γλώσσας καὶ τὰς γνώμας καὶ συμβιβάζον εὐφυῶς ὡς ἐν ἁρμολογίᾳ. τί γὰρ ἂν οὕτω δύναιτο τὰς ἔχθρας διαλλάσσειν ὡς ᾆσμα προφερόμενον κοινῶς ὑπὲρ ἀλλήλων; τίς δὲ τοσαύτην ἄνθρωπος ἔσχε μισανθρωπίαν, ὡς φιλεχθρεῖν πρὸς ἀδελφὸν τὸν τούτου συνικέτην, τὸν ὑπὲρ τούτου φέροντα θεῷ τὴν ἱκεσίαν; Τίνες μὲν οὖν εἰσι σκοποὶ τῆς προκειμένης βίβλου, τίνα τὰ ταύτης χρήσιμα καὶ τί τὸ τούτων τέλος, δι' ὅν τε λόγον εὕρηται τὸ μέλος τῶν ᾀσμάτων, ἀρκούντως ἐδιδάξαμεν ἐν τοῖς προειρημένοις. εἰπεῖν δὲ πρόκειται λοιπὸν καὶ τοῖς ἑξῆς τοῦ λόγου, εἰ μόνου τοῦ Δαυίδ ἐστιν ἡ ψαλμοφόρος βίβλος· τί λέγεται ψαλτήριον, ὅθεν δ' ἡ τούτου λέξις, καὶ τί ψαλτόν, καὶ τί ψαλμός, καὶ τίς ἡ ψαλμῳδία· καὶ ποῖον τὸ διάψαλμα· τί τῆς ᾠδῆς ἡ φράσις, καὶ τί τὸ ῥῆμα βούλεται τῶν ὕμνων καὶ τῶν αἴνων· καὶ τίς ἐξομολόγησις, καὶ ποσαχῶς καλεῖται· ποίαν δ' εὐχῆς καὶ προσευχῆς διαφορὰν καλοῦσι· καὶ τί ψαλμὸς ᾠδῆς ἐστιν οὕτω προγεγραμμένος, καὶ τί σημαίνει τοὔμπαλιν ᾠδὴ ψαλμοῦ κειμένη· πόσοι δ' εὑρίσκονται ψαλμοί, καὶ διὰ τί τοσοῦτοι· καὶ τίς ὁ συλλεξάμενος καὶ τάξας ἐν βιβλίῳ· πόσοι τοῦ μέλους ἀρχῳδοί, καὶ διὰ τί τοσοῦτοι· πόσοι χοροὶ συνέψαλλον τὸ μέλος ὑπ' ἐκείνοις· πόσοι συνίστων τὸν χορόν, καὶ διὰ τί τοσοῦτοι· καὶ τίς ἐστι διαφορὰ τοῦδε τοῦ ψαλτηρίου πρὸς τὰς λοιπὰς κατασκευὰς τῶν μουσικῶν ὀργάνων· καὶ τίς ἐστι τῆς τάξεως τῆς τῶν ψαλμῶν ὁ λόγος καὶ τῆς ἐπί τινων ψαλμῶν κειμένης ἀσαφείας· πόσαι δ' εἰσὶ μεταβολαί, καὶ τίνων ἑρμηνέων τῆς γλώσσης τῆς Ἑβραϊκῆς ἐπὶ τὴν Ἑλληνίδα. Λέγουσι τοίνυν τοὺς ψαλμοὺς παρὰ πολλῶν γραφῆναι, μὴ παρὰ μόνου τοῦ Δαυὶδ τοὺς πάντας ἐκτεθῆναι· τὸν λόγον δὲ κρατύνουσιν ἐκ τῶν ἐπιγραμμάτων. ἔχουσι γὰρ ἐπιγραφὰς κλήσεων διαφόρων· ἔν τισι μέν ἐστι ψαλμοῖς Ἀσὰφ προγεγραμμένος, ἔν τισι δ' ἐστὶν Ἰδιθούμ, κεῖται δ' Αἰθὰμ ἐν ἄλλοις, ἔν τισι δ' ἂν εὑρήσειας Αἰμὰν Ἰσραηλίτην, ὄψει δὲ πάλιν ἀλλαχοῦ καὶ τοῦ Κορὲ τοὺς παῖδας, ἄλλοις δ' ἐστὶν ἐγκείμενον ὄνομα Σολομῶντος, εὕρηται δέ που καὶ Μωσῆς, ἄνθρωπος τοῦ κυρίου· πάντας δὲ τούτους τοὺς ψαλμοὺς συναγαγεῖν τὸν Ἔσδραν, ὅταν παρῆλθεν ὁ καιρὸς ὁ τῆς αἰχμαλωσίας. οὕτως οὖν φάσκουσί τινες καὶ τούτους ψαλμογράφους· καὶ φέρουσι καὶ τὸν Λουκᾶν συλλήπτορα τοῦ λόγου, ἐν οἷς πως οὗτος ἱστορῶν τὰς ἀποστόλων πράξεις «βίβλον ψαλμῶν» ὠνόμασε, Δαυὶδ μὴ μνημονεύσας· καὶ τάχα δείκνυσιν αὐτὸς ἐκ τούτου τοῦ λογίου, ὡς οὐκ εἰς μόνον τὸν Δαυὶδ τὴν βίβλον ἀναφέρει. ἔτι καὶ ταύτην τίθενται τρίτην ἀπολογίαν, τὸ καί τινας ἐν τῶν ψαλμῶν ἐπιγραφὰς μὴ φέρειν, ἑτέρους δ' ἔχειν προγραφάς, καὶ ταύτας βραχυτάτας, μὴ κλήσεις δέ τινων δηλοῦν, ἀλλ' ἀνωνύμους εἶναι· ἐν ἄλλοις δ' ἀλληλούια καὶ μόνον προγεγράφθαι. εἰ γὰρ ὑπῆρχον ῥήματα Δαυιτικῶν χειλέων, ἐχρῆν, φασί, καὶ τὸν Δαυὶδ τούτοις ἐπιγεγράφθαι. ἄλλοι δὲ πάλιν λέγουσιν, οἷς καὶ συμφρονητέον, τὴν ὅλην



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βίβλον τῶν ψαλμῶν εἶναι Δαυὶδ καὶ μόνου, καὶ τούτους ἁπαξάπαντας αὐτὸν ἐκτεθεικέναι, τοὺς ἔχοντας ἐπιγραφὰς καὶ τοὺς ἀνεπιγράφους· καὶ τὰς αἰτίας φράζουσιν ὡς ἁρμοδιωτάτας. τὸν γὰρ ἐπιγραφόμενον εἰς πρόσωπον Μωσέως προδήλως ἀποφαίνουσιν οὐκ ὄντα τοῦ Μωσέως· ἢ γὰρ ἂν πρῶτος τῶν ψαλμῶν ἐτέθειτο τῶν ἄλλων, τὴν τάξιν κομισάμενος ἐκ τῆς προγενεσίας ὡς ποίημα πρεσβύτερον καὶ πρώτου συγγραφέως· ἢ πάντως ἂν ἐνέκειτο ταῖς βίβλοις ταῖς ἐκείνου, ἐν αἷσπερ καὶ τὰς τρεῖς ᾠδὰς ἔχομεν γεγραμμένας. ἡ μὲν γὰρ τοῖς ἱστορικοῖς ἔγκειται τῆς Ἐξόδου, ἡ βίβλος δὲ τῶν Ἀριθμῶν διδάσκει τὴν ἑτέραν, ἡ μετ' αὐτὴν δ' ἐντέθειται τῷ Δευτερονομίῳ. ἄρα λοιπὸν Δαυίδ ἐστιν ὁ τοῦ ψαλμοῦ γεννήτωρ, τὸ τοῦ Μωσέως δ' ὄνομα τροπολογῶν μοι νόει· παρ' Αἰγυπτίοις γὰρ τὸ «μῶς» ὕδωρ ἐστὶ σημαῖνον, ὁ δὲ ληφθεὶς ἐξ ὕδατος Μωσῆς αὐτοῖς καλεῖται. ἁρμόζει τοίνυν ὁ ψαλμὸς τοῖς ἀναγεννηθεῖσιν, οἵπερ ἐν τῷ βαπτίσματι τοῦ ῥύπου καθαρθέντες ἄνθρωποι γίνονται θεοῦ Μωσαϊκῶς βιοῦντες. τοὺς δὲ ψαλμοὺς τοῦ Σολομῶν εἰς τὸν Χριστὸν ἀνάξεις, τὸν ἀληθῶς εἰρηνικόν, τὸν χορηγὸν εἰρήνης, τὸν δόντα πρὶν τοῖς μαθηταῖς ὡς κλῆρον τὴν εἰρήνην· Ἑλληνιστὶ γὰρ Σολομῶν εἰρηνικὸς καλεῖται. ἐν τῇ γραφῇ δ' οὐχ εὕρηνται ψαλμοὶ τοῦ Σολομῶντος· οὗτοι γὰρ ἂν ἐτέθειντο τῶν ἄλλων τελευταῖοι, ἢ πάντως ἂν ἐνέκειντο τῷ Τετραβασιλείῳ, εἰ δ' οὖν, ἀλλ' ἐνεφέροντο ταῖς Παραλειπομέναις· ἢ μέρος ἄν τι τῆς γραφῆς ἐμέμνητο καὶ τούτων. φησὶ γὰρ οὕτω τῆς γραφῆς τῆς ἱερᾶς τὸ ῥῆμα· «ᾠδαὶ πεντακισχίλιαι τοῦ Σολομῶντος ἦσαν, παραβολαὶ δ' ἐκτὸς αὐτῶν ἦσαν ἐν τρισχιλίαις»· ψαλμὸς δ' οὐ μεμνημόνευται πώποτε Σολομῶντος. ὁ δ' Ἰδιθοὺμ σὺν τοῖς λοιποῖς τοῖς ἐπιγεγραμμένοις ἐκ τοῦ Δαυὶδ κατέστησαν χοράρχαι πρὸς τὸ ψάλλειν, καὶ νῦν μὲν ἔψαλλον κοινῶς εἰς μίαν συμφωνίαν, νῦν δ' ἀνετίθετο ψαλμὸς ἑκάστῳ χοροψάλτῃ· λαμβάνων δ' οὗτος ἐκ Δαυὶδ ἰδίως ἐμελῴδει τοῖς χορευταῖς τοῖς ὑπ' αὐτὸν τοῦ μέλους προκατάρχων. λαβόντες τοίνυν οἱ ψαλμοὶ τῶν ἀρχῳδῶν τὰς κλήσεις ἔσχον αὐτὰς ἐπιγραφὰς ὡς ὑπ' αὐτῶν ψαλέντες. καὶ δῆλον {ὡς} ἀπὸ τῆς γραφῆς τῶν Παραλειπομένων· «ἐν» γὰρ «χειρὶ» φησὶν «Ἀσὰφ» τὴν ᾠδὴν ταύτην ᾖσαν. ὁμοίως δ' ἀπὸ τοῦ ψαλμοῦ τοῦ τριακοστογδόου· οὐ μόνον γὰρ τὸν Ἰδιθοὺμ ἔχει προγεγραμμένον, ἀλλ' ἐν ταὐτῷ καὶ τὸν Δαυὶδ συνεπιγεγραμμένον· τὸ γὰρ «εἰς τέλος, Ἰδιθοὺμ» ἐν τῷ ψαλμῷ προγράψας «ψαλμὸν Δαυὶδ» ἐπήγαγεν ἑκάτερα συνάψας, ὅπερ σαφῶς παρίστησι τὴν τῆς γραφῆς αἰτίαν· Δαυὶδ γάρ ἐστιν ὁ ψαλμός, τῷ δ' Ἰδιθοὺμ ἐδόθη. καὶ πάλιν ἕτερος ψαλμὸς μικρόν τι μετὰ τοῦτον, ὁ τεσσαρακοστότριτος, συνᾴδει τῷ παρόντι· «τοῖς» γὰρ «υἱοῖς» φησὶ «Κορέ, ψαλμὸς Δαυίδ, εἰς τέλος.» πάντως δ' ἡ λέξις πρόδηλος, ὡς ἐκ Δαυὶδ ἐγράφη, τοῖς δὲ παισὶ τοῖς τοῦ Κορὲ πρὸς ὕμνον ἀνετέθη. πάσας δ' ἁπλῶς τὰς προγραφὰς τῶν ὀνομάτων τούτων ἐν δοτικαῖς εὑρίσκομεν, οὐ γενικαῖς, κειμένας· «τῷ δεῖνι» γάρ φησι «ψαλμός», οὐχὶ «ψαλμὸς τοῦ δεῖνος», δῆλον δ' ὡς ἰδιαίτερον αὐτῷ προσανετέθη. εἴ που δ' εὑρήσεις δοτικὴν ἐπὶ Δαυὶδ κειμένην, μὴ ξενισθῇς, ἀγαπητέ, τὴν δοτικὴν ἀκούων· εὑρήσεις γὰρ καὶ γενικὴν ἐν πλείοσι κειμένην καὶ «τοῦ Δαυὶδ» καὶ «τῷ Δαυὶδ» πολλάκις γεγραμμένα, ἐν ταῖς λοιπαῖς δ' ἐπιγραφαῖς τῶν ἄλλων ὀνομάτων ὄψει κειμένην πανταχοῦ τὴν δοτικὴν καὶ μόνην. τί τοίνυν ἡ παραλλαγὴ τῶν ἄρθρων ὑπεμφαίνει, καὶ νῦν μὲν κεῖται γενικῶς ἡ κλῆσις τοῦ προφήτου, νῦν δ' ἔχει τὴν ἐπιγραφὴν ἐν δοτικαῖς κειμένην; ἢ δῆλον ὡς αὐτός ἐστι γραφεὺς τῶν ἀμφοτέρων, τοῦ γὰρ Δαυὶδ πάντως εἰσὶ καὶ τῷ Δαυὶδ ἐγράφη. ἔστι δ' ἑτέρως προσφυῶς τὸν λόγον ἑρμηνεῦσαι, ὡς ἔνθα μὲν ἱστορικῶς ἀφήγησιν συγγράφει ἢ τῶν οἰκείων συμφορῶν τὸ μέγεθος διδάσκει ἢ λυτρωθεὶς τῷ λυτρωτῇ τὸν ὕμνον ἀναπέμπει, εἴθ' ἕτερα τῶν καθ' αὑτὸν τοιαῦτα καταγγέλλει, οἰκεῖα ταῦτα τοῦ Δαυίδ, καὶ «τοῦ Δαυὶδ» γραπτέον· ἔνθα δ' ἁρμόζει τῷ χριστῷ τινὰ τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γεγραμμένων, ἀνήχθη ταῦτα πρὸς Χριστόν, καὶ δοτικῶς λεκτέον. ὁ γὰρ Χριστὸς ἐν ταῖς γραφαῖς Δαυὶδ καλεῖται νέος, καὶ γὰρ ἐκ σπέρματος Δαυὶδ ἐτέχθη κατὰ σάρκα. εἰ βούλει δέ, διδάχθητι καὶ τοῦ Δαυὶδ τὴν λέξιν· χειρὶ γὰρ ἱκανώτατος Ἑλληνιστὶ καλεῖται· τίς δ' ἱκανός ἐστι χειρὶ πλὴν τοῦ παντοδυνάμου, οὗπερ ἡ χεὶρ περικρατεῖ πάντα τῆς γῆς τὸν γῦρον, ὃς μόνος κραταιός ἐστι καὶ μέγας ἐν ἰσχύι; εὑρὼν δ' Ἀγγαίου προγραφήν, πρὸς δὲ καὶ Ζαχαρίου, κειμένην ἔν τισι ψαλμῶν τῶν ὄντων πρὸς τῷ τέλει, ὡς περιττὰς παράδραμε καὶ μάτην γεγραμμένας· καὶ γὰρ εἰ καὶ παρά τισι κεῖνται τῶν ἀντιγράφων, ἀλλ' ἐν τοῖς ἑβδομήκοντα κλῆσις αὐτῶν οὐκ ἔστιν, οὐδὲ παρ' ἄλλοις μετ' αὐτούς, ἀλλ' οὐδὲ παρ' Ἑβραίοις. πλὴν ἐπειδήπερ «ἑορτὴν» λέγουσι τὸν Ἀγγαῖον, τὸ Ζαχαρίου δ' ὄνομα «μνήμη θεοῦ» σημαίνει, πᾶς ἑορτάζων τῷ θεῷ πάντως ἐστὶν Ἀγγαῖος, ὁ μνήμην δ' ἔχων τοῦ θεοῦ καλεῖται Ζαχαρίας· οἷς δὴ προσήκει φθέγγεσθαι τὰ τῶν ψαλμῶν ἐκείνων καὶ τῷ θεῷ τὴν αἴνεσιν προσφέρειν ἁρμοδίαν· στόματι γὰρ ἁμαρτωλῶν τὸ ψάλλειν οὐχ ὡραῖον. Τὰ μὲν οὖν τῶν ἐπιγραφῶν ἀρκούντως ἀπεδόθη, τοῦ λόγου δ' ἐφαψώμεθα τοῦ τῶν ἀνεπιγράφων, καὶ τούτους δὲ Δαυιτικοὺς ἐκ τῆς γραφῆς δεικτέον. πολλὰ γὰρ τῶν Ἑβραϊκῶν ἀρχαίων ἀντιγράφων τὸν πρῶτον καὶ τὸν δεύτερον ἔχουσι συνημμένους, τῶν γὰρ ψαλμῶν ἀρίθμησις οὐκ ἔστι παρ' ἐκείνοις. τοῦ δὲ Δαυὶδ ὁ δεύτερος ἐστὶν ἀναντιρρήτως· καὶ μάρτυράς μοι δέδεξο τοὺς θείους ἀποστόλους, αὐτὰς τὰς ῥήσεις τοῦ ψαλμοῦ σαφῶς διεξιόντας ὡς διὰ στόματος Δαυὶδ ὑπὸ θεοῦ ῥηθείσας· ἡ βίβλος δὲ τῶν Πράξεων ταῦτα ῥητῶς διδάσκει. ἐπείπερ οὖν ὁ δεύτερος Δαυιτικὸς ἐδείχθη, συναποδέδεικται λοιπὸν καὶ τὰ κατὰ τὸν πρῶτον, ὡς ἄμφω τοῦ Δαυίδ εἰσι, καὶ ῥήματα καὶ μέλη. ἔστι δὲ καί τις ἕτερος ἐκ τῶν ἀνεπιγράφων (ἐνενηκοστοτέταρτον εὑρήσεις ὄντα τοῦτον) ἐξ οὗπερ Παῦλος ἔλαβε ῥήσεις τινὰς προσφόρους ὡς ἐξ αὐτοῦ δεξάμενος Δαυὶδ τὴν μαρτυρίαν· τοῦτο δ' ἐκ τῆς ἐπιστολῆς γνώσῃ τῆς πρὸς Ἑβραίους. εἰ τοίνυν τούτους τοὺς ψαλμοὺς ἀνεπιγράφους ὄντας ἀναμφιβόλως ἔγνωμεν Δαυιτικοὺς τυγχάνειν, εὔδηλον ὡς καὶ τοὺς λοιποὺς αὐτός ἐστι συγγράψας. Ταὐτὰ δὲ τούτοις λέγομεν περὶ τῶν ἀνωνύμων, καὶ μάρτυς ἀξιόπιστος ὁ πρῶτος τῶν μαρτύρων· ἐκ γὰρ ἑνός τινος ψαλμοῦ τῶν ἀνωνύμων τούτων, ὅστις ἐστὶν ἑκατοστὸς τριακοστὸς καὶ πρῶτος, ἐχρήσατο μικροῖς τισι προσφόροις ῥησειδίοις, καὶ τὸν Δαυὶδ ἐπήγαγε μάρτυρα τῶν ῥημάτων, δεικνύων πάντως τὸν ψαλμὸν γέννημα τοῦ προφήτου. τούτοις δ' εἰ θέλεις ἐντυχεῖν, ἀνάγνωθι τὰς Πράξεις, ἐν οἷσπερ διαλέγεται πικρῶς τοῖς Ἰουδαίοις κἀκεῖνοι καθοπλίζονται πρὸς τὴν λιθοβολίαν. εἰ τοίνυν τοῦτον τὸν ψαλμὸν Δαυιτικὸν εὑρίσκεις ἐκ τῆς τοῦ πρωτομάρτυρος Στεφάνου μαρτυρίας, λοιπὸν ἐκ τούτου σκόπει μοι καὶ περὶ τῶν προλοίπων καὶ τοῖς ὁμοίοις μάνθανε τοὺς λόγους τῶν ὁμοίων. Ἄλλοι δ' ὑπάρχουσι ψαλμοὶ χωρὶς τῶν εἰρημένων, οἷς ἐστιν «ἀλληλούια» τὰ τῶν ἐπιγραμμάτων· ἀλλὰ καὶ τούτων ὁ Δαυὶδ καθέστηκεν ἐργάτης. ὡς γὰρ ἡ βίβλος ἔφησε τῶν Παραλειπομένων, ὁ πρῶτος τούτων τῶν ψαλμῶν ὑπὸ Δαυὶδ ἐγράφη· περὶ ψαλμοῦ δὲ λέγομεν ἑκατοστοῦ τετάρτου. δοκεῖ τοίνυν αἰτία τις ἐν τοῖς ἀνεπιγράφοις, ὡς οὐκ εἰς ἔθνους δήλωσιν ἑνός τινος καὶ μόνου, ἀλλ' εἰς πλειόνων ὄνομα τὰ τῶν ψαλμῶν ἐγράφη. τῶν δ' ἀνωνύμων αἴτιον τοῦτό φασι τυγχάνειν, ὡς εἴρηνται πρὸς κύριον οἱ λόγοι τῶν τοιούτων. τῆς δ' «ἀλληλούια» γραφῆς τῆς ἐπιγεγραμμένης αἰτίαν τις καὶ λογισμὸν εἰκότως ἀποδώσει ὡς αἴνεσις εὐχάριστος ἐκ τῶν ψαλμῶν δηλοῦται, ἣν τῷ σωτῆρι γεγηθὼς προσῆγεν ὁ προφήτης· τὸ ῥῆμα γὰρ τὴν αἴνεσιν δηλοῖ τὴν τοῦ κυρίου. ταῦτα μὲν οὖν ὡς ἱκανὰ λελέχθω μέχρι τούτων. Λέγεται δὲ ψαλτήριον πάντως ἀπὸ τοῦ ψάλλειν, ὥσπερ εὐκτήριόν φαμεν ἀπὸ τῶν εὐχομένων. τὴν βίβλον δ' οὕτω λέγομεν συγχρώμενοι τῇ λέξει· κυρίως γὰρ ψαλτήριον εἶδός ἐστιν ὀργάνου, ναῦλα δὲ τοῦτο



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λέγεται φωνῇ τῇ τῶν Ἑβραίων. ψαλτὸς δ' ἐστὶν ὁ κύριος, ᾧ ψάλλομεν τοὺς ὕμνους, ψαλμός ἐστι τὸ ποίημα, τὸ μέλος ψαλμῳδία. κυρίως δὲ ψαλμός ἐστι τὸ σὺν ὀργάνοις ᾆσμα, ᾠδὴ δὲ λόγος ἐμμελὴς ἄνευ τινὸς ὀργάνου· τινὲς δὲ καταχρηστικῶς τὰς λέξεις ἐκφωνοῦντες ὠνόμασαν ἑκάτερα πολλάκις ἀλληνάλλως, ᾠδὴν μὲν λέγοντες ψαλμόν, ψαλμὸν δ' ᾠδὴν καλοῦντες. τῶν ψαλμῶν μέντοι τὰς ᾠδὰς ἀρχαιοτέρας ἴσθι· Μωσῆς γὰρ πρῶτος τῆς ᾠδῆς κατῆρξε τοῖς Ἑβραίοις, ἡνίκα τούτους θάλασσα προέπεμψε φυγάδας, ῥάβδου πληγῇ Μωσαϊκῆς ἀθρόως γεωθεῖσα, ὁ δὲ Δαυὶδ τὰ τῶν ψαλμῶν ἐφεῦρεν ἐν ὑστέρῳ, καὶ τοῦτο τὸ ψαλτήριον, ἄτεχνον ὂν πρὸ τούτου ἀγροικικόν τε καὶ βραχὺ καὶ μόνον τῶν ποιμνίων, αὐτὸς σοφῶς ἡρμόσατο καὶ τετεχνιτευμένως καὶ τούτῳ μετεχρήσατο πρὸς θείαν ὑμνῳδίαν. Τοῦ δέ γε διαψάλματος οὐ μία σημασία. ἢ γὰρ μεταβολήν τινα τοῦ μέλους ἐννοήσεις ἢ τῶν ψαλλόντων ἀλλαγὴν πρὸς ἄλλους χοροψάλτας, ἢ νοημάτων ὡς εἰκὸς μετάθεσιν πρὸς ἄλλα, ἢ τῶν ᾀσμάτων τοῦ ψαλμοῦ διακοπὴν ἀθρόαν ἐλλάμψεως τοῦ πνεύματος αὐτοῖς μεσολαβούσης καὶ τῶν ψαλλόντων ταῖς ψυχαῖς ἐννοίας χορηγούσης. πάντα γὰρ τὰ συμβαίνοντα τοῖς τότε ψαλλομένοις σπουδαίως ἀπεγράφοντο χάριν τῆς ἀκριβείας. Ὕμνος δ' ἐστὶν ἐπίτασις θεοῦ δοξολογίας. τὸν δ' αἶνον ὀνομάζουσι σύντομον ὑμνῳδίαν. νόει δ' ἐξομολόγησιν θερμὴν ὁμολογίαν ἢ τῶν κακῶν ὧν πρὸς θεὸν δεδράκαμεν ἀφρόνως ἢ τῶν καλῶν ὧν ἐκ θεοῦ πεπόνθαμεν ἐν βίῳ· τὸ μὲν γὰρ ἐξαγόρευσις, τοῦτο δ' εὐχαριστία. εὐχὴ δ' ἐστὶν ὑπόσχεσις κυρίῳ γινομένη, ἡ προσευχὴ δὲ δέησις ὑπὲρ πλημμελημάτων. ψαλμὸν δ' ᾠδῆς ἐν προγραφαῖς οὕτω ὑποληπτέον, ὅταν φωνή τις μελιχρὰ δίχα τινὸς ὀργάνου προηγουμένως τάσσηται τῶν μουσικῶν ὀργάνων· ᾠδὴν δ' ἀνάπαλιν ψαλμοῦ νοήσεις ἀκολούθως, ὅτε προτάσσεται φωνῆς ὀργανικόν τι μέλος δευτέραν χώραν ἔχοντος τοῦ διὰ γλώσσης μέλους. ψαλμὸν δὲ πάλιν νόησον ἀλληγορῶν τὸν λόγον, ὅτε τὸ σῶμα τείνοντες ἐν ἔργοις ἐπιπόνοις, καθάπερ τὸ ψαλτήριον τῇ τῶν χορδῶν ἐντάσει, χρηστὴν καὶ παναρμόνιον πρᾶξιν ἀποτελοῦμεν, εἰ καὶ μὴ προσεπέβημεν ἔτι τῇ θεωρίᾳ. ᾠδὴ δ' ἐστίν, ἂν βούλοιο νοεῖν τοιουτοτρόπως, ὅταν χωρὶς τῆς πρακτικῆς ὦμεν ἐν θεωρίᾳ καὶ φέρωμεν τὴν μύησιν τῶν θείων μυστηρίων ἐν ἀρεταῖς τυγχάνοντες ἤδη γεγυμνασμένοι. ᾠδὴν δὲ νόησον ψαλμοῦ κατὰ τοὺς λόγους τούτους, ὅτε βελτίστης πράξεως ἡμῖν ὁδοποιούσης εἰς ὕψος ἀναδράμωμεν ἐνθέου θεωρίας χορηγουμένης ἄνωθεν κατὰ τὸ γεγραμμένον· «σοφίαν ἐπεθύμησας; τὰς ἐντολὰς συντήρει, καὶ χορηγὸς ὁ κύριος ἔσται σοι τῆς σοφίας.» ψαλμὸν δ' ᾠδῆς λεγόμενον ἀντεστραμμένως νόει, ὅτε τινὰ τῶν ἠθικῶν τῶν ἀποκεκρυμμένων σαφηνιζούσης καθαρῶς ἡμῖν τῆς θεωρίας πρὸς τὴν αὐτῶν ἐρχόμεθα προθύμως ἐργασίαν. καὶ τάχα ταύτην προσφυῶς λεκτέον τὴν αἰτίαν τοῦ κεῖσθαι πρώτους τοὺς ψαλμοὺς καὶ τὰς ᾠδὰς δευτέρας· χρὴ γὰρ διὰ τῆς πρακτικῆς ἐλθεῖν εἰς θεωρίαν. ἔνθεν τοι καὶ πολλὰς ᾠδὰς εὑρήσεις πρὸς τῷ τέλει. ὅπου δ' ἐστὶν ἀναβαθμός, ἐκεῖ ψαλμὸς οὐ κεῖται, κἂν ἀνεπίπλοκός τις ᾖ, κἂν τῶν συμπεπλεγμένων· ταύτην δὲ λέγω συμπλοκήν, τὴν μετ' ᾠδῆς κειμένην, εἴτε ψαλμὸς ᾠδῆς ἐστιν εἴτε καὶ τοὐναντίον· ἐν γὰρ ταῖς ἀναβάσεσιν ἡ τάξις τῶν ἁγίων μόνοις ἐναπησχόληται τοῖς κατὰ θεωρίαν. Τὰ μὲν οὖν τῆς ἀναγωγῆς ἤδη καταπαυστέον, τὸν ἀριθμὸν δὲ τῶν ψαλμῶν λοιπὸν ἐξηγητέον. σύγκειται γὰρ συναγωγὴ τριπλῆς πεντηκοντάδος, ὁμοῦ μὲν τοῦ πεντηκοστοῦ τὸ τίμιον διδάσκων, ὅνπερ τιμῶσιν ἐξ ἀρχῆς τὸ γένος τῶν Ἑβραίων ὡς ἔχοντα γεννήτριαν ἑβδόμην ἑβδομάδα, ὁμοῦ δὲ τὸ μυστήριον ἐμφαίνων τῆς τριάδος· ἑκάστῃ δὲ προστίθεται μονὰς πεντηκοντάδι δεῖγμα μιᾶς θεότητος τῆς ἐν τρισὶ προσώποις. Συναγαγεῖν δὲ τοὺς ψαλμοὺς καὶ βίβλῳ συνυφᾶναι οἱ μὲν τὸν Ἔσδραν λέγουσιν, οἱ δὲ τὸν Ἐζεκίαν. Τέσσαρες δ' ἦσαν ἀρχῳδοὶ μετὰ χορῶν τεσσάρων, ἐδήλουν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δὲ τὰ κλίματα τὰ τέσσαρα τοῦ κόσμου, δι' ὧν ὁ φθόγγος τῶν ψαλμῶν ἔμελλε προχωρῆσαι. συνίστων δ' ἄνδρες τὸν χορὸν ἑβδομηκονταδύο· τὸν ἀριθμὸν δὲ τῶν γλωσσῶν ἐσήμαινε τὸ πρᾶγμα, αἵτινες διεκρίθησαν ἐν τῇ πυργοποιΐᾳ· πάσαις γὰρ γλώσσαις ἔμελλε τὰ τῶν ψαλμῶν ψαλθῆναι. Τοῖς μὲν οὖν ἄλλοις ἅπασι τοῖς τότε μελῳδοῦσιν ἦν ὄργανα διάφορα τὸ μέλος ἐξηχοῦντα, κρότοι κυμβάλων εὔρυθμοι καὶ κρούματα κιθάρας, ὁ τῶν τυμπάνων πάταγος, ὁ τῶν σαλπίγγων ἦχος, ὧν ἕκαστον ἀρίθμησε ψαλμὸς ὁ τελευταῖος. Δαυὶδ δὲ τὸ ψαλτήριον ἐν τῇ χειρὶ κατεῖχεν ὡς ὄργανον βασιλικόν, ὡς βασιλεῖ προσῆκον. σάλπιγγες οὖν καὶ σύριγγες τῶν ἐμπνευστῶν ὑπῆρχον, τῶν ἐντατῶν δ' ἐτύγχανον αἱ λύραι καὶ κιθάραι, τύμπανα δὲ καὶ κύμβαλα τῆς τῶν κρουστῶν μερίδος. μόνον δὲ τὸ ψαλτήριον, ὅπερ Δαυὶδ κατεῖχεν, ὃ καὶ κινύραν λέγουσι καὶ λύραν καὶ κιθάραν, ἦν μὲν ἀπὸ τῶν ἐντατῶν, πλὴν ὄρθιον ὑπῆρχεν, ἄνωθεν παρεχόμενον τὰς ἀφορμὰς τῶν ἤχων, ἵν' ἔχωμεν τὴν μίμησιν τούτου τοῦ ψαλτηρίου, καὶ τὰς ψυχὰς εὐθύνωμεν καὶ φέρωμεν ὀρθίους καὶ ταύτας ἐκπαιδεύωμεν ἐμμελετᾶν τοῖς ἄνω, ψαλτήρια γινόμενα πνευματικὰ καὶ θεῖα ἐν συμφωνίᾳ μυστικῇ ψυχῆς τε καὶ σαρκίου, ἐκ πνεύματος κρουόμενα καθάπερ ἐκ τεχνίτου. εἶχε δὲ τὸ ψαλτήριον δέκα κολάβους ἄνω· ἐκεῖνοι δὲ στρεφόμενοι περὶ τὸν τούτου πῆχυν ἐπέτεινόν τε τὰς χορδὰς καὶ πάλιν ὑπεχάλων πρὸς τὸν τοῦ ψάλλοντος σκοπὸν καὶ τὸ ποιὸν τοῦ μέλους. ἀλλ' ἡ μὲν χεὶρ ἡ δεξιὰ κατέκρουε τῷ πλήκτρῳ, ἡ δ' ἄλλη χεὶρ ταῖς ἐπαφαῖς στρέφουσα τοὺς κολάβους ποιάν τινα τὴν τῶν χορδῶν ἐποίει μελῳδίαν. εἶχε δὲ δέκα τὰς χορδὰς ἀλλήλαις ἀντιφθόγγους, ὅπως ἡμεῖς ὡς ἐκ χορδῶν ὁμοίως ἀντιφθόγγων (πέντε μέν, αἵτινές εἰσι τοῦ σώματος αἰσθήσεις πέντε δ' ἑτέρων, ἅς φασι τὰς ψυχικὰς δυνάμεις) σύμφωνον ἀνακρούωμεν θεῷ τὴν μελῳδίαν. Ἡ τῶν ψαλμῶν δὲ σύνταξις ἄτακτον τάξιν ἔχει. οὐ γὰρ καθὼς ἐγράφησαν ἀρχῆθεν τῷ προφήτῃ, οὕτω καὶ συνετέθησαν πρὸς τὴν ἀκολουθίαν, ἀλλὰ καθὼς εὑρέθησαν ἔλαβον καὶ τὴν τάξιν. ἐπεὶ γὰρ κατεφρόνησαν Ἑβραῖοι τῶν πατρίων καὶ λήθην ἔσχον τῶν γραφῶν τῶν παραδεδομένων κἀντεῦθεν παρερρύησαν αἱ βίβλοι συμφθαρεῖσαι, συνῆξε ταύτας ὕστερον Ἔσδρας εἴτ' Ἐζεκίας, συνῆξε δὲ καὶ τοὺς ψαλμοὺς διεσπαρμένους ὄντας. εὗρε δ' αὐτοὺς κατὰ μικρόν, οὐκ ἐν ταὐτῷ τοὺς πάντας· καθὸ γοῦν τούτους εὕρισκε ποτὲ καὶ κατὰ μέρος, εἰκότως καὶ συνέταττεν αὐτοὺς συγκεχυμένως, τοῖς εὑρημένοις πρότερον τοὺς ἐφεξῆς συνάπτων. ἡ τάξις τοίνυν τῶν ψαλμῶν ἡ νῦν εὑρισκομένη τῷ χρόνῳ τῆς εὑρέσεως κατάλληλος ἐτέθη· ἂν δ' ἀκριβῶς σκοπήσειας, οὐκ ἀθεεὶ καὶ τοῦτο, ἀλλ' οὕτως ᾠκονόμησε τοῦ πνεύματος ἡ χάρις. ἔστι μὲν γὰρ ἡ χρονικὴ τάξις συγκεχυμένη, ἡ σύγχυσις δ' οὐ γέγονεν ἁπλῶς καὶ κατὰ τύχην. καθάπερ γὰρ τῶν ἰατρῶν ὁ μέν τις τέμνει πρῶτον, εἶτα χρισμάτων ἅπτεται καὶ τότε φαρμακεύει, ἄλλος δ' ἀνάπαλιν αὐτοῖς κέχρηται πρὸς τὴν χρείαν, καὶ τάξεως οὐ γίνεται μέλησις τῷ τεχνίτῃ, ἀλλ' ὅπερ βλέπει φάρμακον τὴν νόσον ἀπαιτοῦσαν, τοῦτο καὶ πρῶτον ἥγηται καὶ τῷ νοσοῦντι φέρει· οὕτω τῷ θείῳ πνεύματι τῆς τοῦ θεοῦ σοφίας οὐ χρονικῆς ἐμέλησε ψαλμῶν ἀκολουθίας, ἀλλ' ὠφελείας μάλιστα τῆς τῶν ἐντυγχανόντων. καὶ γὰρ ὁ πρῶτος τῶν ψαλμῶν διδάσκει τοὺς ἀνθρώπους τῆς ἀσεβείας ἀποχήν, πρὸς δὲ τῆς ἁμαρτίας· ὁ δεύτερος ὑπέδειξε τίνος ἐσμὲν δεσπότου, τίνος λαὸς ὑπάρχομεν, τίνος μερὶς καὶ κλῆρος, καὶ τίνι δέον προσελθεῖν, τίνι προσκολληθῆναι· ὁ τρίτος δὲ παρίστησι δαιμονικοὺς πολέμους, ἐπιβουλὰς καὶ προσβολὰς ὑπὸ τῶν ἀντιπάλων, αἵτινες ἐπεγείρονται τοῖς ἀγωνιζομένοις· ἐκ τούτων δὲ πρὸς τοὺς ψαλμοὺς τοὺς ἐφεξῆς προβαίνων εὑρήσεις ἀκριβέστερον αὐτοῖς ἐντεθειμένας τῶν συμφορῶν καὶ τῶν παθῶν πάσας τὰς θεραπείας. Τῆς δ' ἀσαφείας αἴτιον τῆς ἔν τισι κειμένης ὑπάρχει τὸ συμβολικὸν τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προφητευομένων τῶν προτυπούντων τὰ λαμπρὰ τῆς νέας διαθήκης, καὶ τῶν ῥημάτων τὸ βαθὺ καὶ συνεσκιασμένον, ὅπερ ἐστὶν ἰδίωμα φωνῆς τῆς Ἑβραΐδος. καὶ γὰρ διὰ τὴν δυσπειθῆ τῶν Ἰουδαίων γνώμην ἦσαν τὰ πλείω σκοτεινὰ καὶ συγκεκαλυμμένα, μόνοις παραγυμνούμενα πολλάκις τοῖς ἀξίοις, κρινόμενά τε θαυμαστῶς ἀπὸ τοῦ τέλους μόνου. σὺν τούτοις ἡ μεταβολὴ τῆς Ἑβραΐδος γλώσσης· ὅτε γὰρ μεταβάλλεται διάλεκτος πρὸς ἄλλην, εἰκὸς ἐντεῦθεν γίνεσθαι πολλὰς τὰς ἀσαφείας, ἐπεὶ μηδ' ἀπαράλλακτα τὰ μεθηρμηνευμένα. Γεγόνασι δ' ἑρμηνευταὶ τῆς παλαιᾶς ἁπάσης Ἑλληνιστὶ συγγράψαντες πάντα τὰ παρ' Ἑβραίοις τὸ πρῶτον ἑβδομήκοντα πολυμαθεῖς Ἑβραῖοι, ἐκλελεγμένοι τῶν λοιπῶν παρὰ τοῦ Πτολεμαίου, ὃς βασιλεὺς ἐτύγχανε καθ' ὅλης τῆς Αἰγύπτου. καὶ γὰρ καθυποτάξαντος τοὺς Πέρσας Ἀλεξάνδρου, εἶτα συνάψαντος εἰς ἓν ἄμφω τὰς βασιλείας, ὕστερον δὲ μετ' οὐ πολὺ τὸν βίον λελοιπότος, τὰ τῆς ἀρχῆς εἰς τέσσαρας μερίδας διῃρέθη· καὶ Φίλιππος μὲν ἔλαβε τὰ τῆς Μακεδονίας, Σέλευκος δ' ἐχειρώσατο πάντα τὰ τῆς Συρίας, ἡ τῆς Ἀσίας δὲ μερὶς ἥρμοσεν Ἀντιγόνῳ, κατέσχε δὲ τὴν Αἴγυπτον ὁ πρῶτος Πτολεμαῖος, καὶ μετ' αὐτὸν ἐκράτησεν ἕτερος Πτολεμαῖος, καὶ γὰρ πολλοὶ γεγόνασιν ὕστερον Πτολεμαῖοι. ἐκεῖνος οὖν ὁ δεύτερος τοῦ πρώτου Πτολεμαίου, πολέμῳ δουλωσάμενος τὸ γένος τῶν Ἑβραίων, ἠθέλησε μεταβαλεῖν εἰς τὴν Ἑλλάδα γλῶσσαν ἅπαντα τὰ συγγράμματα τῶν ἱερῶν βιβλίων. καὶ δὴ σοφοὺς συναγαγὼν καὶ μεμαρτυρημένους, τούτους τοὺς ἑβδομήκοντα τοὺς προδεδηλωμένους, ἑρμηνευτὰς καθίστησιν εἰς τὴν γραφὴν τὴν θείαν. κατὰ δυάδα δ' ἅπαντες ἐν οἴκοις μερισθέντες ὁμόφωνον ἐξέθεντο γραφὴν τῆς ἑρμηνείας. μᾶλλον δὲ καί τι λέγεται τοιοῦτον γεγονέναι· ἀναγνωσθείσης γάρ φασι τῆς ὅλης ἑρμηνείας εἰς θάμβος καὶ κατάπληξιν ἐλθεῖν τὸν Πτολεμαῖον θαυμάσαντα τὴν δύναμιν τοῦ λόγου καὶ τὸ κάλλος. ἐπαπορῶν δ' ὁ βασιλεὺς ἠρώτα τοὺς παρόντας, πῶς οὐκ ἐχρήσαντό τισιν ἐκ τούτων τῶν γραμμάτων ἱστορικοὶ καὶ ποιηταὶ καί τινες τῶν ὁμοίων. Δημήτριος δ' Ἀλιφαρεὺς παρατυχὼν ἐν τούτῳ– παρῆν δὲ καὶ Μενέδημος, ἀνὴρ τῶν φιλοσόφων– ἔφησαν μή τινα τολμᾶν ἅπλεσθαι τῶν τοιούτων· λέγουσι γὰρ Θεόπεμπτον τὸν ἱστοριογράφον μνησθέντα τούτων ἐν γραφαῖς εὐθὺς παραφρονῆσαι· σὺν τούτῳ καὶ Θεόδεκτον αὐτοῖς ἐπιβαλόντα, τὸν τραγῳδίας ποιητήν, αὐτίκα τυφλωθῆναι· τούτους δ' ἐξευμενίσαντας ἐς ὕστερον τὸ θεῖον ἀποβαλεῖν τὴν πήρωσιν καὶ τὴν παραφροσύνην. οὗτοι μὲν οὖν ἡρμήνευσαν ἐπὶ τοῦ Πτολεμαίου· ἐν οἷς φασι καὶ Συμεὼν εἶναι τὸν θεοδόχον. ἐκ τούτου γὰρ ἠξίωτο Χριστὸν ἰδεῖν τεχθέντα καὶ βρέφος ἀγκαλίσασθαι θεὸν σεσαρκωμένον. ὅπως δὲ τοῦτο γέγονεν εἰπεῖν οὐκ ὀκνητέον, κἂν παρεκβατικώτερος ὁ περὶ τούτου λόγος. ὁ θεῖος οὗτος Συμεὼν τὰς βίβλους ἑρμηνεύων ἤδη μετεχειρίζετο τὴν βίβλον Ἡσαΐου· ὡς δ' εὗρε τοῦτο τὸ ῥητὸν τὸ φράζον οὑτωσί πως, «ἰδοὺ παρθένος ἐν γαστρὶ συλλήψεται καὶ τέξει», ἠπίστησε τῷ ῥήματι καὶ πέπαυτο τοῦ γράφειν, κατανοῶν ἀμήχανον τὸ πρᾶγμα παρ' ἀνθρώποις. οὕτως οὖν γνώμης ἔχοντι τῷ Συμεὼν ἐν τούτῳ γέγονεν ἀποκάλυψις ἐκ πνεύματος ἁγίου μὴ μεταστῆναι τῆς ζωῆς, ἀλλ' ἐν τοῖς ζῶσιν εἶναι, μέχρις ἂν ἴδῃ τελεσθὲν τὸ διηπορημένον καὶ τὸν δεσπότην ὄψεται μητρὸς υἱὸν παρθένου. ἦν οὖν ἐν βίῳ διαρκῶν ἕως Χριστὸς ἐτέχθη· ὃν γεννηθέντα Συμεὼν λαβὼν ἐν ταῖς ἀγκάλαις «νῦν ἀπολύεις», ἔφησε, «δέσποτα, τὸν σὸν δοῦλον κατὰ τὸ ῥῆμα τὸ σεπτὸν τῆς σῆς ἐπαγγελίας». Περὶ τὴν νύσσαν τοιγαροῦν τὸν πῶλον κεντητέον καὶ τὰ τῆς διηγήσεως αὖθις ἐπιστρεπτέον. οἱ μὲν οὖν ἑβδομήκοντα γεγράφασι τὸ πρῶτον, δεύτερος δὲ μεταγραφεὺς ὁ Σινωπεὺς Ἀκύλας, ὃς Ἕλλην ἦν ἐκ Ποντικῆς, ὕστερον δ' ἐβαπτίσθη· προσκρούσας δὲ Χριστιανοῖς περί τινων δογμάτων, ἠθετηκὼς τὸ βάπτισμα προσῆλθεν Ἰουδαίοις. τὴν ἑρμηνείαν δ' ἔγραψεν ὑστέραν τῆς προτέρας ἐνιαυτοῖς τριάκοντα πρὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῖς τετρακοσίοις· καὶ μηνιῶν Χριστιανοῖς ὁ δείλαιος Ἀκύλας παραφθορὰν εἰργάσατο πολλὴν τῆς ἑρμηνείας. Αἴλιος δ' ἦν Ἀδριανὸς ἐν Ῥώμῃ βασιλεύων· ἡ γὰρ ἀρχὴ μετέπεσε πρὸ χρόνων εἰς Ῥωμαίους, ἥτις ἐστὶ τὸ τέταρτον τοῦ Δανιὴλ θηρίον. ἐκ τῶν τεσσάρων γὰρ θηρῶν ἧς εἶδεν ὀπτασίας ὁ πρῶτος θὴρ ἐσήμαινε τὸ κράτος Ἀσσυρίων, θάτερος δὲ τὴν Περσικὴν ἐδήλου δυναστείαν, ὁ τρίτος δ' ὑπενέφαινεν ἀρχὴν τῶν Μακεδόνων, ὁ δέ γε θὴρ ὁ τέταρτος, ὁ τούτων τελευταῖος, τὴν τελευταίαν ἔφραζε Ῥωμαίων βασιλείαν. Μετὰ δ' Ἀκύλαν ἑρμηνεὺς Σύμμαχος Σαμαρείτης, ὃς μὴ τυγχάνων τῆς τιμῆς ἧσπερ αὐτὸς ἐζήτει τῶν Σαμαρέων ἀποστὰς πρόσεισιν Ἰουδαίοις καὶ πάλιν περιτέμνεται περιτομὴν δευτέραν· καὶ τούτοις χαριζόμενος, ἐπεγκοτῶν δ' ἐκείνοις, ἐσπούδασεν ἐκ τῆν γραφῆς πολλὰ παρερμηνεῦσαι, καὶ μᾶλλον τὰ κατὰ Χριστὸν καὶ τὴν οἰκονομίαν, ὄντος ἐκείνῳ τῷ καιρῷ Σεβήρου βασιλέως. Ἑρμηνευτὴς δὲ τέταρτος ἐστὶ Θεοδοτίων, τὸ δόγμα Μαρκιωνιστής, Ἐφέσιος τὸ γένος· ὃς δὴ μηνίσας ὕστερον τοῖς συναιρεσιώταις κἀκεῖνος πάλιν ἔκδοσιν ἐξέδωκεν ἰδίαν· ἦν δ' ἐγκρατὴς ὁ Κόμοδος τότε τῆς βασιλείας. Ἡ δ' ἔκδοσις ἡ μετ' αὐτὴν οὐκ ἔχει τὸν ἐκδότην, εὑρέθη δ' εἰς Ἱεριχὼ πίθῳ συγκεχωσμένη, τὸ σκῆπτρον τὸ βασιλικὸν κατέχοντος Καράλλου. Οὐδὲ τῆς ἕκτης γνώριμον εὑρήσεις τὸν πατέρα, καὶ ταύτην γὰρ ἀνώνυμον, φασίν, ὡς καὶ τὴν πέμπτην, ἐπὶ πολὺ δ' οὖσαν κρυπτὴν εὗρον ἐν Νικοπόλει· καὶ βασιλεὺς Ἀλέξανδρος ὑπῆρχεν ὁ Μαμαίας. Ἡ τελευταία δ' ἔκδοσις, ἥτις ἐστὶν ἑβδόμη, ἐκδότην φέρει θαυμαστόν, Λουκιανὸν τὸν μέγαν, τὸν πρότερον ἀσκητικοῖς δοκιμασθέντα πόνοις, ὕστερον δὲ μαρτυρικοῖς ἀγῶσι λαμπρυνθέντα. ὃς ἐπιστήσας ταῖς γραφαῖς τῶν ἄλλων ἑρμηνέων καὶ φιλοπόνως ἐντυχὼν ταῖς βίβλοις τῶν Ἑβραίων καὶ τὴν ἐν ταύταις δύναμιν πανσόφως ἀκριβώσας πάσης γραφῆς ἐκτέθεικεν ἀρίστην ἑρμηνείαν, οὐ περιττὴν οὐδ' ἐλλιπῆ τῆς ἀληθείας οὖσαν, πάντα δὲ φέρουσαν ὀρθῶς τὰ καθηρμηνευμένα καὶ τῇ τῶν ἑβδομήκοντα συνᾴδουσαν ἐκδόσει. εὗρον δ' αὐτὴν ἐς ὕστερον ἐν τῇ Νικομηδείᾳ μετὰ τὴν ἄθλησιν αὐτοῦ καὶ τοὺς λαμπροὺς ἀγῶνας παρ' Ἰουδαίοις μένουσαν ἐν τοίχῳ κεκρυμμένην αὐτόν τε τοῦτον ἔχουσαν τὸν μάρτυρα γραφέα· ἦν δὲ τῷ τότε βασιλεὺς ὁ μέγας Κωνσταντῖνος. Ἀρκούντως τοίνυν ἔχοντες τῶν ἀποδεδομένων ἐπὶ τοὺς τρόπους ἔλθωμεν λοιπὸν τῆς προφητείας. ὁ μέν τις γὰρ τῶν προφητῶν τὸ μέλλον προφητεύει, ὁ δὲ συγγράφεται τὰ νῦν, ὁ δὲ τὰ παρελθόντα. καὶ τούτων αὖθις ἕτερος συγκεκρυμμένως γράφει ὡς χρώμενος αἰνίγμασι καὶ τύποις καὶ συμβόλοις, ἄλλος τρανῶς καὶ καθαρῶς, ἄλλος συγκεκραμένως, ἄλλος τοῦ λέγειν ἀποστὰς τόδε τι πρᾶγμα πράττει. εἰσὶ δὲ πάλιν ἕτεροι τρόποι τῶν τρόπων τούτων· ὁ μὲν γὰρ δι' ὁράσεως δέχεται τὰς ἐλλάμψεις, ἕτερος δὲ δι' ἀκοῆς λαμβάνει τὰ πρακτέα, ἕτερος δ' ἐκ τῆς γεύσεως, ἕτερος δ' ἀλλαχόθεν. ταῦτα δὲ πάντα νοητά, καὶ νοητῶς λεκτέον· τοσαῦται γὰρ καὶ τοῦ νοὸς τυγχάνουσιν αἰσθήσεις, ὅσας αἰσθήσεις οἴδαμεν τῷ σώματι προσούσας· πᾶσαι δ' ὁράσεις λέγονται γενικωτέρῳ λόγῳ. ἐπισκεπτέον τοιγαροῦν τὰς τοῦ νοὸς αἰσθήσεις. «αὕτη» γὰρ «ὅρασις», φησίν, «ἣν εἶδεν ὁ προφήτης», ὅρασις δὲ καὶ Δανιὴλ καὶ προφητῶν ἑτέρων. ἀκούει δ' Ἰεζεκιὴλ λαλοῦντος τοῦ κυρίου, «ἀνθρώπου» γὰρ «υἱέ», φησίν, «ἄκουσον ἅπερ λέγω». σὺν τούτοις δὲ καὶ γεύεται τὴν θαυμασίαν γεῦσιν, αὐτίκα δ' ἐκ τῆς γεύσεως πληροῖ καὶ τὴν κοιλίαν, ὅτε θεὸς ἐψώμισεν αὐτὸν τῇ κεφαλίδι. δεῖγμα δ' ὑπάρχει τῆς ἁφῆς Ναοὺμ τὸ θεῖον λῆμμα· θεοληψίαν γὰρ καλεῖ τὴν θείαν ὁμιλίαν ἣν δήπερ προσωμίλησε τὸ πνεῦμα τῷ προφήτῃ, καθάπερ ἐπαφώμενον τῆς τούτου διανοίας καὶ ταύτῃ πλέον ἐντυποῦν τὴν γνῶσιν τῶν μελλόντων. ὁ δὲ Δαυὶδ σὺν τοῖς λοιποῖς ὀσφραίνεται καὶ μύρου. ἄλλα γὰρ ἄλλων προφητῶν πολλάκις ἐνεργούντων οὗτος δι' ὅλων ἔρχεται καὶ τρόπων καὶ πραγμάτων· καὶ νῦν μὲν μνήμην δίδωσι τῶν παρεληλυθότων, νῦν δ' ἐκτυποῖ τὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μέλλοντα συμβαίνειν μετὰ χρόνους, ἄλλοτε δὲ συντίθησι τοὺς λόγους τῶν παρόντων. πολλάκις δὲ παρήλλαξε τὰ τῆς ἀκολουθίας, ποτὲ μὲν ὡς γενόμενα τὰ μέλλοντα διδάσκων, ποτὲ δ' αὖθις ὡς μέλλοντα τὰ προγεγενημένα. καὶ νῦν μὲν ὅρασιν ὁρᾷ (τὸν γὰρ δεσπότην εἶδε), νῦν δ' ἀκοαῖς εἰσδέχεται φωνὴν θεοῦ καλοῦσαν. ἄκουσον δὲ καὶ τὴν ἁφὴν ἐκ τῶν αὐτοῦ ῥημάτων· καὶ γὰρ «ἡ γλῶσσά μου» φησὶ «κάλαμος γραμματέως», γλῶσσαν οὐ τὴν τοῦ σώματος εἰπὼν τὴν φαινομένην (καὶ γὰρ ἔργον αὐτῆς ἐστι τὸ λέγειν, οὐ τὸ γράφειν), ἀλλὰ τὴν γλῶσσαν τοῦ νοὸς τὴν ἔνδον κεκρυμμένην, ἧς ξενοτρόπως ἥπτετο τὸ πνεῦμα τῆς σοφίας καὶ τὰς τῶν ὄντων δι' αὐτῆς ἐκαλλιγράφει γνώσεις. ἀλλ' ὅρα καὶ τὴν γευστικὴν αἴσθησιν τῆς καρδίας· γλυκαίνεσθαι γὰρ ἔφησε τὸν λάρυγγα τὸν τούτου ἐπέκεινα τοῦ μέλιτος τοῖς τοῦ θεοῦ λογίοις. εἰ θέλεις καὶ τὴν ὄσφρησιν, ἰδού σοι καὶ τὸ ῥῆμα· «ἐκ τῶν ἀμφίων σου στακτὴ καὶ σμύρνα καὶ κασία.» οὕτω Δαυὶδ ταῖς τοῦ νοὸς αἰσθήσεσιν ἁπάσαις πασῶν ἀντελαμβάνετο τοῦ πνεύματος χαρίτων. Οὐ πάντα δὲ τὰ ῥήματα τὰ τοῖς ψαλμοῖς ἐνόντα δέξεται τὴν ἐξέτασιν καθ' ἕνα μόνον τρόπον, καθ' ἱστορίαν τὸ τυχόν, ἢ κατὰ προφητείαν ἢ κατὰ πρᾶξιν ἠθικὴν ἢ κατ' ἀλληγορίαν. πολλάκις γὰρ ἐν τοῖς αὐτοῖς πολλοὺς εὑρήσεις λόγους. εἰ βούλει δέ, μοι λάμβανε τοῦ πράγματος εἰκόνα· ὥσπερ γὰρ ἐν τοῖς σπέρμασιν ὁρῶμεν καὶ τοῖς δένδροις ποικίλας καὶ πολυειδεῖς ἐκφύσεις καὶ δυνάμεις (ῥίζα γὰρ δένδρῳ πέφυκε καὶ στέλεχος καὶ κλάδοι, ἔχει καὶ φύλλα καὶ φλοιὸν καὶ τὴν ἐντεριώνην· ὡσαύτως ἐν τοῖς σπέρμασι καὶ χλόη καὶ καλάμη, καὶ μετὰ ταύτας φύουσιν ἀθέρες τε καὶ λέπος· ἐννόει δὲ καὶ τὸν καρπόν, πῶς ἀνθ' ἑνὸς μυρίοι), οὕτως ἐπὶ τοῦ πνεύματος, ἢ μᾶλλον πολλῷ πλέον. ἵνα δ' ἀφεὶς τὰ περιττὰ συντετμημένως εἴπω, μετάγονται καὶ πρὸς ἡμᾶς τῶν ψαλμικῶν τὰ πλείω. ἐχθροὺς οὖν πάντας τοῦ Χριστοῦ τοὺς δαίμονας κλητέον· καὶ δυσμενεῖς ἐνεδρευτὰς καὶ πλάνους καὶ δολίους, διώκοντας, ἐκθλίβοντας, συνεπιτιθεμένους, τούτους αὐτοὺς τοὺς δαίμονας καὶ πάλιν νομιστέον· Ἀβεσαλὼμ δὲ καὶ Σαοὺλ καί τινα τῶν τοιούτων τὸν ἔξαρχον τῶν πονηρῶν πνευμάτων λογιστέον· Δαυὶδ δὲ πάλιν καὶ χριστόν, πρὸς δὲ καὶ βασιλέα, ῥητέον ἕκαστον ἡμῶν μυστικωτέρῳ λόγῳ. ὡς γὰρ Δαυὶδ ἐκ χρίσματος ἦλθεν εἰς βασιλείαν (καὶ γὰρ ἐχρίσθη πρότερον τῷ τῆς ἀρχῆς ἐλαίῳ), οὕτως ἡμεῖς τυγχάνομεν τῆς ἄνω βασιλείας ἐλαίῳ προχριόμενοι βαπτίσματος τοῦ θείου. ὅσα δ' οὐ προσαρμόζουσι τῶν ψαλμικῶν ῥημάτων, τοῦ πνεύματος ἡγούμεθα φωνὰς τοῦ παναγίου, ὡς τοῦ δευτέρου τὰ ῥητὰ καὶ τῶν παραπλησίων, ἐκ τούτων ἁγιάζοντες τὰς ἑαυτῶν καρδίας. Ἔστι δ' ὁ πρῶτος τῶν ψαλμῶν ἐκ τῶν ἀνεπιγράφων, οὐκ ἔσχε γὰρ ἐπιγραφήν, οὐδ' ἐκ τῶν ἑρμηνέων· ἔχει δὲ παίδευσιν ἠθῶν, μετέχει καὶ δογμάτων οὐ γὰρ προσέχειν παραινεῖ τοῖς θείοις λόγοις μόνον καὶ τὴν σὺν τοῖς ἁμαρτωλοῖς ἀναστροφὴν ἐκφεύγειν, ἀλλὰ διέξεισιν ὁμοῦ καὶ τὰ τῶν ἀσεβούντων, διδάσκων οἷαι μένουσιν αὐτοὺς αἱ τιμωρίαι, τοὺς δ' εὐσεβῶς βιώσαντας εἰκότως μακαρίζων. «μακαρισμοῦ» γὰρ «ἄξιος ἀνὴρ» φησὶν «ἐκεῖνος, ὃς ἐπὶ τὴν τῶν ἀσεβῶν βουλὴν οὐκ ἐπορεύθη κἀν τρίβῳ τῶν ἁμαρτωλῶν οὐκ ἔστησε τὸν πόδα οὐδ' ἐν καθέδρᾳ τῶν λοιμῶν ἠθέλησε καθῆσαι.»

### 54 Τοῦ σοφωτάτου Ψελλοῦ Ἰνδικοπλεύστου πρόγραμμα Κοσμᾶ τῷ ψαλτηρίῳ

Μετὰ τὸν μέγιστον Μωσῆν καὶ μέγαν ἐν προφήταις καὶ πρώτιστον δημαγωγὸν τοῦ γένους τῶν Ἑβραίων, καὶ τὸν διάδοχον αὐτοῦ καὶ μέγαν στρατηγέτην, τὸν Ἰησοῦν τὸν τοῦ Ναυῆ, καὶ τοὺς κριτὰς ἐκείνους τοὺς πρὶν τὸ δωδεκάφυλον εὐθύνοντας ἐν κρίσει, καὶ τὴν ἀποδοκίμασιν Σαοὺλ τῆς βασιλείας, ἤγειρεν αὖθις ὁ θεὸς προφήτην



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βασιλέα, τὸν θαυμαστὸν καὶ πάνσοφον Δαυὶδ τὸν ψαλμογράφον. ὃς ἐμφανῶς τὰ μέλλοντα προβλέπων ὡς προφήτης καὶ τὰ πρὸ χρόνων φθάσαντα πολλῶν συντελεσθῆναι, τὰ δυστυχήματά φημι καὶ τὰς αἰχμαλωσίας τῆς πονηρᾶς συναγωγῆς Ἑβραίων τῶν ἀθλίων καὶ τὴν εἰς τούτους τοῦ θεοῦ ἀντίληψιν καὶ σκέπην, δι' ἧς ἐρρύσατο συχνῆς αἰχμαλωσίας τούτους καὶ τοὺς αἰχμαλωτίσαντας ἠφάνισεν εἰς τέλος· ἵνα μὴ λέγω τὰ πολλὰ τῶν εὐεργετημάτων, τὴν ῥαβδισθεῖσαν θάλασσαν τὴν διχοτομηθεῖσαν, τὴν ἐν ἐρήμῳ τράπεζαν τὴν ξένην καὶ ποικίλην καὶ τὴν τοῦ μάννα παροχὴν τὴν καὶ δαψιλεστάτην καὶ τοὺς ἐκ πέτρας ποταμούς, τῆς ἀκροτόμου λέγω, καὶ τῆς Μερρᾶς τὸν γλυκασμὸν τὸν ἀπὸ τῆς πικρίας· καὶ δὴ σὺν τούτοις μάλιστα προβλέπων ὁ προφήτης τὸν τρόπον τὸν ἀχάριστον ἐκείνων τῶν Ἑβραίων καὶ τὴν ὀργὴν τὴν τοῦ θεοῦ πρὸς τούτους ἐνεχθεῖσαν, προβλέπων καὶ τὴν σταύρωσιν τοῦ θεανθρώπου λόγου καὶ τὴν ἐκ τάφου θαυμαστὴν ἐξέγερσιν ἐκείνου τὴν κλῆσίν τε τὴν τῶν ἐθνῶν, ἡμῶν τῶν ἀπωσμένων καὶ τὴν δευτέραν ἔλευσιν τοῦ λόγου καὶ τὴν κρίσιν– ταῦτα προβλέπων ἅπαντα προφητικῶς ἐκεῖνος καὶ κινηθεὶς ἐκ πνεύματος τοῦ παναγιωτάτου ἠθέλησε συγγράψασθαι πάντα ποικιλοτρόπως. Καὶ δὴ συγκαλεσάμενος τινὰς μικροπροφήτας, ὀργανοφόρους, ὀρχηστάς, ψαλτηρολυροπλήκτας (ὁ μὲν γὰρ εἶχε τύμπανον, ὁ δ' ἐξ αὐτῶν κινύραν, ἄλλος αὐλοὺς βουκολικούς, ὄργανον δ' ἄλλος ἄλλο ψαλτήριον καλούμενον δεκάχορδον τῷ τότε), χορούς τε συστησάμενος ἐκ τούτων διαφόρους ἐξάρχους ἔχοντάς τινας καὶ χοροκορυφαίους, τὸν Ἰδιθοὺμ καὶ τὸν Αἰθάμ, Ἀσάφ τε καὶ τοὺς ἄλλους, τοὺς ἑκατὸν πεντήκοντα ψαλμοὺς ἐμμέτρως ᾖσεν. Οὐ γὰρ ὡς λέγουσί τινες τῶν γε μὴ γινωσκόντων, ὅτι τινὰς μὲν ἔγραψε ψαλμοὺς Δαυὶδ ὁ μέγας, τινὰς δὲ παῖδες τοῦ Κορέ, Ἀσὰφ δὲ πάλιν ἄλλους, ἄλλους δὲ γέγραφεν Αἰθάμ, ὁ δ' Ἰδιθοὺμ ἑτέρους. καὶ γὰρ κἂν ἐπιγράφωνται τούτων αἱ κλήσεις ἴσως ἐν ἐπιγράμμασί τινων ψαλμῶν ἐκ τοῦ ψαλτῆρος, ὡς μελῳδήσαντες ψαλμούς, οὐ μὴν δ' ὡς γεγραφότες παρά τινων ἐτέθησαν ὡς ἐπιγεγραμμένοι. ὁ γὰρ Δαυὶδ ὁ μελῳδός, ὁ βασιλεὺς ἐκεῖνος, ἡνίκα γέγραφε ψαλμὸν ἐμμέτρως τεθειμένον, εὐθὺς ἐδίδου τῷ χορῷ τῷ δεδοκιμασμένῳ καὶ μελουργεῖν ἐπέτρεπε καὶ τὸν ψαλμὸν ἐξᾄδειν. εἰ δ' ἴσως ἐδοκίμασεν ἄλλῳ χορῷ διδόναι τὸ λεῖπον ἔτι τῷ ψαλμῷ πρὸς τὸ μελουγρηθῆναι, ἡ τοῦ ῥυθμοῦ μεταβολὴ τοῦ μέλους τε τὸ τμῆμα ἐλέγετο διάψαλμα παρὰ τῶν γινωσκόντων. τοῦτο δὲ πάντως ἔξεστι μαθεῖν τῷ βουλομένῳ ἐκ βίβλου τῶν βασιλειῶν τῶν Παραλειπομένων· ῥητῶς γὰρ οὕτω γέγραπται περὶ Δαυὶδ ἐκεῖσε, ὡς ᾖσε τήνδε τὴν ᾠδὴν Ἀσὰφ χειρὶ προφήτου. ἄλλως τε πάλιν ὁ Χριστὸς ἐν τοῖς εὐαγγελίοις πολλὰ πολλάκις ῥήματα λέγων ἐκ τοῦ ψαλτῆρος μόνον εἰσάγει τὸν Δαυὶδ ὡς πάντας γεγραφότα· ὡσαύτως τοῦτο λέγουσι τινὲς τῶν ἀποστόλων, ἡνίκα χρῶνται λέξεσι καὶ λόγοις τοῦ ψαλτῆρος. Οὐ μέντοι τάξιν ἔχουσι τοῦ λόγου καὶ τοῦ χρόνου, ἀλλ' ἀλληνάλλως οἱ ψαλμοὶ κεῖνται συντεταγμένοι. οὓς μὲν γὰρ γέγραφε Δαυὶδ ἐν τοῖς ὑστέροις χρόνοις, ὥσπερ γραφέντες ἐξ ἀρχῆς κεῖνται συντεταγμένοι· οὓς δὲ τὸ πρῶτον εἴρηκεν, ἀρχῇ τῆς βασιλείας, ὕστερον συνετέθησαν παρὰ τῶν συνταξάντων. τὰ γὰρ συμβάντα τῷ Δαυὶδ ἐκ τοῦ Σαοὺλ ἀρχῆθεν, καὶ πρὶν σχεδὸν Ἀβεσαλὼμ τὸν παῖδα γεννηθῆναι, ὁ τεσσαρακοστόπρωτος ἑκατοστὸς συγγράφει· ὅσα δὲ πεπαρῴνηκεν Ἀβεσαλὼμ ἐκεῖνος ὕστερον πάντων τῷ Δαυίδ, ὁ τρίτος ψαλμὸς γράφει. Ὁ τρόπος δ' οὗτος πέφυκε τῆς κακοσυνταξίας· μετὰ τὸν θάνατον Δαυὶδ τοῦ πάνυ σοφωτάτου λήθης ἠφάνιστο βυθοῖς βίβλος ἡ τοῦ ψαλτῆρος ἐξ ἀτασθάλου καὶ νωθρᾶς τῶν Ἰουδαίων γνώμης. πρὸ χρόνων δὲ τριάκοντα σὺν τοῖς τριακοσίοις τῆς τοῦ θεοῦ σαρκώσεως τοῦ λόγου καὶ δεσπότου ὁ μετὰ τὸν Ἀλέξανδρον Αἰγύπτου βασιλεύσας, Φιλάδελφος καλούμενος τὴν κλῆσιν Πτολεμαῖος, ἠθέλησε συναγαγεῖν τὸ τοῦ Δαυὶδ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βιβλίον. τῆς σῆς, Χριστέ μου, γνώρισμα καὶ τοῦτο προμηθείας· ἀνὴρ γὰρ ὄντως βάρβαρος τὴν γλῶσσαν καὶ τοὺς τρόπους σπουδὴν εἰσήγαγε πολλὴν Δαυὶδ εὑρεῖν τὴν βίβλον. καὶ δὴ συγκαλεσάμενος Ἑβραίων σοφωτάτους, τοὺς ὅλους ἑβδομήκοντα τυγχάνοντας ἐν μέτρῳ, καὶ φιλοσόφους Ἕλληνας οὐ πλείους τῶν Ἑβραίων, προσέταξε συναγαγεῖν τὸ τῶν ψαλμῶν βιβλίον ἐξελληνίσαι τε σαφῶς πρὸς τὴν Ἑλλάδα γλῶτταν. ἐπεὶ γοῦν οὐχ εὑρέθησαν μιᾷ πάντες ἐν βίβλῳ (ἐν βίβλοις γὰρ εὑρέθησαν πέντε κατεσπαρμένοι), ἐν τούτῳ κακοσύντακτοι τυγχάνουσιν οἱ πλείους, ὃν τρόπον τοῦτο πέπονθε καὶ προφητῶν ἡ βίβλος. Πολλῶν μὲν οὖν καὶ πολλαχοῦ ταύτην ἑρμηνευσάντων (τὴν βίβλον λέγω τοῦ Δαυίδ) ἀνθρώπων σοφωτάτων, ἑρμηνευταὶ περύκασι γεραίτεροι τοῖς χρόνοις, οὓς ἔφην ἑβδομήκοντα, πάντας Ἑβραίους ὄντας· καιρὸς δ' εἰπεῖν καὶ τοὺς λοιποὺς ἑρμηνευτὰς τῆς βίβλου. Ἀκύλας γοῦν ὁ δεύτερος ἑρμηνευτὴς τυγχάνει, ὃς ἐκ πατρίδος ὥρμητο Σινώπης τῆς τοῦ Πόντου, ποικίλος μὲν τὴν αἵρεσιν γενόμενος ὁ τάλας. Ἕλλην γὰρ ὢν τὸ πρότερον εἰς ὀρθοδόξους ἦλθε, πεισθεὶς καλῶς καὶ βαπτισθεὶς ἐν Ἰεροσολύμοις· ἀλλ' αὖθις ἀρνησάμενος τὴν εὐσεβῆ θρησκείαν περιτομὴν ὑπήνεγκε καὶ γέγονεν Ἑβραῖος. καὶ προσκληθεὶς Ἀδριανῷ τῷ λεπρωθέντι πάλαι τὴν τοῦ Δαυὶδ ἡρμήνευσε βίβλον ἐξῃρημένως, τεσσαράκοντα τέσσαρας ὕστερον μετὰ χρόνους τῆς ἀναλήψεως Χριστοῦ τῆς ὡς πρὸς τὸν πατέρα. ἑρμηνευτὴς δὲ πέφυκε τρίτος καὶ μετὰ τοῦτον Σύμμαχός τις λεγόμενος, τὸ γένος Σαμαρείτης, ὃς ὑβρισθεὶς παρά τινων Σαμαρειτῶν ἀδίκως ἐκ λύπης ἰουδάισε περιτμηθεὶς ἀσκόπως. καὶ προσκληθεὶς παρά τινος Σεβήρου βασιλέως τὴν τοῦ Δαυὶδ ἡρμήνευσε ψαλμικωτάτην βίβλον ὡς δῆθεν πρὸς καταστροφὴν Σαμαρειτῶν τοῦ γένους, πλὴν μετὰ χρόνους ἑκατὸν τῆς σεβασμιωτάτης ἐπαναλήψεως Χριστοῦ πρὸς τοὺς πατρῴους κόλπους. Θεοδοτίων τέταρτος ἑρμηνευτὴς τυγχάνει, τὸ γένος μὲν Ἐφέσιος, ἀλλὰ Μαρκιωνίτης· ὅστις ἀπεχθανόμενος δῆθεν τοὺς ὁμοφύλους τὴν βίβλον ἐφηρμήνευσε τὴν Δαυιτικωτάτην, Κομόδου βασιλεύοντος τῆς Μεσοποταμίας. οὗτος μὲν οὖν ἡρμήνευσε τὸ τοῦ Δαυὶδ βιβλίον· καὶ πέμπτη δ' ἀνωνόμαστος, ὥς φασιν, ἑρμηνεία εἰς πόλιν τὴν Ἱεριχὼ τοῖς πίθοις κεκρυμμένη παρὰ τοῦ βασιλεύοντος εὑρέθη Καρακάλου. Ἁπλῷ μὲν λόγῳ καὶ κοινῷ καὶ κατημαξευμένῳ ὄργανον τὸ ψαλτήριον δεκάχορδον σημαίνει, ᾧτινι χρώμενοι τὸ πρὶν οἱ μελῳδοὶ πρὸς μέλος ἐν τούτῳ τὰ ψαλλόμενα καλλίστως ἐμελῴδουν. εἰ δ' ἴσως ἀναγωγικῶς ἐφερμηνεῦσαι θέλῃς, ψαλτήριον δεκάχορδον τὸν ἄνθρωπον σημαίνει. ὥσπερ γὰρ εἶχε πρότερον δέκα χορδὰς ἐκεῖνο, οὕτω καὶ πᾶς τις ἄνθρωπος ἔχει δυνάμεις δέκα σωματικὰς καὶ ψυχικάς, καὶ δῆλον ἀπὸ τούτου· ψυχὴ γὰρ πᾶσα πέφυκε δυνάμεις ἔχειν πέντε, νοῦν, αἴσθησιν, διάνοιαν, δόξαν καὶ φαντασίαν· ὡσαύτως καὶ τοῦ σώματος ἴσμεν αἰσθήσεις πέντε, ὅρασιν, ὄσφρησιν, ἁφήν, ἀκοήν τε καὶ γεῦσιν. ταῦτ' οὖν ὑπαινιττόμενος ἔλεγεν ὁ προφήτης· ἐν δεκαχόρδῳ τῷ θεῷ ψάλατε ψαλτηρίῳ. Εἰς τὸν α´ ψαλμὸν ἤγουν τὸ «μακάριος ἀνὴρ ὃς οὐκ ἐπορεύθη» Ἄλλοι μὲν ἄλλα τῶν ψαλμῶν ἔχουσι λόγων εἴδη, ὁ δὲ παρὼν καὶ πρώτιστος εἶδος διττὸν ἐπέχει, διδακτικὸν σὺν ἠθικῷ· καὶ τοῦτο σκοπητέον. διδάσκει γὰρ ἀνάστασιν καὶ κρίσιν τῶν ἀνθρώπων, καὶ μακαρίζει τοὺς χρηστούς, τοὺς δ' ἄλλους ταλανίζει, καὶ μάλιστα τοὺς ἀσεβεῖς καὶ τυραννικωτάτους, οὓς οὐδ' εἰς κρίσιν ὕστερον ἐξαναστῆναι λέγει, ἀλλ' εἰς κατάκρισιν αὐτῶν καὶ κόλασιν ἀξίαν. τὸ γὰρ «οὐκ ἀναστήσεται πᾶς ἀσεβὴς εἰς κρίσιν» τοῦτο σημαίνει προφανῶς, ὡς ἀναστῆναι μέλλει, πλὴν οὐκ εἰς κρίσιν ἀληθῶς, ἀλλὰ πρὸς κατακρίσεις. Ἐάν σοι δόξῃ, ἐν τῇ ἀρχῇ τοῦ ψαλτηρίου γράψον ταῦτα· Δαυὶδ προφητάνακτος ἔνθεον μέλος Ψαλμὸς τῷ Δαυίδ, ἀνεπίγραφος παρ' Ἑβραίοις· εἰς τὸν α´ ψαλμόν Θεοσεβεῖς μακαρίζει καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀσεβεῖς ταλανίζει. Εἰς τὸν β΄ ψαλμόν, τὸ «ἵνα τί ἐφρύαξαν» Περὶ Χριστοῦ προφητεύει, καλεῖ καὶ ἔθνη πρὸς πίστιν. Οὗτος τὸ πάθος προδηλοῖ τοῦ θεανθρώπου λόγου. «ἵνα τί» γὰρ «ἐφρύαξαν ἔθνη» φησὶν «ἀφρόνως, κενὰ δὲ μεμελέτηκε λαὸς τῶν Ἰουδαίων, ἄρχοντες δὲ συνήχθησαν, φεῦ, κατὰ τοῦ κυρίου;» πρὸς τὸν σωτῆρα δέ φησι τὸν ἄναρχον πατέρα «αἴτησαι» λέγειν «παρ' ἐμοῦ καὶ δώσω σοι τὰ ἔθνη καὶ τὴν κληρονομίαν σου καὶ τὴν κατάσχεσίν σου πάντα τὰ πέρατα τῆς γῆς. αὐτοὺς δὲ τοὺς Ἑβραίους σὺ ποιμανεῖς ἐν ῥάβδῳ σου τῇ σιδηρᾷ δικαίως, συντρίβων τούτους ἀληθῶς ὡς σκεύη κεραμέως.» ῥάβδον δὲ λέγει σιδηρᾶν Ῥωμαίων βασιλείαν τὴν τούτους κατατρύχουσαν μέχρι τῆς νῦν ἡμέρας. τὸ δ' «αἴτησαι καὶ δώσω σοι κληρονομίαν ἔθνη» οὕτως ὀφείλεις ἐννοεῖν ἅπας ἀναγινώσκων, ὡς ἔχει μὲν τὴν τοῦ παντὸς ὁ λόγος ἐξουσίαν θεὸς τυγχάνων ἀληθῶς κατὰ τὴν θείαν φύσιν, ἐπεὶ δὲ γέγονε βροτός, ὡς ἄνθρωπος αἰτεῖται τὴν ἐξουσίαν ἐκ πατρὸς τῶν ἐπὶ γῆς ἁπάντων. «ἐδόθη» γάρ φησιν «ἐμοὶ» κἀν τοῖς εὐαγγελίοις «ἐν οὐρανῷ καὶ ἐν τῇ γῇ πατρόθεν ἐξουσία». Εἰς τὸν γ΄ ψαλμὸν τὸν «κύριε, τί ἐπληθύνθησαν» Ἅπερ αὐτῷ χρηστὰ ἔσται μετὰ τὰς θλίψεις προλέγει. Τοῦτον τὸν τρίτον εἴρηκε ψαλμὸν Δαυὶδ ὁ μέγας μετὰ τὴν πολυθρύλλητον αὐτοῦ παρανομίαν, ὅταν οὐ μόνον βάρβαροι καὶ πλῆθος ἀλλοφύλων ἀλλὰ καὶ παῖς Ἀβεσαλὼμ ἠγέρθη κατ' ἐκείνου. οὗπερ τὰς χεῖρας ἀποδρὰς καὶ φεύγων εἰς ἐρήμους θρηνολογῶν ἐφθέγγετο πρὸς τὸν δεσπότην τάδε· «τί» λέγων «ἐπληθύνθησαν οἱ θλίβοντές με, λόγε, πολλοὶ δ' ἐπανεστάθησαν νῦν ἐπ' ἐμὲ τὸν τάλαν;» ἐπιθαρρῶν ὡς ἔοικεν αὐτοῦ τῇ μετανοίᾳ, «ἐγώ» φησι, «κἂν ὕπνωσα, πλὴν ἐξηγέρθην αὖθις»· ὕπνον δὲ λέγει νουνεχῶς ὧδε τὴν ἁμαρτίαν. «ὅθεν οὐ φοβηθήσομαι λαοῦ τὰς μυριάδας τὰς ἐπιτιθεμένας μοι κύκλῳ, θαρρῶν σοι, λόγε.» Εἰς τὸν δ΄ ψαλμόν, «ἐν τῷ ἐπικαλεῖσθαί με» Περὶ ὧν πέπονθε λέγει καὶ εὐσεβῶς ζῆν διδάσκει. Τοῦτον ἐξεῖπε τὸν ψαλμὸν νενικηκὼς τὸν παῖδα· «ἐν θλίψει» γὰρ «ἐπλάτυνας», φησίν, «εἰσήκουσάς μου.» τὸ δ' «εἰς τὸ τέλος» τὸν ψαλμὸν τοῦτον ἐπιγεγράφθαι ἔμφασιν ἔχει καθαρὰν τὸ τέλος τοῦ θανάτου· φησὶ γὰρ «κοιμηθήσομαι καὶ πάλιν ἀφυπνώσω». Εἰς τὸν ε΄ ψαλμόν, «τὰ ῥήματά μου ἐνώτισαι» Ὡς ἀπὸ τῆς ἐκκλησίας προσευχομένου ὁ ὕμνος. Τοῦτον προσώπῳ γέγραφε τῆς θείας ἐκκλησίας· αὕτη γὰρ ἔσται τοῦ παντὸς εἰς τέλος κληρονόμος. ἥτις τοὺς μὴ πιστεύοντας κατὰ τὴν ταύτης δόξαν ἀφανισθῆναι δυσωπεῖ τὸν κύριον τῆς δόξης. φησὶ γάρ, «πάντας ἀπολεῖς τοὺς λέγοντας τὸ ψεῦδος» καὶ βλασφημοῦντας κατὰ σοῦ, δέσποτα τῶν ἁπάντων· «τούτων ὁ φάρυγξ γάρ ἐστι τάφος ἀνεῳγμένος». Εἰς τὸν ϛ΄ ψαλμόν, «κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με» Διδάσκει πῶς δεῖ κυρίῳ ἐξομολόγησιν φέρειν. Μεταγινώσκων ὁ Δαυὶδ αὐτοῦ τὴν ἁμαρτίαν καὶ τὴν ἐν τέλει φοβερὰν κρίσιν εἰς νοῦν λαμβάνων ὑπὲρ αὐτῆς ἐκδυσωπεῖ μηδ' ὅλως κολασθῆναι· «μὴ τῷ θυμῷ σου» γάρ φησιν «ἐλέγξῃς με, σωτήρ μου», ἅπερ ὀδύνης ῥήματα τυγχάνουσι καὶ φόβου. Εἰς τὸν ζ΄ ψαλμόν, «κύριε ὁ θεός μου, ἐπὶ σοὶ ἤλπισα» Ἀδικούμενος ἀδίκως ὑποτιθεῖ ἃ προσήκει. Ὁ πατραλοίας ὁ πικρός, Ἀβεσαλὼμ ἐκεῖνος, τὸν Ἀχιτόφελ σύμβουλον λαβὼν ἐν τοῖς πρακτέοις καὶ τὸν πατέρα φεύγοντα καταδιῶξαι μέλλων, παρὰ Χουσὶ τοῦ θαυμαστοῦ σοφῶς ἐξηπατήθη. ὑποκριθεὶς γὰρ ὁ Χουσὶ φίλος αὐτοῦ τυγχάνειν τρέχει πρὸς τοῦτον καί φησι λαθὼν τὸν Ἀχιτόφελ· «εἰ βούλει κτεῖναι τὸν Δαυὶδ ἀρτίως πεφευγότα, μὴ κατὰ πόδας ἄοπλος ἐκείνου καταδράμῃς· πολὺν συνάθροισον λαόν, καὶ τότε πολεμήσεις.» ὅπερ καὶ πέπραχε πεισθεὶς Ἀβεσαλὼμ ἐκείνῳ. ὁ γοῦν Δαυὶδ δραξάμενος καιροῦ τινος εὐκαίρου ἐξέφυγε τὸν πόλεμον τὸν τοῦ παιδὸς ἐκεῖνον. ποιεῖται γοῦν ὑπὲρ Χουσὶ ψαλμὸν εὐχαριστίας. ὁ μέντοι γε κακόχαρτος ἐκεῖνος Ἀχιτόφελ λύπῃ δεινῇ κατασχεθεὶς ἐν τῇ δραματουργίᾳ εὐθὺς ἐπνίγη γεγονὼς αὐτόχειρ δι' ἀγχόνης. τούτου γὰρ χάριν εἴρηκεν ὁ ψαλμογράφος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πάλιν· «ἰδοὺ καθὼς ὠδίνησεν ἐκεῖνος ἀδικίαν, πόνον συνέλαβεν ἐντός, ἔτεκεν ἀνομίαν, καὶ τάφον ὤρυξε βαθύν, ἀλλ' ἐμπεσεῖται μόνος εἰς βόθρον ὃν εἰργάσατο τῇ κακοσυμβουλίᾳ.» Εἰς τὸν η´ ψαλμόν, «κύριε ὁ κύριος ἡμῶν, ὡς θαυμαστόν» Χριστὸν κηρύττει καὶ κόσμου τὴν σωτηρίαν προλέγει. Τοῦτον ἐξεῖπε τὸν ψαλμὸν προβλέπων ὁ προφήτης τὴν κλῆσιν ὄντως τῶν ἐθνῶν, ἡμῶν τῶν ἀπωσμένων, καὶ τοὺς ναοὺς τοὺς ἱεροὺς τοῦ λόγου καὶ σωτῆρος. ληνοὶ γὰρ θεοπάτητοι πάντως αἱ ἐκκλησίαι, τὸ γλεῦκος ἀποστάζουσαι τὸ τῶν εὐαγγελίων. Εἰς τὸν θ´ ψαλμόν, «ἐξομολογήσομαί σοι, κύριε» Θάνατον ἔγερσιν κράτος Χριστοῦ, ἐχθρῶν πτῶσιν λέγει. Μέλλων ὁ μέγιστος Δαυὶδ καὶ θαυμαστὸς προφήτης προκαταγγεῖλαι τοῦ Χριστοῦ τὰ κοσμοσῶστα πάθη, φησὶ «ψαλμὸς ὑπὲρ υἱοῦ τῶν ἄγαν ἀποκρύφων». υἱοῦ δὲ τί τὸ κρύφιον ἢ κένωσις ἡ ξένη; κρυφίως γὰρ ταπείνωσιν τὴν κατάβασιν λέγει· «ἴδε μου τὴν ταπείνωσιν», φησὶ πρὸς τὸν πατέρα, «καὶ τοῦ θανάτου τῶν πυλῶν ὕψωσον παραδόξως.» Εἰς τὸν ι´ ψαλμόν, «ἐπὶ τῷ κυρίῳ πέποιθα» Ὕμνος ᾀδόμενος πᾶσι κατὰ θεὸν οἷς ἀγῶνες. Τοῦτον ἐξεῖπε τὸν ψαλμὸν μέλλων ἀποδιδράσκειν ἀπὸ προσώπου τοῦ Σαοὺλ ὁ μέγιστος προφήτης. «μεταναστεύου» γάρ φησι, «ψυχή, καθὰ στρουθίον ἐπὶ τὰ ὄρη τὰ μακρὰν καὶ φεῦγε τοὺς τοξότας. ἰδοὺ καὶ γὰρ ἐνέτειναν ἁμαρτωλοὶ τὰ τόξα ἐν σκοτομήνῃ θέλοντες σὲ νῦν κατατοξεῦσαι.» «εἰς τέλος» δ' ἐπιγέγραπται, καθ' ὅσον μέμνηταί που τῆς τοῦ δεσπότου κρίσεως τῆς οὔσης ἐν τῷ τέλει· φησὶ γάρ, «εἰς ἁμαρτωλοὺς παγίδας ἐπιβρέξει πῦρ τε καὶ θεῖον καυστικὸν καὶ πνεῦμα καταιγίδος». Εἰς τὸν ια´ ψαλμόν, «σῶσόν με, κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος» Καταδρομὴ πονηρίας, περὶ Χριστὸν προσδοκία. Τοὺς πονηροὺς κατηγορῶν ὁ θαυμαστὸς προφήτης καὶ τοῦτον ᾖσε τὸν ψαλμὸν μετὰ ῥυθμοῦ καὶ μέλους. «ἐκλέλοιπε γὰρ ὅσιος» φησὶν «ἀπὸ τοῦ κόσμου, ἀλήθειαι δ' ὠλιγώθησαν ἀπὸ υἱῶν ἀνθρώπων.» «εἰς τέλος» δ' ἐπιγέγραπται, πλὴν «ὑπὲρ τῆς ὀγδόης», ὡς μεμνη[μένος ................................]· οὗτος γὰρ ἕβδομός ἐστιν, ὃν τρέχομεν αἰῶνα. «σὺ γὰρ φυλάξαις, κύριε», φησίν, «ἡμᾶς ἐκ ταύτης τῆς γενεᾶς τῆς πονηρᾶς εἰς τὸν αἰῶνα μόνος.» Εἰς τὸν ιβ´ ψαλμόν, «ἕως πότε, κύριε, ἐπιλήσῃ μου εἰς τέλος;» Ἐπίθεσις ἐχθραινόντων καὶ προσδοκία σωτῆρος. Καὶ τοῦτον ᾖσε τὸν ψαλμὸν ὁ μέγιστος προφήτης ὑπὸ παιδὸς Ἀβεσαλὼμ ἐκπεπολεμημένος. θρηνολογεῖ γάρ, ὡς ὁρᾷς, λέγων πρὸς τὸν δεσπότην· «μέχρι καὶ τίνος, κύριε, ἡμῶν ἐπιλανθάνῃ καὶ στρέφεις σου τὸ πρόσωπον ὡς ἀφ' ἡμῶν ὀπίσω; μέχρι δὲ τίνος θήσομαι βουλὰς ἐν τῇ ψυχῇ μου, ὀδύνας ἐν καρδίᾳ μου νύκτωρ καὶ μεθ' ἡμέραν;» Εἰς τὸν ιγ´ ψαλμόν, «εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι» Καταδρομὴ πονηρίας περὶ Χριστοῦ πρόρρησίς <τε>. Τοῦτον προσώπῳ γέγραφε τοῦ θείου Ἐζεκίου τοῦ πάλαι βασιλεύσαντος ὅλης τῆς Ἰουδαίας. Σεναχηρεὶμ ὁ δείλαιος τῶν Ἀσσυρίων ἄναξ στρατεύσας πάλαι μανικῶς κατὰ τῆς Ἰουδαίας πολλὰς μὲν ἐξεπόρθησεν ἐκείνης ἄλλας πόλεις. ἐλθὼν δ' εἰς Ἱερουσαλήμ, εἰς πόλιν Ἐζεκίου (ἤλπισε γὰρ χειρώσασθαι καὶ ταύτην τῷ πολέμῳ), Ῥαμψάκην πέπομφέ τινα πρὸς Ἐζεκίαν λέγων· «δεῦρο καταδουλώθητι τῷ κράτει μου συντόμως, οὐδεὶς γὰρ ἐξελεῖταί σε πάντως ἐκ τῶν χειρῶν μου, οὐδ' ἂν ἐκεῖνος ὁ θεὸς ὃν σὺ πιστεύεις εἴπῃς.» καὶ ταῦτα μὲν λελάληκε Ῥαμψάκης Ἐζεκίᾳ· ὁ δὲ δεσπότης τοῦ παντὸς κληθεὶς παρ' [Ἐζεκίου] ἄγγελον ἐξαπέστειλε κατὰ τῶν Ἀσσυρίων, ὃς ἐν ἐκείνῃ τῇ νυκτὶ καὶ μόνῃ παραδόξως τὰς ἑκατὸν ἀπέσφαξεν ὀγδοηκονταπέντε τῶν Ἀσσυρίων παναλκεῖς ἐκείνας μυριάδας, τοὺς δὲ λοιποὺς ὡς πρὸς φυγὴν ἔτρεψεν ἀοράτως. τούτου γὰρ χάριν εἴρηκε πάντως ὡς «εἶπεν ἄφρων ἐν τῇ καρδίᾳ ἑαυτοῦ ὅτι θεὸς οὐκ ἔστι»· καὶ πάλιν «ἐδειλίασαν φόβον μὴ ὄντος φόβου». καὶ γὰρ μὴ πολεμούμενοι παρά τινων ἀνθρώπων οἱ μὲν ἐναπεσφάγησαν, οἱ δ' ἔφυγον ἀσχέτως. πλὴν «εἰς τὸ τέλος» γέγραπται καθ' ὅσον ὁ προφήτης πρὸ χρόνων


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἴρηκε πολλῶν ταύτην τὴν προφητείαν. Εἰς τὸν ιδ´ ψαλμόν, «κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου;» Ὑπογραφὴ τῶν ἐν νόμῳ τελειωθέντων ἁγίων. Ἐν τούτῳ πάλιν τῷ ψαλμῷ νομοθετεῖ πανσόφως καὶ στήλην γράφει πρὸς ἡμᾶς τοῦ θεαρέστου βίου, «τίς παροικήσει, κύριε», λέγων, «ἐν τῇ σκηνῇ σου ἢ τίς κατασκηνώσειεν ἐν ὄρει σου ἁγίῳ; πάντως ὁ πορευόμενος ἀμώμως ἐν τῷ βίῳ καὶ πάλιν ἐργαζόμενος ἀεὶ δικαιοσύνην.» Εἰς τὸν ιε´ ψαλμόν, «φύλαξόν με, κύριε, ὅτι ἐπὶ σοὶ ἤλπισα» Συνάθροισις ἐκκλησίας, Χριστοῦ ἀνάστασις ἅμα. Ἐνταῦθα στήλην γέγραφε παθῶν τῶν τοῦ δεσπότου ἤγουν τῆς νίκης τοῦ Χριστοῦ τῆς κατὰ τοῦ θανάτου. φησὶ γὰρ ἀνθρωποπρεπῶς προσώπῳ τοῦ σωτῆρος πρὸς τὸν πατέρα δηλαδὴ τὸν ἄναρχον, καὶ λέγει· «ἐγκαταλείψεις οὐδαμῶς εἰς ᾅδου τὴν ψυχήν μου οὐδὲ φθορὰν τὸν ὅσιον τὸν σὸν ἰδεῖν με δώσεις· ὁδοὺς ζωῆς ὡς ἀληθῶς ἐγνώρισάς μοι, πάτερ.» Εἰς τὸν ις´ ψαλμόν, «εἰσάκουσον, κύριε, δικαιοσύνης» Καλῶς λαοῦ προεστῶτος ἡ προσευχὴ ὑπὸ τούτου. Καὶ τοῦτον διωκόμενος ὑπὸ Σαοὺλ ἐξεῖπεν, οὗπερ ῥυσθῆναι δυσωπεῖ τὸν πάντων εὐεργέτην. «ἐνώτισαι» καὶ γάρ φησι «τὴν προσευχήν μου, λόγε, καὶ κατ' ἐχθρῶν ἀνάστηθι καὶ πρόφθασον ἐν τάχει καὶ τούτους ὑποσκέλισον καὶ ῥῦσαι τὴν ψυχήν μου. σὺ γὰρ ὡς ἐδοκίμασας νῦν τὴν ἐμὴν καρδίαν, ὡς ἐπεσκέψω με νυκτός, πυρώσας τοὺς νεφρούς μου, οὔκουν ἐφεῦρες ἐν ἐμοὶ κἂν ἴχνος ἁμαρτίας.» ταῦτα λελάληκε θαρρῶν ὡς πρὸ τῆς ἁμαρτίας ἀδίκως διωκόμενος ὑπὸ Σαοὺλ ἐκεῖνος. μᾶλλον δὲ τοῦτο καθαρῶς σημαίνει καὶ κυρίως τὸ «ἐπεσκέψω με νυκτός, πυρώσας τοὺς νεφρούς μου», ὡς «ἐπειδήπερ τὸν Σαοὺλ κοιμώμενον ἐφεῦρον καὶ τοῦτον οὐκ ἀπέκτεινα σφόδρα ἠδικημένος, πάντως οὐχ εὗρες ἐν ἐμοὶ χώραν μνησικακίας». Εἰς τὸν ιζ´ ψαλμόν, «ἀγαπήσω σε, κύριε ἡ ἰσχύς μου» Εὐχαριστεῖ καὶ προλέγει Χριστοῦ ἀνάληψιν γῆθεν. Τοῦτον εὐχαριστήριον προσάγει τῷ δεσπότῃ ῥυσθεὶς ἐκ πάντων τῶν ἐχθρῶν καὶ τοῦ Σαοὺλ ἐκείνου· φησὶ γὰρ «ἀγαπήσω σε, κύριε ἡ ἰσχύς μου». ἔχει δ' ἐμφάσεις καί τινας Χριστοῦ τῆς παρουσίας καὶ τῆς ἐπανακλήσεως αὐτοῦ πρὸς τὸν πατέρα. «ἔκλινε» γάρ φησιν «αὐτὸς οὐρανοὺς καὶ κατέβη», καὶ πάλιν «ἐπὶ χερουβὶμ ἐπέβη παραδόξως ἐπὶ πτερύγων τέ τινων ἀνέμων ἐπετάσθη». ἔχει καὶ κλῆσιν τῶν ἐθνῶν καὶ θλῖψιν τῶν Ἑβραίων. φησὶ γὰρ «καταστήσεις με καὶ κεφαλὴν ἐθνῶν μου, λαὸς γὰρ ὃν οὐκ ἔγνωκα πάντως δεδούλευκέ μοι, εἰς ἀκοὴν ὠτίου δὲ τοὺς λόγους ἤκουσέ μου· υἱοὶ δ' ἠλλοτριώθησαν, ἄγαν ἐψεύσαντό μοι. ἐπαλαιώθησαν καὶ γάρ, ἐχώλαναν τὰς τρίβους, ὥσπερ πηλὸν δὲ πλατειῶν ἀπολεάνω τούτους.» Εἰς τὸν ιη´ ψαλμόν, «οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ» Θεολογεῖ καὶ διδάσκει ὡς δεῖ βιοῦν θεαρέστως. Οὗτος δὲ πάλιν ὁ ψαλμὸς θεολογίας πλήρης, ἐκ τρόπων δὲ διδακτικῶν ἐστὶ συντεθειμένος. «οἱ οὐρανοὶ» γὰρ «τοῦ θεοῦ τὴν δόξαν διηγοῦνται, ποίησιν δὲ χειρῶν αὐτοῦ τοῖς πᾶσιν ἀναγγέλλει τὸ κράτιστον στερέωμα τὸ μέσον τῶν ὑδάτων· ῥῆμα δ' ἐρεύγεται» φησὶν «ἡμέρα τῇ ἡμέρᾳ καὶ νὺξ νυκτὶ τὴν θαυμαστὴν ἐξαναγγέλλει γνῶσιν.» ταῦτα δὲ πάντα γέγραφεν ἐκ προσωποποιίας, τὸ πρῶτον διηγούμενος εἶδος τῶν θείων νόμων. νόμοι γὰρ τρεῖς ἐδόθησαν ἐκ θεοῦ τοῖς ἀνθρώποις· ὁ πρῶτος δίχα γράμματος, ὁ διὰ τῶν κτισμάτων· τίς γὰρ ἰδὼν τὸν οὐρανὸν καὶ τοὺς ἀστέρας τούτους οὐκ ἔσχε νόμον φυσικὸν ἀπὸ τῶν ὁρωμένων, ὡς ἄρα τούτων πέφυκε δημιουργός τις μέγας; ὁ δεύτερος δὲ γράμματος, ὁ διὰ Μωϋσέως· καὶ τρίτος ὁ τῆς χάριτος ἡμῖν ἐδόθη νόμος. ὃ περὶ πρώτου τοιγαροῦν ὧδε διδάσκει νόμου, τὴν κτίσιν ἐδογμάτισε διδάσκαλον ὑπάρχειν τοῦ τῶν ἁπάντων ποιητοῦ ἐν προσωποποιίᾳ, ἂν γὰρ οὐδεὶς διδάξῃ σε τὴν δόξαν τοῦ κυρίου, ἀνάβλεψον εἰς οὐρανόν, κἀκεῖνός σε διδάξει. Εἰς τὸν ιθ´ ψαλμόν, «ἐπακούσαι σου κύριος ἐν ἡμέρᾳ» Τῶν βασιλεῖ συμπραττόντων εὐχὴ δικαίων τὸ ᾆσμα. Καὶ τὸν ἐννεακαιδέκατον τοῦτον ψαλμὸν ἐξεῖπεν, ὡς καὶ τὸν τρισκαιδέκατον, ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μέγιστος προφήτης ὡς δῆθεν λεχθησόμενον παρὰ τοῦ Ἐζεκίου, ὅταν στρατεύσῃ κατ' αὐτοῦ Σεναχηρεὶμ ἐκεῖνος, εἶτα κενὸς ἀποπεμφθῇ κατατετροπωμένος. ταῦτα γὰρ πάντα προὔγραψεν ὁ μέγιστος προφήτης· «οὗτοι» καὶ γὰρ «ἐν ἅρμασιν, οὗτοι» φησὶν «ἐν ἵπποις, ἡμεῖς δὲ μόνον ὄνομα καλοῦμεν τοῦ κυρίου. αὐτοὶ συνεποδίσθησαν πεσόντες ἐν ῥομφαίᾳ, ἡμεῖς δ' ἐπανωρθώθημεν, ἀνέστημεν πεσόντες.» Εἰς τὸν κ΄ ψαλμόν, «κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεύς» Ἔντευξις αὕτη δικαίων τῷ βασιλεῖ συμπραττόντων. Προσώπῳ τοῦτον εἴρηκε λαοῦ τῶν Ἰουδαίων, δῆθεν εὐχαριστήριον πρὸς τὸν θεὸν τῶν ὅλων ὑπὲρ ὑγείας καὶ ζωῆς ἄνακτος Ἐζεκίου. οὗτος καὶ γὰρ νενικηκὼς Σεναχηρεὶμ ἐκεῖνον ὑπὸ τῆς ἄνωθεν ῥοπῆς τῆς ἀκαταμαχήτου, ἠρρώστησε δεινότατα μέχρις αὐτοῦ θανάτου. καὶ γνοὺς τὸν τούτου θάνατον ὡς ἀπὸ τοῦ προφήτου τοῦ Ἡσαΐου πρὸς αὐτὸν δεδηλωκότος τοῦτον, προσηύξατο πρὸς κύριον μετὰ θερμῶν δακρύων, καὶ πάλιν εἴληφε τοῦ ζῆν εἰς χρόνους δεκαπέντε προσθήκην ὄντας τῆς ζωῆς τούτου τῆς προλαβούσης. «ὁ βασιλεὺς» γάρ, «κύριε», φησί, «τῇ σῇ δυνάμει μεγάλως εὐφρανθήσεται ῥυσθεὶς ἐκ τοῦ θανάτου· οὐ γὰρ ἐστέρησας αὐτὸν θέλησιν τῶν χειλέων καὶ τῆς καρδίας δέδωκας αὐτῷ ἐπιθυμίαν· ζωὴν ᾐτήσατο λαβεῖν, καὶ δέδωκας αὐτίκα.» Εἰς τὸν κα΄ ψαλμόν, «ὁ θεός, ὁ θεός μου, πρόσσχες μοι» Χριστοῦ παθῶν προφητεία, κλῆσις ἐθνῶν γῆς περάτων. Ὁ δ' εἰκοστόπρωτος ψαλμὸς ὁ προκείμενος οὗτος προρρήσεις ἔχει θαυμαστὰς τοῦ πάθους τοῦ σωτῆρος, ὡς ἀπὸ τῆς ἐπιγραφῆς τῆς τούτου διδαχθήσῃ. ἑωθινὴ γὰρ ἀληθῶς ἀντίληψις ὑπάρχει ἡ τοῦ δεσπότου νέκρωσις ἡ φιλανθρωποτάτη, ἥτις ὡς ὄρθρος ἔλαμψεν εἰς πᾶσαν οἰκουμένην. «ὤρυξαν» γάρ φησι σαφῶς «καὶ χεῖράς μου καὶ πόδας», καὶ πάλιν «ἐξηρίθμησαν σύμπαντα τὰ ὀστᾶ μου». Εἰς τὸν κβ΄ ψαλμόν, «κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει» Διδασκαλία πιστοῦ τε εἰσαγωγὴ λαοῦ νέου. Οὗτος τὴν ἴσην δύναμιν τῷ προρρηθέντι φέρει, ἔμφασιν ἔχων καθαρὰν τοῦ πάθους τοῦ κυρίου. «ἂν γάρ» φησι «καὶ πορευθῶ μέσον σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, σὺ μετ' ἐμοῦ γάρ, πάτερ.» Εἰς τὸν κγ΄ ψαλμόν, «τοῦ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς» Τῆς κλήσεως προφητεία, τελείωσις σῳζομένων. Προλέγει τὴν ἀνάστασιν ἐνθάδε τοῦ σωτῆρος καὶ μᾶλλον τὴν ἀνάβασιν τὴν ὡς πρὸς τὸν πατέρα. «ἐπάρθητε» καὶ γάρ φησι «τῶν οὐρανῶν αἱ πύλαι», καὶ πάλιν «πύλας ἄρατε, ταγμάτων ἀρχηγέται». Εἰς τὸν κδ΄ ψαλμόν, «πρὸς σέ, κύριε, ἦρα τὴν ψυχήν μου» Διδασκαλία, κυρίῳ πῶς δεῖ ἐξομολογεῖσθαι. Δαυὶδ ἐξομολόγησιν προσφέρων τῷ κυρίῳ τοῦτον ἐξεῖπε τὸν ψαλμὸν ψυχῇ συντετριμμένῃ. «τῆς ἁμαρτίας» γάρ φησι «τῆς τῆς νεότητός μου, ἀλλὰ καὶ τῆς ἀγνοίας μου μηδ' ὅλως μνημονεύσῃς»· καὶ πάλιν «τὴν ταπείνωσιν ἴδε μου καὶ τὸν κόπον καὶ πάσας ἄφες μου, σωτήρ, ἄρτι τὰς ἁμαρτίας». Εἰς τὸν κε΄ ψαλμόν, «κρῖνόν μοι, κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου» Ἔντευξις ἡ τοῦ προκόπτειν κατὰ θεὸν ἀρξαμένου. Τοῦτον ἐξεῖπε τὸν ψαλμὸν φεύγων εἰς τὰς ἐρήμους ἀπὸ προσώπου τοῦ Σαοὺλ τοῦ παρανομωτάτου. παρ' ἀλλοφύλοις γὰρ οἰκεῖν οὗτος ἠναγκασμένος ἐκείνου κατατρέχοντος τοῦ παρανομωτάτου, ὡς εἶδε τούτους δυσσεβεῖς ὄντας τοὺς ἀλλοφύλους καὶ θύοντας τοῖς δαίμοσι πολλὰς δημοθοινίας, ἐκεῖνος βδελυξάμενος ἦλθεν εἰς τὰς ἐρήμους καὶ τοῦτον ᾖσε τὸν ψαλμὸν ἀπέναντι κυρίου. φησὶ γὰρ «οὐκ ἐκάθισα μετὰ τοῦ συνεδρίου τῆς ματαιότητος, Χριστέ, βροτῶν παρανομούντων· τὴν ἐκκλησίαν γὰρ μισῶ τῶν πονηρευομένων.» Εἰς τὸν κϛ΄ ψαλμόν, «κύριος φωτισμός μου καὶ σωτήρ μου» Εὐχαριστεῖ ἀγαθῶν τε ἔντευξιν ἄλλων ποιεῖται. Καὶ τοῦτον διωκόμενος ὑπὸ Σαοὺλ ἐξεῖπε πρὸ τοῦ χρισθῆναι χρίσματι δευτέρῳ βασιλείας. χρίσεις γὰρ τρεῖς γινώσκομεν τοῦ θαυμαστοῦ προφήτου· ἐν Βηθλεὲμ τῷ Σαμουὴλ καὶ γὰρ ἐχρίσθη πρῶτον, δεύτερον πάλιν ἐν Χεβρὼν ὑπὸ φυλῆς Ἰούδα μετὰ σφαγὴν τὴν τοῦ Σαοὺλ τοῦ παρανομωτάτου, καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τρίτον ὑπὸ τῶν φυλῶν τῶν δώδεκα, καθάπερ ταῖς ἱστορίαις εὕρομεν τῶν Τετραβασιλείων. Εἰς τὸν κζ´ ψαλμόν, «πρὸς σέ, κύριε, κεκράξομαι» Ὠιδὴ πιστῶν ἐκ προσώπου καὶ πρόρρησις τῶν μελλόντων. Ὁρῶν τινας ὁ θαυμαστὸς καὶ κάλλιστος προφήτης ἔξωθεν μὲν εἰρηνικῶς αὐτῷ προσομιλοῦντας καὶ φίλους εἶναι λέγοντας, τοῦτ' ἔστι τοὺς Ζιφαίους, ἔσωθεν δὲ τυγχάνοντας ἐχθροὺς ἀσπονδοτάτους καὶ τούτῳ λάθρᾳ συνεχῶς ἐπιβουλευομένους, τοῦτον ἐξεῖπε τὸν ψαλμὸν εὐχόμενος καὶ λέγων· «μὴ συνελκύσῃς με, Χριστέ, μετὰ ἁμαρτανόντων μηδὲ συναπολέσῃς με μετὰ τῶν ἀδικούντων, λαλούντων μὲν εἰρηνικῶς ἔξωθεν τῷ πλησίον, ἐκμελετώντων δὲ κακὰ τούτων ἐν ταῖς καρδίαις.» Εἰς τὸν κη´ ψαλμόν, «ἐνέγκατε τῷ κυρίῳ, υἱοὶ θεοῦ» Δι' αἰνιγμάτων προρρήσεις, θεολογία συνάμα. Καὶ τοῦτον ᾖσε τὸν ψαλμόν, προσώπῳ δ' Ἑζεκίου, ὁπόταν ἐξαπέστειλε πρὸς τὰς αὐτῶν οἰκίας τοὺς πεφευγότας ἅπαντας εἰς τὴν σκηνὴν τὴν ἔνδον. ἐπεὶ γὰρ ἐπεστράτευσε Σεναχηρεὶμ ἐκεῖνος, οἱ πέριξ ὄντες ἄνθρωποι τῆς πόλεως ἐκείνης εἰς τὴν σκηνὴν εἰσέδραμον τῷ φόβῳ κρατηθέντες· ἐπεὶ δὲ τούτου τὸν στρατὸν ἀνεῖλεν ὁ δεσπότης, πάντας ἐξείλατο λοιπὸν ἐκ τῆς σκηνῆς ἀφόβως καὶ πᾶσιν ἐνετείλατο δοξάζειν τὸν δεσπότην. «ἐνέγκατε» καὶ γάρ φησι «τὴν δόξαν τῷ κυρίῳ, συνέτριψε γὰρ κύριος τὰς κέδρους τοῦ Λιβάνου», ἤγουν τοὺς θέλοντας ἡμᾶς καὶ πολεμεῖν καὶ θλίβειν.» Εἰς τὸν κθ´ ψαλμόν, «ὑψώσω σε, κύριε, ὅτι ὑπέλαβές με» Εὐχαριστεῖ τῷ κυρίῳ ἐξομολόγησιν ᾄδων. Προσώπῳ τοῦτον εἴρηκε τοῦ Ἐζεκίου πάλιν εἰς τὴν αὐτὴν ὑπόθεσιν περὶ τῶν Ἀσσυρίων. ἡσθεὶς γὰρ οὗτος τῇ σφαγῇ τῶν Ἀσσυρίων σφόδρα καὶ τῇ προσθήκῃ μάλιστα τῶν δεκαπέντε χρόνων τῶν προστεθέντων εἰς ζωὴν αὐτῷ παρὰ κυρίου, λαμπρὰν ἐτέλεσε λοιπὸν τὴν ἑορτὴν κυρίῳ ὡς δῆθεν εἰς ἐγκαινισμὸν ναοῦ τοῦ σεβασμίου, ὅνπερ ἠπείλησεν ἐχθρὸς Σεναχηρεὶμ ἐμπρῆσαι. «ὑψώσω σε» γάρ, «κύριε», φησὶν ὁ Ἐζεκίας, «τοὺς γὰρ ἐμοὺς οὐκ εὔφρανας ἐχθροὺς τοὺς Ἀσσυρίους. ἑσπέρας αὐλισθήσεται κλαυθμὸς εἰς Ἰουδαίαν, σὺ δὲ τὴν ἀγαλλίασιν εἰς τὸ πρωῒ παρέχεις.» τοῦτο δὲ πάντως εἴρηκε πρὸς τὴν σφαγὴν ἐκείνων, ὡς δεξαμένων τὴν σφαγὴν νύκτωρ τῶν Ἀσσυρίων. Εἰς τὸν λ´ ψαλμόν, «ἐπὶ σοί, κύριε, ἤλπισα» Ἐξομολόγησις ἅμα καὶ ἱκετήριος ὕμνος. Καὶ τοῦτον ὑπ' Ἀβεσαλὼμ δεδιωγμένος εἶπεν, ἀλλ' ἐξομολογούμενος θεῷ τὰς ἁμαρτίας. «ἔκστασιν» γὰρ ὡς ἀληθῶς τὴν ἁμαρτίαν λέγει· «ἐγὼ δ' ἐν τῇ ἐκστάσει μου» φησὶν «εἶπα, Χριστέ μου, ἀπέρριμμαι παντάπασι τῶν ὀφθαλμῶν σου, λόγε.» Εἰς τὸν λα´ ψαλμόν, «μακάριοι ὧν ἀφείθησαν αἱ ἀνομίαι» Πρόρρησις ἧς τυχεῖν μέλλει ἅπας πιστὸς σωτηρίας. Τὴν χάριν τοῦ βαπτίσματος προβλέπων ὁ προφήτης τοῦτον ἐξεῖπε τὸν ψαλμὸν πρὸς τοὺς βαπτιζομένους. «εἰς σύνεσιν» δὲ γέγραπται, καθ' ὅσον ὁ προφήτης συνῆκε τοῦ βαπτίσματος τὴν χάριν καὶ μακρόθεν. «ὧν» γὰρ «ἀφέθησαν» φησὶν «αἱ ἁμαρτίαι πᾶσαι καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἀνομίαι πάλιν, μακάριοι τυγχάνουσιν», ὕδατι καθαρθέντες. Εἰς τὸν λβ´ ψαλμόν, «ἀγαλλιᾶσθε, δίκαιοι, ἐν κυρίῳ» Ὑμνολογεῖν ἐπιτρέπει θεολογεῖν τε συνάμα. Οὗτος παρεχσηματισται πάλιν εἰς Ἐζεκίαν· μετὰ γὰρ τὴν ἐξάλειψιν ἐχθρῶν τῶν Ἀσσυρίων τὸν δῆμον ὅλον νουθετεῖ δοξάζειν τὸν δεσπότην. «ἀγαλλιᾶσθε» γάρ φησι, «δίκαιοι, ἐν κυρίῳ καὶ ψαλτηρίῳ ψάλατε, πλὴν δεκαχόρδῳ τούτῳ· διασκεδάζει γὰρ βουλὰς ἐθνῶν», τῶν Ἀσσυρίων. Εἰς τὸν λγ´ ψαλμόν, «εὐλογήσω τὸν κύριον» Εὐχαριστήριος ὕμνος θεῷ κακῶν λυτρουμένῳ. Φεύγων τὸν κάκιστον Σαοὺλ ὁ κάλλιστος προφήτης ἦλθεν εἰς πόλιν τὴν Νομὰν οὑτωσὶ καλουμένην, τῷ δ' Ἀβιμέλεχ ἐντυχὼν ἐκεῖσε κατοικοῦντι, ἱερουργῷ τυγχάνοντι τότε τῶν κατὰ νόμον, εἴρηκε ψεῦδος εἰς αὐτὸν ὡς φοβηθεὶς ἁλῶναι· οὐ γὰρ ἐξέφυγον, φησίν, ἀλλ' ἀπεστάλην ὧδε. τὴν γὰρ ὑπόκρισιν αὐτοῦ «ἀλλοίωσιν» εἰρήκει. εὐχαριστεῖ δὲ μάλιστα κἀνταῦθα τῷ δεσπότῃ ὅτι τὸ ψεῦδος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔσωσεν αὐτὸν ἐξ ἐναντίων· φησὶ γὰρ «ἐν παντὶ καιρῷ κύριον εὐλογήσω». Εἰς τὸν λδ΄ ψαλμόν, «δίκασον, κύριε, τοὺς ἀδικοῦντάς με» Ἱκετηρία δικαίου περὶ Χριστοῦ πρόρρησίς τε. Ἀπὸ προσώπου τοῦ Σαοὺλ φεύγων ἐξεῖπε τοῦτον· πλὴν μέμνηται καὶ τῶν ἐχθρῶν ἐνταῦθα τῶν Ζιφαίων τῶν φαινομένων ἔξωθεν φίλων αὐτοῦ γνησίων. «τοὺς ἀδικοῦντάς με» καὶ γάρ φησι «δίκασον, λόγε· ἐμοὶ μὲν γὰρ εἰρηνικὰ τοῖς χείλεσιν ἐλάλουν, ὀργὴν δὲ πάντως ἔσωθεν καὶ φόνον ἐμελέτων.» διδάσκει δ' ἐκ παραδρομῆς ἐνταῦθα τοὺς ἀνθρώπους ἐν συμφοραῖς τὰς προσευχὰς ὁποίας δεῖ προσφέρειν. φησὶ γὰρ «ἐνοχλούμενος ἐνεδυόμην σάκκον καὶ τὴν ψυχήν μου ταπεινῶν ἐτέλουν ἐν νηστείᾳ· εὐθὺς δὲ προσευχόμενος εἰς κόλπους ἐδεχόμην» τὴν ἐκ θεοῦ βοήθειαν κατὰ τῶν ἐναντίων. Εἰς τὸν λε΄ ψαλμόν, «φησὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν ἐν ἑαυτῷ» Τοὺς ἀσεβεῖς διελέγχει θεολογεῖ τε συνάμα. Εἰς ἔλεγχον τῶν ἀσεβῶν τοῦτον Δαυὶδ ἐξεῖπε· φησὶ γὰρ «ὁ παράνομος ἀσχέτως ἁμαρτάνων φόβον οὐδ' ὅλως τοῦ θεοῦ πρὸ τῶν ὀμμάτων ἔχει». «εἰς τέλος» δ' ἐπιγέγραπται, καθ' ὅσον μέμνηταί που τῆς παρουσίας τῆς φρικτῆς δευτέρας τοῦ δεσπότου, «ἀνθρώπους» λέγων, «κύριε, καὶ κτήνη σώσεις τότε». κτήνη δὲ σύ μοι νόησον ἐκείνους τοὺς ἀνθρώπους τοὺς μηδαμῶς ἀκούσαντας λόγον σωτηριώδη. Εἰς τὸν λϛ΄ ψαλμόν, «μὴ παραζήλου ἐν πονηρευομένοις μηδὲ ζήλου τούς» Τῆς πονηρίας ἀπάγει δικαίων γράφων ἐπαίνους. Ἐνθάδε πᾶσι παραινεῖ Δαυὶδ ὁ ψαλμογράφος μισεῖν μὲν καὶ βδελύττεσθαι τοὺς πονηροὺς ἀνθρώπους καὶ τοὺς πλουτοῦντας φανερῶς ἐκ τῶν ἀδικημάτων. «μὴ παραζήλου» γάρ φησιν «ἐν πονηρευομένοις· τάχυ γὰρ ξηρανθήσονται καθάπερ χόρτος οὗτοι.» Εἰς τὸν λζ΄ ψαλμόν, «κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με» Διδασκαλία τοῦ πῶς δεῖ θεῷ ἐξομολογεῖσθαι. Λαβὼν εἰς νοῦν ὁ ψαλμῳδὸς τὴν κρίσιν τοῦ δεσπότου καὶ τὰς βασάνους προστιθεὶς τὰς τότε γινομένας, ὡς ἐξομολογούμενος τὰς ἁμαρτίας λέγει. «μὴ τῷ θυμῷ σου» γάρ φησιν «ἐλέγξῃς με, σωτήρ μου.» τοῦτο γὰρ ὅλον πέφυκεν «ἀνάμνησις σαββάτου»· ὥσπερ γὰρ τοῦτο λέγομεν τὸ σάββατον ἑβδόμην, οὕτως αἰὼν ὁ ὄγδοος σαββάτου λόγον ἔχει, τῶν ἔργων γὰρ παυθήσονται πάντες τῶν ἐν τῷ βίῳ. Εἰς τὸν λη΄ ψαλμόν, «εἶπα φυλάξω τὰς ὁδούς μου τοῦ μὴ ἁμαρτάνειν με» Πῶς δεῖ θεῷ ἐντυγχάνειν καὶ πῶς ἐξομολογεῖσθαι. Κἂν Ἰδιθοὺμ ἐπιγραφὴν ψαλμὸς ὁ παρὼν φέρει, ἀλλ' ὁ προφήτης γέγραφε τοῦτον Δαυὶδ ὁ μέγας, ὑπὸ παιδὸς Ἀβεσαλὼμ ἐκπεπολεμημένος· τὸ δ' «εἰς τὸ τέλος, Ἰδιθούμ, ᾠδὴ Δαυὶδ» σὺ νόει ὡς χοροψάλτης Ἰδιθοὺμ ἦν κεκλημένος οὗτος, ᾧ μελῳδεῖν ἀνέθετο τὸν ψαλμὸν ὁ προφήτης. πλὴν μέμνηται καὶ Σεμεεὶ τοῦ λοιδωροῦντος τοῦτον· τούτου γὰρ χάριν εἴρηκεν ἀρχῇ τῆς μελῳδίας, «εἶπα φυλάξω τὰς ὁδοὺς τῆς γλώσσης μου καθάπαξ, ἐθέμην μου τῷ στόματι καὶ φυλακὴν καὶ κλεῖθρα.» Εἰς τὸν λθ΄ ψαλμόν, «ὑπομένων ὑπέμεινα τὸν κύριον» Ἄιδει εὐχάριστον ᾆσμα κατὰ θεὸν σεσωσμένος. Ἐν τούτῳ πάλιν τῷ ψαλμῷ τὴν κάθειρξιν προλέγει τὴν τοῦ προφήτου Δανιὴλ εἰς τὴν αἰχμαλωσίαν. «τὸν κύριον ὑπέμεινα», φησί, «κἀμοὶ προσέσχε, καὶ τῆς ἐμῆς δεήσεως εἰς τάχος ἐπακούσας ἀνήγαγεν ἐκ λάκκου με πάλιν ταλαιπωρίας.» Εἰς τὸν μ΄ ψαλμόν, «μακάριος ὁ συνιὼν ἐπὶ πτωχόν» Περὶ Χριστοῦ πρόρρησίς τε καὶ μαθητοῦ τοῦ προδόντος. Τοῦτον προσώπῳ γέγραφε τοῦ θεανθρώπου λόγου πρὸς τὸν πατέρα λέγοντος ἅπερ ὑπέστη πάθη καὶ τοῦ προδότου τὴν βουλὴν τὴν μετὰ τῶν Ἑβραίων. «ὁ» γὰρ «ἐσθίων μου» φησὶ «τοὺς ἄρτους καθ' ἡμέραν, ἐκεῖνος ἐμεγάλυνε τὸν πτερνισμόν μου, πάτερ.» Εἰς τὸν μα΄, «ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος» Τῶν προφητῶν ἱκετεία ἐπ' ἐκβολῇ τῇ τοῦ ἔθνους. Τὴν ἑβδομηκοντάχρονον ἐν χώρᾳ Βαβυλῶνος αἰχμαλωσίαν συνιεὶς Δαυὶδ τῶν Ἰουδαίων, ἐν οἷς συνηχμαλώτιστο καὶ Δανιὴλ ὁ θεῖος, τοῦτον ἐξεῖπε τὸν ψαλμὸν προσώπῳ τῶν δικαίων ἐκδυσωπούντων τὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θεὸν τυχεῖν ἐλευθερίας. «ὃν τρόπον» γὰρ «ἡ ἔλαφος πηγὰς τὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ» φησὶν «πρὸς σὲ δραμεῖν ψυχή μου. ἰδεῖν σε γὰρ ἐδίψησα, τὸν ἰσχυρόν, Χριστέ μου· πότε λοιπὸν ὀφθήσομαι, σωτήρ μου, σοὶ τῷ ζῶντι;» Εἰς τὸν μβ΄ ψαλμόν, «κρῖνόν μοι, ὁ θεός, καὶ δίκασον» Τῶν προφητῶν ἱκετεία ἐπ' ἐκβολῇ τῶν Ἑβραίων. Τὴν ἴσην ἔχει δύναμιν οὗτος τῷ προρρηθέντι, ἀντιβολεῖ δὲ πρὸς θεόν, «δίκασον τούτων μέσον». πολλὴν γὰρ ἐπεδείκνυντο πρὸς τούτους τὴν κακίαν, ἤγουν οἱ Βαβυλώνιοι ὡς πρὸς τοὺς αἰχμαλώτους· ὅθεν αὐτοὺς «ἀνόσιον ἔθνος» ἐπονομάζει καὶ πάλιν «ἄνδρα δόλιον» τὸν τούτων βασιλέα, «κρῖνόν μοι» λέγων, «ὁ θεός, μετὰ τῶν παρανόμων καὶ δίκασον τὴν δίκην μου ἐξ ἔθνους οὐχ ὁσίου, ἀπὸ ἀνθρώπου πονηροῦ ῥῦσαί με καὶ δολίου». Εἰς τὸν μγ΄ ψαλμόν, «ὁ θεός, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν» Τῶν προφητῶν ἱκετεία ἐπ' ἐκβολῇ τῶν Ἑβραίων. Τὴν πίστιν, τὴν εὐσέβειαν καὶ τὴν πολλὴν ἀνδρείαν συνεὶς μακρόθεν ὁ Δαυὶδ τῶν θείων Μακκαβαίων καὶ τὴν πρὸς τὴν ἀντίστασιν μανίαν Ἀντιόχου, τοῦτον ἐψαλμογράφησε προσώπῳ τούτων λέγων· «οὐ γὰρ ἐπελαθόμεθα σοῦ, δέσποτα τῶν ὅλων, καὶ οὐ διεπετάσαμεν γλυπτοῖς ἡμῶν τὰς χεῖρας.» Εἰς τὸν μδ΄ ψαλμόν, «ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν» Ἐπιφανέντα προβλέπει λόγον θεοῦ σαρκοφόρον. Προβλέπων τὴν ἀλλοίωσιν τῆς ὅλης οἰκουμένης, ἥνπερ υἱὸς ἀγαπητὸς πατρὸς τοῦ προανάρχου καλλίστως μετηλλοίωσεν εἰς γῆν ἐπιδημήσας, καὶ τοῦτον ἐξηρεύξατο μετὰ φωνῆς εὐήχου. πλὴν οὐμενοῦν λαλῶ, φησίν, ἀπ' ἐμαυτοῦ σοι ταῦτα, τὸ πνεῦμα δὲ τὸ ἅγιον λαλεῖ καὶ προφητεύει· «ἡ γλῶσσά μου» καὶ γάρ φησι «κάλαμος γραμματέως.» Εἰς τὸν με΄ ψαλμόν, «ὁ θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις» Δικαίου εὐχαριστία ἐχθρῶν αὐτοῦ λυτρωθέντος. Προφητικοῖς ἐν ὄμμασι προβλέπων ὁ προφήτης τὸ κήρυγμα τὸ πάνσεπτον τὸ τοῦ εὐαγγελίου, ὅπερ εἰς πᾶσαν ἔδραμεν ὡς ὕδωρ οἰκουμένην, τοῦτον ἐξεῖπε τὸν ψαλμόν, καὶ δῆλον ἀπὸ τούτου· «τὰ» γὰρ «ὁρμήματα» φησὶ τὰ τοῦ εὐαγγελίου, «τὴν τοῦ θεοῦ εὐφραίνουσι πόλιν, τὴν ἐκκλησίαν.» καὶ γὰρ τὸ εὐαγγέλιον ὁ ποταμὸς τυγχάνει. Εἰς τὸν μϛ΄ ψαλμόν, «πάντα τὰ ἔθνη, κροτήσατε χεῖρας» Ἔθνη καλεῖται πρὸς πίστιν ἀπ' ἄκρου γῆς μέχρις ἄκρου. Ἐνθάδε προτεθέσπικεν ἐθνῶν τὴν σωτηρίαν καὶ τὴν ἀνάληψιν Χριστοῦ τὴν σεβασμιωτάτην. φησὶ γάρ, «ἐν ἀλαλαγμῷ καὶ σάλπιγγος ἐν ἤχῳ ἀνέβη πρὸς τοὺς οὐρανοὺς ὁ σαρκωθεὶς δεσπότης». καὶ πάλιν, «ἐβασίλευσε θεὸς ἐπὶ τὰ ἔθνη». Εἰς τὸν μζ΄ ψαλμόν, «μέγας κύριος καὶ αἰνετὸς σφόδρα» Χριστὸς ὑμνεῖται τῷ πλήθει, τῶν διωγμῶν πεπαυμένων. Τὸ σάββατον ἀνάπαυσιν πνευματικὴν σημαίνει, βαθμὸς γοῦν ἐστιν ἀρετῆς ἡμέρα τοῦ σαββάτου. πρώτη γὰρ ἔστιν ἀρετὴ δευτέρα τε καὶ τρίτη, ἡ πρακτικὴ καὶ φυσικὴ καὶ ἡ τῆς θεωρίας. ἡ φυσικὴ γοῦν ἀρετὴ δευτέρα τοῦ σαββάτου, καθ' ἣν τοὺς λόγους ἔγνωκεν ἅπαντας τῶν μελλόντων ὁ καὶ προφήτης ἐν ταὐτῷ καὶ βασιλεὺς ἐκεῖνος. προγνοὺς γὰρ τὴν κατάστασιν τῆς θείας ἐκκλησίας καὶ σὺν αὐτῇ τὸ κήρυγμα τῶν θείων ἀποστόλων καὶ τοῦτον ᾖσε τὸν ψαλμόν· φησὶ γὰρ οὗτος τάδε· «ἐν πόλει τοῦ θεοῦ ἡμῶν», δῆθεν τῇ ἐκκλησίᾳ, «ὁ τῶν ἁπάντων κύριος θεός τε καὶ δεσπότης ὄρη Σιὼν ἐπήξατο», πάντως τοὺς ἀποστόλους, «ἀποτειχίζειν τὰ πλευρὰ τὰ τοῦ βορρᾶ μακρόθεν.» Εἰς τὸν μη΄ ψαλμόν, «ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη» Διδασκαλία, ὁποία κόσμον θεοῦ κρίσις μένει. Ἐν τούτῳ προδεδήλωκε τὴν κρίσιν τοῖς ἀνθρώποις. «ἀκούσατε» καὶ γάρ φησι «ταῦτα, πάντα τὰ ἔθνη καὶ γηγενεῖς ἁπαξαπλῶς καὶ παῖδες τῶν ἀνθρώπων» (τοὺς δ' ἀγραμμάτους γηγενεῖς ἐκάλεσεν ὁ λόγος, ἀνθρώπων δ' εἴρηκεν υἱοὺς τοὺς κεκτημένους λόγον), «ὡς ἐν ἡμέρᾳ πονηρᾷ», τοῦτ' ἔστιν ἐν τῇ κρίσει, «ἄνθρωπος οὐ λυτρώσεται τῆς δίκης τὸν πλησίον, οὐδ' ἀδελφὸς γὰρ δύναται τὸν ἀδελφὸν λυτρῶσαι.» Εἰς τὸν μθ΄ ψαλμόν, «θεὸς θεῶν κύριος ἐλάλησε καὶ ἐκάλεσε τὴν γῆν» Θυσίας νόμου ἐκβάλλει τὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῆς καινῆς ἀντεισάγων. Ἀνατροπὴν τῶν θυσιῶν τοῦ νόμου καταγγέλλων εἰσαγωγήν τε τῆς καινῆς καὶ νέας διαθήκης, καὶ τοῦτον εἶπε τὸν ψαλμὸν ὁ κάλλιστος προφήτης. φησὶ γάρ, «εἶπεν ὁ θεὸς πρὸς τοὺς Ἰσραηλίτας, οὐ δέξομαι τοῦ οἴκου σου μόσχους οὐδὲ χιμάρους· ἐμὰ γάρ ἐστι ξύμπαντα τὰ τοῦ ἀγροῦ θηρία. θυσίαν θῦσον τῷ θεῷ αἰνέσεως τελείας εὐχάς τε πρὸς τὸν ὕψιστον πέμψον ἀντὶ θυσίας.» Εἰς τὸν ν´ ψαλμόν, «ἐλέησόν με, ὁ θεός, κατὰ τὸ μέγα σου» Διδασκαλία, κυρίῳ πῶς δεῖ ἐξομολογεῖσθαι. Ὁ δὲ πεντηκοστὸς ψαλμὸς δῆλος ἐξ ἱστορίας. βραχὺ γὰρ ῥαθυμήσαντος τοῦ θαυμαστοῦ προφήτου καὶ φθείραντος Βηρσαβεέ, γυναῖκα τοῦ Οὐρίου, καὶ τὸν Οὐρίαν κτείναντος καὶ μόνῃ τῇ κελεύσει, εἰσῆλθε Νάθαν πρὸς αὐτὸν ἐλέγχων ὡς προφήτης. κἀκεῖνος εἰς ἀνάμνησιν ἐλθὼν τῆς ἁμαρτίας ἔγραψε τοῦτον τὸν ψαλμὸν ἐν ἐξομολογήσει πρὸς τὸν δεσπότην τοῦ παντὸς λέγων «ἐλέησόν με κατὰ τὸ μέγα ἔλεος τῆς σῆς φιλανθρωπίας». οἶκτον δὲ μέγαν ἐκζητεῖ μεγάλως ἁμαρτήσας· τῷ φόνῳ γὰρ ἐκέρασεν ἐκεῖνος τὴν μοιχείαν, ὅθεν ἀνόμημα καλεῖ ταύτην τὴν ἁμαρτίαν. ὡς «ἐπὶ πλεῖον πλῦνόν με» φησὶ «τῆς ἁμαρτίας, ὅτι τὴν ἀνομίαν μου, σῶτερ, ἐγὼ γινώσκω» δυσέκπλυτον ὑπάρχουσαν καὶ πλήρη δυσωδίας, «ὅπως ἐν κρίσει, δέσποτα, νικήσῃς κατὰ κράτος». ἂν γὰρ εἰς κρίσιν μετ' ἐμοῦ θέλων εἰσέλθῃς, λόγε, ἐγὼ μὲν ἡττηθήσομαι κατακριθεὶς μεγάλως ὡς ἁμαρτήσας μέγιστα, σὺ δὲ νικήσεις, σῶτερ, ὡς φιλανθρωπευσάμενος ἐμοὶ τῷ κατακρίτῳ. «μὴ ἀπορρίψῃς με» φησὶν «ἀπὸ τοῦ σοῦ προσώπου μηδ' ἀντανέλῃς ἀπ' ἐμοῦ τὸ πνεῦμά σου τὸ θεῖον», τῆς προφητείας τῆς σεπτῆς τὴν χάριν δηλονότι, «ὅπως διδάξω ξύμπαντας ἀνόμους τὰς ὁδούς σου», ἤγουν ἀρχέτυπος φανῶ στήλη τῆς μετανοίας τοῖς ἐπιστρέφειν θέλουσιν ἐκ παρανόμου βίου. ἀλλ' αὖθις αἰνιττόμενος τὴν νέαν διαθήκην καὶ προδηλῶν ἀνατροπὴν τῶν θυσιῶν τοῦ νόμου, «ὁλοκαυτώματα» φησὶν «οὐκ εὐδοκήσεις, λόγε· θυσία γάρ σοι τῷ θεῷ πνεῦμα συντετριμμένον». Εἰς τὸν να´ ψαλμόν, «τί ἐγκαυχᾷ ἐν κακίᾳ, ὁ δυνατός;» Πονηρῶν τρόπον ἐλέγχει καὶ {τὴν} τελευτὴν τούτων λέγει. Ἐπιτηρήσας τὸν Δαυὶδ Δωὴκ ὁ Ἰδουμαῖος φεύγοντα πάλαι ἀκρατῶς καὶ πρὸς τὸν Ἀβιμέλεχ ἐλθόντα καὶ κρυπτόμενον ψυχαγωγίας χάριν, ἀνήγγειλε τὸ γεγονὸς πρὸς τὸν Σαοὺλ αὐτίκα· εὐθὺς δὲ πέμψας ὁ Σαοὺλ ξιφήρεις στρατιώτας τῶν ἱερέων ἔφθειρε τὴν πόλιν παρανόμως. μεμαθηκὼς γοῦν ὁ Δαυὶδ ταύτην τὴν ἀνομίαν τοῦτον ἐξεῖπε τὸν ψαλμὸν κατὰ Δωὴκ ἀξίως. «τί» γάρ φησιν, «ὁ δυνατός, καυχᾷ τῇ σῇ κακίᾳ;» καὶ καθεξῆς τὰ ῥήματα τὰ τοῦ ψαλμοῦ προλέγει. τοῦτον δὲ λέγει δυνατὸν ὡς τῷ Σαοὺλ οἰκεῖον. Εἰς τὸν νβ´ ψαλμόν, «εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ» Ἐμφάνεια τοῦ σωτῆρος, ἀπαλλαγὴ δ' ἀθεΐας. Πρὸς Ἐζεκίαν τὸν ψαλμὸν καὶ τοῦτον ἀναφέρει ὡς παρ' ἐκείνου μέλλοντα δῆθεν ἐκφωνηθῆναι ὑπὲρ ἁπάσης δηλαδὴ χορείας τῶν Ἑβραίων, εἶτα δηλοῖ καὶ τὴν σφαγὴν τῶν Ἀσσυρίων, λέγων «ἐκεῖ γὰρ ἐφοβήθησαν, οὗπερ οὐκ ἦν τις φόβος». Εἰς τὸν νγ´ ψαλμόν, «ὁ θεός, ἐν τῷ ὀνόματί σου σῶσόν με» Προσεύχεται ὁ ἀγῶνα κατὰ θεὸν διανύων. Ὁ δὲ πεντηκοστότριτος ἱστορεῖ τι συντόμως· φυγόντα γάρ ποτε Δαυὶδ εἰς πόλιν τῶν Ζιφαίων καὶ παρ' αὐτοῖς κρυπτόμενον ὡς φαινομένοις φίλοις, τοῦτον οἱ πονηρότατοι τῷ Σαοὺλ προδιδοῦσι. καὶ πάντως ἂν ἐθήρασεν ἐκεῖνος τὸν προφήτην, εἰ μή τις ἄνωθεν ῥοπὴ κατὰ Σαοὺλ πεμφθεῖσα ἐχθροὺς ἐξήγειρεν αὐτῷ βαρβάρους ἀλλοφύλους, πρὸς οὓς παραταξάμενος ὡς ἐπιτιθεμένους τὸν πόλεμον ἠρνήσατο τὸν κατὰ τοῦ προφήτου, ὅθεν φησὶ πρὸς τὸν θεὸν ὁ θαυμαστὸς προφήτης· «τοὺς φαινομένους ἔξωθεν φίλους καὶ ψευδομένους ἐξολοθρεύσειας, Χριστέ, τῇ σῇ νῦν ἀληθείᾳ.» Εἰς τὸν νδ´ ψαλμόν, «ἐνώτισαι, ὁ θεός, τὴν προσευχήν μου» Τὰ τολμηθέντα διδάσκει τοῖς παρανόμοις Ἑβραίοις. Καὶ τοῦτον διωκόμενος παρὰ Σαοὺλ ἐξεῖπε· φυγὼν γὰρ οὗτος καὶ δραμὼν εἰς πόλιν ἀλλοφύλων αὖθις ἐκεῖθεν ἔφυγε πρὸς τὰς ἐρήμους



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μόνος μὴ φέρων βλέπειν τῶν ἐχθρῶν τὴν δεισιδαιμονίαν. ὅθεν φησίν, «ἐμάκρυνα, δέσποτα, φυγαδεύων, ηὐλίσθην ἐν ἐρήμῳ δὲ» φυγὼν τοὺς ἀλλοφύλους, ἔχει δ' ἐμφάσεις καί τινας Χριστοῦ τῆς προδοσίας. Εἰς τὸν νε΄ ψαλμόν, «ἐλέησόν με, ὁ θεός, ὅτι κατεπάτησέ με» Τελείου εὐχαριστία ἐχθρῶν αὐτοῦ λυτρωθέντος. Τοῦτον ἐθρηνογράφησεν ὁ θαυμαστὸς προφήτης ὁπόταν ἔφυγεν εἰς Γέθ, τὴν πόλιν ἀλλοφύλων, καὶ τοῦτον ἐπαγίδευσαν κατακεκρατηκότες. «ἐλέησόν με» γάρ φησιν, «ὁ θεός, φιλανθρώπως, ὅτι με κατεπάτησεν ἄνθρωπος ἐν τῷ βίῳ», τοῦτ' ἔστιν, ἅπας ἄνθρωπος ἐξεπολέμησάν με καὶ νίκην εὗρον κατ' ἐμοῦ, κατετροπώσαντό με, εἶτά φησιν ἀπολυθείς, εὐχαριστῶν ἐκεῖθεν· «σὺ τὴν ψυχήν μου τὸ λοιπὸν ἐρρύσω τοῦ θανάτου, τοὺς ὀφθαλμούς μου πάλιν δέ, σωτήρ, ἀπὸ δακρύων.» καὶ γὰρ σχηματισάμενος νοσεῖν ἐπιληψίαν ἐκεῖθεν ἠλευθέρωτο τῆς χώρας τῶν βαρβάρων. Εἰς τὸν νϛ΄ ψαλμόν, «ἐλέησόν με, ὁ θεός, ἐλέησόν με, ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου» Εὐχαριστεῖ καὶ προλέγει τὴν τῶν ἐθνῶν σωτηρίαν. Φεύγων τὸν κάκιστον Σαοὺλ ὁ κάλλιστος προφήτης ὑπό τι σπήλαιον βαθὺ κρύπτεται λανθανόντως, μέσας δὲ νύκτας ἐξελθὼν αὖθις ἐκ τοῦ σπηλαίου εὗρεν ὑπνοῦντα τὸν στρατὸν τὸν τοῦ Σαοὺλ ἐκεῖσε. εἶτα σκοπήσας ἀκριβῶς καὶ κατιχνηλατήσας εἰς τὸν κοιτῶνα τοῦ Σαοὺλ ἀγνώστως ἐπεισῆλθεν· ἔνθα δυνάμενος αὐτὸν φονεῦσαι καθυπνοῦντα τοῦτο μὲν οὐκ ἐτέλεσεν ὁ θαυμαστὸς προφήτης, μονονουχὶ πρὸς ἑαυτὸν λέγων «μὴ διαφθείρῃς τὴν ἀρετὴν τὴν θαυμαστήν, τὴν ἀμνησικακίαν», ἀλλὰ πρὸς πίστιν ἐντελῆ τῆς ἀμνησικακίας τὸ κράσπεδον ἐξέκοψεν ἐκείνου τῶν δεμνίων καὶ πάλιν λάθρᾳ πέφευγεν ἐκεῖθεν ὁ προφήτης. Εἰς τὸν νζ΄ ψαλμόν, «εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε;» Διδασκαλία τοῖς πᾶσι θεοῦ δικαιοκρισίας. Δὶς τὸν Σαοὺλ αἰχμάλωτον κρατήσας ὁ προφήτης πάλιν ἀπέλυσεν αὐτὸν μεγάλως νουθετήσας καὶ δείξας καὶ τὸ κράσπεδον ἐκείνου τῶν δεμνίων καὶ πείσας ὅτι δυνατὸς ἦν τοῦτον ἀποκτεῖναι· κἀκεῖνος ὑποσχόμενος ὅρκοις φρικωδεστάτοις εἰρήνην ἔχειν μετ' αὐτοῦ, τοῦτ' ἔστι τοῦ προφήτου, τοὺς ὅρκους, φεῦ, παρέβαινε καὶ τοῦτον ἐπολέμει, ὡς γοῦν ἐκράτησεν αὐτὸν αἰχμάλωτον καὶ πάλιν, φησὶ πρὸς τοῦτον ὁ Δαυίδ, μὴ θέλων τοῦτον κτεῖναι· «εἰ ἀληθῶς λελάληκας ποτὲ δικαιοσύνην», τοῦτ' ἔστιν, ἂν οὐδέποτε παρέβης σου τοὺς ὅρκους, «αὐτός, Σαούλ, ἀπάγγειλον καὶ δίκασον καὶ κρῖνον.» Εἰς τὸν νη΄ ψαλμόν, «ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ θεός» Κλῆσιν ἐθνῶν, Ἰουδαίων ἀποβολὴν προφητεύει. Φθόνῳ τυρεύων ὁ Σαοὺλ τὸν φόνον τοῦ προφήτου, ἐπείπερ τοῦτον σύνδειπνον εἶχεν αὐτὸς πολλάκις, καὶ τότε μᾶλλον κατ' ἀρχὰς τῆς τούτων συγγενείας (ἡ γὰρ θυγάτηρ τοῦ Σαούλ, Μελχὸλ ἡ καλουμένη, σύνευνος ἦν τοῦ θαυμαστοῦ Δαυὶδ τοῦ ψαλμογράφου), ἔν τινι δείπνῳ κατ' αὐτοῦ τὸ ξίφος εὐτρεπίσας ἔσπευδε τοῦτον ἀνελεῖν, ὢ τόλμης ἀπανθρώπου. ὁ γοῦν Δαυὶδ ὡς ᾔσθετο τῶν ἐπιβουλευμάτων, εὐθὺς ἐξέφυγε δραμὼν πρὸς τὸν οἰκεῖον οἶκον, ἀλλ' ὁ Σαοὺλ ἐξέπεμψεν ἐκεῖσε στρατιώτας πέριξ τὸν οἶκον καθορᾶν, μή πως ἐκεῖθεν φύγῃ· ὅμως δ' ἀπεδραπέτευσεν ἐκεῖθεν ὁ προφήτης, τοῦτον οὖν τότε γέγραφεν εὐχαριστῶν καὶ λέγων «ἐκ τῶν ἐχθρῶν μου, ὁ θεός, καὶ πάλιν ἐξελοῦ με». Εἰς τὸν νθ΄ ψαλμόν, «ὁ θεός, ἀπώσω ἡμᾶς καὶ καθεῖλες ἡμᾶς» Ὕμνος ἱκέσιος ἅμα εὐχαριστίᾳ κυρίῳ. Τοῦτον δὲ γέγραφε, φησίν, ὁ μέγιστος προφήτης, ὁπόταν ἐνεπύρισε τὴν Μεσοποταμίαν καὶ τὴν Συρίαν τοῦ Σωβάλ, καὶ τὸν Ἐδὼμ ἀνεῖλε διὰ χειρὸς τοῦ Ἰωβάβ, δώδεκα χιλιάδας. οὐδὲν δὲ τούτων γέγραπται τοῖς Τετραβασιλείοις, ἀλλ' οὐδὲ πάλιν ὁ ψαλμὸς ἔμφασιν ἔχει τούτων, μόνης δὲ μέμνηται ἀεὶ τῆς πρὶν αἰχμαλωσίας, ἥνπερ ᾐχμαλωτίσθησαν οἱ παῖδες τῶν Ἑβραίων. ἄκουσον καὶ γὰρ τί φησιν, ὡς ἐκ τῶν αἰχμαλώτων ἐπιθυμούντων κατιδεῖν τὴν πόλιν τὴν ἁγίαν· «καὶ τίς ἀπάξει με» φησὶ «περιοχῆς εἰς πόλιν; ἢ τίς καθοδηγήσει με μέχρι τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἰδουμαίας; οὐ πάντως σύ, Χριστέ, θεός, ὁ ἀπωσάμενός με;» Εἰς τὸν ξ΄ ψαλμόν, «εἰσάκουσον, ὁ θεός, τῆς δεήσεώς μου» Κλῆσιν ἐθνῶν, Ἰουδαίων ἀποβολὴν προφητεύει. Ἐνθάδε προδεδήλωκε καὶ τὴν αἰχμαλωσίαν καὶ τὴν δοθεῖσαν πρὸς αὐτοὺς αὖθις ἐλευθερίαν παρὰ τοῦ βασιλεύσαντος τῷ τότε Ζοροβάβελ. αὐτὸς γὰρ ἐπεστράτευσε κατὰ Βαβυλωνίων κἀκεῖθεν ἐλυτρώσατο τοὺς αἰχμαλωτισθέντας. «ἡμέραν ἐφ' ἡμέραν» γάρ φησι «τοῦ βασιλέως τὰ ἔτη μέχρι γενεᾶς καὶ γενεᾶς αὐξήσεις»· εὐχὴ δὲ τοῦτο πέφυκε τῶν ἐλευθερωθέντων. Εἰς τὸν ξα΄ ψαλμόν, «οὐχὶ τῷ θεῷ ὑποταγήσεται ἡ ψυχή μου;» Διδασκαλία, ᾗ πᾶς τις λύπας ψυχῆς θεραπεύει. Τῆς ἀρετῆς μιμνήσκεται τῶν θείων Μακκαβαίων καὶ τῆς πρὸς τὸν Ἀντίοχον ἐνστάσεως ἐκείνων. ἀναγκαζόμενοι καὶ γὰρ εἰδώλοις προσκυνῆσαι, ταῦτα, φησί, πρὸς ἑαυτοὺς ἠρέμα προσελάλουν· «οὐχ ἡ ψυχή μου τῷ θεῷ ὑποταγῆναι μέλλει; καὶ γὰρ αὐτὸς καθέστηκε θεός μου καὶ σωτήρ μου.» Εἰς τὸν ξβ΄, «ὁ θεός, ὁ θεός μου, πρὸς σὲ ὀρθρίζω» Ὕμνον εὐχάριστον ᾄδει ὁ ζῶν ἐν νόμῳ κυρίου. Φυγὼν καὶ πάλιν ὁ Δαυὶδ Σαοὺλ τὸν τολμητίαν εἰς τὰς ἐρήμους ἔμαθε τὸν θάνατον ἐκείνου. ἔνθα καὶ τοῦτον τὸν ψαλμὸν εὐχαριστῶν ἐξεῖπε· «τὰ χείλη μου» καὶ γάρ φησι «νῦν ἐπαινέσουσί σε, ἐμοῦ γὰρ ἀντελάβετο, σῶτερ, ἡ δεξιά σου· αὐτοὶ δ' ἐζήτησαν λαβεῖν εἰς μάτην τὴν ψυχήν μου, ἀλλ' εἰσελεύσονται πρὸς γῆς τὰ κατωτέρω μέρη.» Εἰς τὸν ξγ΄ ψαλμόν, «εἰσάκουσον, ὁ θεός, φωνῆς μου» Διδάσκει πῶς δεῖ βιώσκειν τὸν ἀθλητὴν· {τῆς} εὐσεβείας. Τὸν τοῦ Σαοὺλ μεμαθηκὼς θάνατον ὁ προφήτης καὶ μνημονεύσας τῶν πολλῶν ἐπιβουλῶν ἐκείνου, ἐπεύχεται μηδέποτε περιπεσεῖν ὁμοίῳ. φησὶ γὰρ οὕτω πρὸς θεὸν ἐξ ὅλης τῆς καρδίας· «ἐκ συστροφῆς με σκέπασον τῶν πονηρευομένων, οἵτινες ἐξηκόνησαν τὰς γλώσσας ὡς ῥομαίαν, τόξον αὐτῶν ἐνέτειναν πρᾶγμα πικρόν, τὸ ψεῦδος, κατατοξεῦσαι θέλοντες ἄμωμον ἀποκρύφως.» Εἰς τὸν ξδ΄ ψαλμόν, «σοὶ πρέπει ὕμνος, ὁ θεός, ἐν Σιών» Ἔθνη καλεῖ πρὸς τὴν πίστιν {ὁ} προφήτης βλέπων τὸ μέλλον. Τοῦτον προσώπῳ γέγραφε τῶν αἰχμαλωτισθέντων, ποθούντων θύειν τῷ θεῷ, μὴ δυναμένων δ' ὅμως· ἐν Παλαιστίνῃ γὰρ ἐξῆν ἐκείνοις τότε θύειν. ὅθεν φασὶ πρὸς τὸν θεὸν ἐκ τῆς αἰχμαλωσίας· «σοὶ πρέπει ὕμνος, ὁ θεός, ἐν τῇ Σιὼν ὡς ἔθος, εὐχὴ δ' ἐν Ἱερουσαλὴμ ἀποδοθήσεταί σοι.» Εἰς τὸν ξε΄ ψαλμόν, «ἀλαλάξατε τῷ κυρίῳ πᾶσα ἡ γῆ» Κλῆσις ἐθνῶν πρὸς τὴν πίστιν, προμαρτυρία κηρύκων. Ἐνταῦθα τὴν ἀνάστασιν προλέγει τοῦ σωτῆρος (φησὶ γάρ, «ἀλαλάξατε, γῆ πᾶσα, τῷ κυρίῳ»), μέμνηται δὲ μετὰ μικρὸν καὶ τῆς ἐλευθερίας, τῶν Ἰουδαίων λέγω δή, τῆς ἀπὸ Βαβυλῶνος. ἐνταῦθα γὰρ ὡς ἀληθῶς ἐκείνους σχηματίζει θαρρούντως ὑποστρέφοντας ἐκ τῆς αἰχμαλωσίας καὶ τῷ δεσπότῃ τοῦ παντὸς ὑπερευχαριστοῦντας ὅτι λελύτρωκεν αὐτοὺς ἐξ εἰδωλολατρίας. «εἰσήγαγες» καὶ γάρ φησιν «ἡμᾶς εἰς τὴν παγίδα καὶ θλίψεις ἔθου συνεχεῖς ἡμῶν ἐπὶ τὸν νῶτον· διὰ πυρὸς καὶ ὕδατος διήλθομεν ἀθλοῦντες, σὺ δ' ἀλλ' ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχὴν πᾶσαν.» ταῦτα δὲ πάντως εἴρηκε προσώπῳ τῶν ἁγίων τῶν τοῖς Ἑβραίοις τοῖς λοιποῖς συναιχμαλωτισθέντων. Εἰς τὸν ξϛ΄ ψαλμόν, «ὁ θεὸς οἰκτειρήσαι ἡμᾶς» Κλῆσις ἐθνῶν κήρυγμά τε κηρύκων σῷζον ἐκ πάντων. Τὴν τοῦ δεσπότου σάρκωσιν ἐνθάδε προσημαίνει τὴν κλῆσίν τε τὴν τῶν ἐθνῶν ἡμῶν τῶν ἀπωσμένων. «ὁ» γὰρ «θεὸς» φησὶν «ἡμᾶς εἰς τέλος οἰκτειρήσαις καὶ ἐφ' ἡμᾶς τὸ πρόσωπον ἐνθέως ἐπιφάναις, ὡς ἐν τῇ γῇ γνωσθῆναί σου τὴν τρίβον τοῖς ἀνθρώποις καὶ πᾶσιν ἔθνεσι τὸ σὸν σωτήριον δοθῆναι.» Εἰς τὸν ξζ΄ ψαλμόν, «ἀναστήτω ὁ θεός, καὶ διασκορπισθήτωσαν» Ἐνανθρωπῆσαι σωτῆρα καὶ ἔθνη σῶσαι προλέγει. Τὴν ἴσην ἔχει δύναμιν οὗτος τῷ προρρηθέντι, προλέγει γὰρ τὴν σάρκωσιν τοῦ λόγου καὶ δεσπότου. τὸ δ' «ἀναστήτω ὁ θεὸς» συμμαρτυρεῖ τῷ λόγῳ. Εἰς τὸν ξη΄ ψαλμόν, «σῶσόν με, ὁ θεός» Πάθη Χριστοῦ, θεοκτόνων ἀποβολὴ Ἰουδαίων. Ἐνθάδε πάθη τὰ σεπτὰ προλέγει τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σωτῆρος καὶ τῶν Ἑβραίων ἔκπτωσιν τῶν καταρατοτάτων. «εἰς» γὰρ «τὴν δίψαν μου» φησὶν «ἐπότισάν με ὄξος, εἰς δὲ τὸ βρῶμά μου χολὴν ἀντιδεδώκασί μοι.» Εἰς τὸν ξθ´ ψαλμόν, «ὁ θεός, εἰς τὴν βοήθειάν μου πρόσσχες» Ἱκετηρία δικαίου ἢ καὶ Χριστοῦ τοῦ σωτῆρος. Καὶ τοῦτον ὑπ' Ἀβεσαλὼμ δεδιωγμένος εἶπεν· ὅθεν τῆς ἄνωθεν ῥοπῆς τυχεῖν ἐπικαλεῖται. φησὶ γὰρ «πρόσσχες, ὁ θεός, εἰς τὴν βοήθειάν μου». ἐγράφη δ' «εἰς ἀνάμνησιν τοῦ σῶσόν με, Χριστέ μου», καθ' ὅσον ὧδε μέμνηται πάλιν τῆς ἁμαρτίας· φησὶ γὰρ «ἔγωγε πτωχὸς καὶ πένης εἰμί, λόγε», ἤγουν οὐδ' ὅλως κέκτημαι τῆς ἀρετῆς τὸν πλοῦτον. Εἰς τὸν ο´ ψαλμόν, «ἐπὶ σοί, κύριε, ἤλπισα» Πάθη Χριστοῦ καὶ θανάτου τὴν ἐξανάστασιν λέγει. Ὁ δὲ Ἰωναδὰβ υἱὸς ἐστί τις χοραψάλτης, ὃς δὴ τὸν ἑβδομηκοστὸν ᾖσε ψαλμὸν τῷ λόγῳ, «ὑπὲρ τῶν πρώτως» δέ φησιν «ἐξαιχμαλωτισθέντων». ὁ Ναβουχοδονόσορ γὰρ ὁ τῆς Περσίδος ἄναξ τρισσάκις ᾐχμαλώτευσε τὴν χώραν Ἰουδαίας· ἐνταῦθα γοῦν προϊστορεῖ τὴν ἅλωσιν τὴν πρώτην. Εἰς τὸν οα´, «ὁ θεός, τὸ κρῖμά σου τῷ βασιλεῖ δός» Ὅτι Χριστὸς βασιλεύει καὶ προσκαλεῖται τὰ ἔθνη. Τὸν νῦν παρόντα γέγραφεν ὑπὲρ τοῦ Σολομῶντος, οἶμαι τοῦ καθ' ἡμᾶς, Χριστοῦ τοῦ εἰρηνικωτάτου. εἰρηνικὸς γὰρ λέγεται πᾶς Σολομῶν ἀξίως, καὶ τίς εἰρηνικώτερος τοῦ θεανθρώπου λόγου τοῦ πᾶν ἐκ γῆς ἐξάραντος δάκρυον φιλανθρώπως; φησὶ γάρ, «καταβήσεται ὡς ὑετὸς εἰς πόκον». Εἰς τὸν οβ´ ψαλμόν, «ὡς ἀγαθὸς ὁ θεὸς τῷ Ἰσραήλ» Ἐπ' ἀσεβῶν εὐπραγίᾳ, μακροθυμίᾳ δεσπότου, νοῦς ἀσθενῶν ταῦτα λέγει. Τοὺς προγραφέντας τῶν ψαλμῶν ᾖσε Δαυὶδ ὁ θεῖος ψάλλων οἰκείῳ στόματι τὰ γεγραμμένα μέλη· ὅσους δ' ἐκ τούτων γέγραφε ψαλμοὺς εἰς ὑποθέσεις, τοῖς χοροψάλταις μελῳδεῖν ἐδίδου κατὰ τάξιν. τὸν γοῦν παρόντα δέδωκε ψαλμὸν Ἀσὰφ ἐξᾴδειν, προσώπῳ μέντοι γέγραπται τῶν αἰχμαλωτισθέντων, ἀπολυθέντων τῆς πικρᾶς ὄντως αἰχμαλωσίας καὶ τοὺς ἐκεῖσε λέγοντας συλλογισμοὺς ἐκείνων. «ὡς ἀγαθὸς» γὰρ «ὁ θεὸς τῷ Ἰσραὴλ τυγχάνει» ἐλευθερώσας τῆς πικρᾶς ἡμᾶς αἰχμαλωσίας· «ἐμοῦ γὰρ ἐσαλεύθησαν παρὰ μικρὸν οἱ πόδες», τοῦτ' ἔστιν, ἐκινδύνευον παρὰ μικρὸν ἐκεῖσε ὀλιγωρῆσαι καὶ πεσεῖν ἐλπίδος τοῦ δεσπότου. Εἰς τὸν ογ´ ψαλμόν, «ἵνα τί, ὁ θεός, ἀπώσω εἰς τέλος;» Πολιορκίαν ἐσχάτην τὴν ἐκ Ῥωμαίων προλέγει. Καὶ τοῦτον ᾖσεν ὁ Δαυὶδ Ἀσὰφ χειρὶ προφήτου. ἐν τούτῳ δὲ δεδήλωκεν ὁ θαυμαστὸς προφήτης τὴν τελευταίαν καὶ μακρὰν ὄντως αἰχμαλωσίαν τῆς πονηρᾶς συναγωγῆς τοῦ γένους τῶν Ἑβραίων, ἥνπερ ᾐχμαλωτίσθησαν ὕστερον ὑπὸ Τίτου, τοῦ τῶν Ῥωμαίων ἄνακτος τοῦ στρατηγικωτάτου. αὐτὸς γὰρ ἐπεστράτευσε τότε κατ' Ἰουδαίων καὶ πάσας ἐξεπόρθησε τὰς πόλεις Ἰουδαίας καὶ τὴν μητρόπολιν αὐτῶν ἠφάνισεν εἰς τέλος καὶ πάντας ᾐχμαλώτισε πάμπαν τοὺς Ἰουδαίους ἡμέραν ἄγοντας λαμπρὰν τῆς ἑορτῆς τοῦ πάσχα. «ἵνα τί» γάρ φησιν «ἡμᾶς ἀπώσω μέχρι τέλους;» (οὐκέτι γὰρ ἀνάκλησιν ἐλπίζομεν εὑρέσθαι) «καὶ μνήσθητι συναγωγῆς ἧς ἀπ' ἀρχῆς ἐκτήσω, ἔπαρον δὲ τὰς χεῖράς σου κατὰ τῶν ἐναντίων· ἐνεκαυχήσαντο καὶ γὰρ μέσον τῆς ἑορτῆς σου, καὶ τῆς Σιὼν ἐξέκοψαν τὰς πύλας ἐν ἀξίναις, ταύτην δ' εἰς γῆν κατέρραξαν ἐν τοῖς λαξευτηρίοις.» Εἰς τὸν οδ´ ψαλμόν, «ἐξομολογησόμεθά σοι, ὁ θεός» Θεολογία καὶ μνήμη τοῦ θείου δικαστηρίου. Καὶ τοῦτον ᾖσε τὸν ψαλμὸν Ἀσὰφ χειρὶ προφήτου. πλὴν ἐπειδὴ μιμνήσκεται τοῦ θείου κριτηρίου («ποτήριον» καὶ γάρ φησιν «ἐν τῇ χειρὶ κυρίου»), μονονουχὶ πρὸς τοὺς χρηστοὺς καὶ τοὺς ἀμνησικάκους μὴ διαφθείρειν νουθετεῖ τὴν ἀρετὴν εἰς τέλος, «ὅτι ποτήριόν ἐστιν ἐν τῇ χειρὶ κυρίου», τοῦτ' ἔστι κρίσις ἀκριβὴς πάντων τῶν πεπραγμένων, «οἴνου δ' ἀκράτου πέφυκε πληρέστατον ἐκεῖνο», ἤγουν μεστὸν καθέστηκεν ἐνδίκου τιμωρίας. «ἀλλὰ κἂν ἔκλινε» φησὶν «ἐκ τούτου νῦν εἰς τοῦτο, πλὴν ὁ τρυγίας οὐδαμῶς ἐξεκενώθη τούτου.» ἂν ἐν τῷ κόσμῳ γάρ, φησίν, οὐ πάντοτε κολάζῃ τοὺς ἁμαρτάνοντας βροτοὺς ὁ λόγος καὶ δεσπότης, ἀλλὰ ποτὲ μὲν ἐλεεῖ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διὰ φιλανθρωπίαν, ποτὲ δὲ πάλιν τιμωρεῖ διὰ τὴν ἁμαρτίαν, ἀλλ' ὅμως ὕστερον ἐλθὼν εἰς κρίσιν μετ' ἀγγέλων τοὺς μὴ μετανοήσαντας ποτίσει τὸν τρυγίαν. Εἰς τὸν οε´ ψαλμόν, «γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ θεός» Κρίσις θεοῦ ἀσεβοῦντας τιμωρουμένη ἐνδίκως. Καὶ τοῦτον ᾖσε τὸν ψαλμὸν Ἀσὰφ χειρὶ προφήτου· πλὴν προθεσπίζει τὴν πληγὴν καὶ τὴν σφαγὴν ἐκείνην τὴν ἐνεχθεῖσαν ἐν νυκτὶ πάλαι τοῖς Ἀσουρίοις. «ὁ» γὰρ «θεὸς γνωστός ἐστι» φησὶν «ἐν Ἰουδαίᾳ, ἐκεῖ καὶ γὰρ συνέτριψε τὰ κράτη τὰ τῶν τόξων, ὅπλον καὶ πόλεμον ὁμοῦ καὶ στίλβουσαν ῥομφαίαν· ὕπνωσαν ὕπνον ἑαυτῶν, οὐδὲν δὲ πάντως εὗρον.» ὕπνον δὲ λέγει νουνεχῶς τὸν θάνατον ἐκείνων. Εἰς τὸν ος´, «φωνῇ μου πρὸς κύριον ἐκέκραξα, φωνῇ μου πρὸς τὸν θεόν, καὶ προσέσχε μοι» Θεὸν μακρόθυμον ᾄδει καὶ θαυμαστὰ αὐτοῦ ἔργα. Καὶ τοῦτον ἐμελῴδησεν Ἀσὰφ χειρὶ προφήτου, προσώπῳ μέντοι γέγραπται τῶν αἰχμαλωτισθέντων, ἀπολυθέντων τῆς πικρᾶς αὐτῶν αἰχμαλωσίας καὶ τῶν ἐκεῖ συλλογισμῶν αὐτῶν μιμνησκομένων. «ἀπηνηνάμην» γάρ φησιν «ἐκεῖ παρακληθῆναι· νυκτὸς ἐν τῇ καρδίᾳ μου κείμενος ἠδολέσχουν, μήποτε, λέγων, κύριος ἀπώσεται εἰς τέλος καὶ οὐ προσθήσει ἐφ' ἡμᾶς τοῦ εὐδοκῆσαι ἔτι;» καὶ πῶς τοῦτο γενήσεται παρὰ τοῦ φιλανθρώπου; «ῥῆμα γὰρ συνετέλεσεν ἐκ γενεῶν ἀρχαίων» καὶ τοῖς πατράσιν εἴρηκεν ἡμῶν μὴ χωρισθῆναι· «μὴ ἐπιλήσεται θεὸς τοῦ οἰκτειρῆσαι ἔτι;» Εἰς τὸν οζ´ ψαλμόν, «προσέχετε, λαός μου, τῷ νόμῳ μου» Θεοῦ μεσίτης καὶ βροτῶν χρηματίσας μέσον τε λύσας φραγμὸν ἔχθρας τῆς πάλαι καὶ γηγενῶν γῆς ἐν μέσῳ σωτηρίαν θεουργικοῖς πάθεσιν ἐξειργασμένος, ἤδη μέσον με τῆς βίβλου, θεοῦ λόγε, τῇ σῇ χάριτι προφρόνως ἐφθακότα καταξίωσον καὶ τὸ λοιπὸν εὐτόνως ἐπιέναι μάλιστα τῇ προθυμίᾳ, τῆς σῆς πανάγνου μητρὸς ἱκετηρίαις ἀσωμάτων θείων τε καὶ τῶν ἁγίων. Τοῖς προλαβοῦσι τῶν ψαλμῶν τὰ μέλλοντα δηλώσας ἐν τούτῳ λέγει τῷ ψαλμῷ καὶ τὰ προγεγονότα· τὴν πρὸς Ἑβραίους τοῦ θεοῦ πολλὴν κηδεμονίαν, ὅπως ἐξήγαγεν αὐτοὺς ἐκ γῆς Αἰγύπτου πάλαι καὶ τούτους διεβίβασε τὴν θάλασσαν ἀβρόχως καὶ μάννα δέδωκεν αὐτοῖς φαγεῖν ἐν τῇ ἐρήμῳ· κἀκείνων τὴν ἀχάριστον αὖ στηλιτεύει γνώμην, δι' ἣν αἰώνιον αὐτοῖς ὄνειδος ἐδεδώκει καὶ τούτων πάσας τὰς φυλὰς εἰς τέλος ἀπεστράφη καὶ ἐξελέξατο φυλὴν τὴν τοῦ Ἰούδα μόνην καὶ ἐξελέξατο Δαυὶδ τὸν δοῦλον τὸν οἰκεῖον κἀκ τῶν ποιμνίων ἔλαβε καὶ τῶν προβάτων τοῦτον, ὥστε ποιμαίνειν Ἰακὼβ καὶ Ἰσραὴλ ἀκάκως. Εἰς τὸν οη´ ψαλμόν, «ὁ θεός, ἤλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν» Τὰ Ἰουδαίοις συμβάντα ἐν Ἀντιόχου πολέμῳ. Ὡς ἐκ προσώπου γέγραπται τοῦ δήμου τῶν Ἑβραίων πολεμουμένων μανικῶς τρίτον ὑπ' Ἀντιόχου· «ἔθνη» γὰρ «ἤλθοσαν» φησὶν «εἰς σὴν κληρονομίαν, ἐμίαναν, ὦ δέσποτα, τὸν ἅγιον ναόν σου.» Εἰς τὸν οθ´ ψαλμόν, «ὁ ποιμαίνων τὸν Ἰσραήλ, πρόσσχες» Τὰ Ἀσσυρίων προλέγει Χριστὸν φανῆναί τε δεῖται. Ἐνταῦθα προδεδήλωκεν ἄλλην αἰχμαλωσίαν τῶν Ἰουδαίων, λέγω δὴ παρὰ τῶν Ἀσσυρίων. λέγουσι γὰρ πρὸς τὸν θεὸν δῆθεν οἱ Ἰουδαῖοι· «ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ ἴδε τὸν λαόν σου· κατάρτισαι τὴν ἄμπελον ἥνπερ ἐκ γῆς Αἰγύπτου μετάρας κατεφύτευσας ἐν τῇ Σιών, ὡς οἶδας. ἰδοὺ γὰρ ἐλυμήνατο ταύτην ὗς ἐκ δρυμῶνος καὶ μονιὸς ὡς ἄγριος ὁ Ναβουχοδονόσορ κατενεμήσατο αὐτήν, εἰς τέλος ἀφανίσας.» Εἰς τὸν π´ ψαλμόν, «ἀγαλλιᾶσθε τῷ θεῷ τῷ βοηθῷ ἡμῶν» Τοὺς τῶν ἀρχόντων ἐλέγχους τῶν Ἰουδαίων ἐκφαίνει. Προσώπῳ δ' οὗτος γέγραπται τοῦ Χριστωνύμου δήμου τοῦ λυτρωθέντος τῆς πικρᾶς αἰχμαλωσίας ᾅδου, προτρεπομένων δήπουθεν ἀλλήλους τοῦ δοξάζειν τὸν λυτρωσάμενον αὐτοὺς ἐκ τῆς αἰχμαλωσίας, μᾶλλον δ' ἐξαγοράσαντα τοῦ νόμου τῆς κατάρας. ἔχει δ' ἐμφάσεις καί τινας τῆς θείας ἐκκλησίας· ληνοὶ γὰρ θεοπάτητοι πάντως αἱ ἐκκλησίαι, τὸ γλεῦκος ἀποστάζουσαι τὸ τῶν εὐαγγελίων. Εἰς τὸν πα´ ψαλμόν, «ὁ θεὸς ἔστη ἐν συναγωγῇ θεῶν» Τοὺς τῶν ἀρχόντων ἐλέγχους τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἰουδαίων ἐκφαίνει. Οὗτος δ' ἐλέγχει τοὺς κριτὰς τοὺς παρανομωτάτους, οὓς καὶ θεοὺς ἐκάλεσεν ὁ μέγιστος προφήτης. φησὶ γὰρ οὕτω πρὸς αὐτοὺς προσώπῳ τοῦ δεσπότου· «μέχρι καὶ τίνος θέλετε τὴν ἀδικίαν κρίνειν καὶ πρόσωπα λαμβάνετε βροτῶν ἡμαρτηκότων;» Εἰς τὸν πβ´ ψαλμόν, «ὁ θεός, τίς ὁμοιωθήσεταί σοι;» Ὑπὲρ λαοῦ κακωθέντος εὐχὴ καὶ πρόρρησις ἅμα. Μετὰ τὴν ἀπολύτρωσιν τὴν τῆς αἰχμαλωσίας καὶ τὴν ἐπάνοδον, φημὶ τὴν ἀπὸ Βαβυλῶνος, οἱ ἀστυγείτονες αὐτῶν τῷ φθόνῳ βεβλημένοι, βαρβάρους συναθροίσαντες ποικίλους ἀλλοφύλους εἰς πόλεμον ἐχώρησαν κατὰ τῶν Ἰουδαίων· ἀλλ' ὅμως κατῃσχύνθησαν μεγάλως ἡττηθέντες. τὸν γοῦν ψαλμὸν προγέγραφεν ὁ κάλλιστος προφήτης προσώπῳ τῆς συναγωγῆς ἁπάσης τῶν Ἑβραίων. Εἰς τὸν πγ´ ψαλμόν, «ὡς ἀγαπητὰ τὰ σκηνώματά σου» Τὴν ἐναθρώπησιν λέγει Χριστοῦ καὶ τὰς ἐκκλησίας. Ἐν τούτῳ προτεθέσπικε θεοῦ τὰς ἐκκλησίας· ληνοὶ γὰρ θεοπάτητοι πάντως αἱ ἐκκλησίαι. Εἰς τὸν πδ´ ψαλμόν, «εὐδόκησας, κύριε, τὴν γῆν σου» Εἰς τὸν Χριστὸν ταῦτα τείνει καὶ δι' αὐτοῦ τοὺς σωθέντας. Ἐνθάδε προδεδήλωκεν ὁ μέγιστος προφήτης καὶ διαθήκης παλαιᾶς καὶ νέας τὰς ἐκβάσεις. ἐλευθερίαν λέγει γὰρ τοῦ γένους τῶν Ἑβραίων καὶ σωτηρίαν τῶν ἐθνῶν, ἡμῶν τῶν ἀπωσμένων. Εἰς τὸν πε´ ψαλμόν, «κλῖνον, κύριε, τὸ οὗς σου» Ἔθνη καλεῖται πρὸς πίστιν φιλανθρωπίᾳ σωτῆρος. Μνησθεὶς καὶ πάλιν ὁ Δαυὶδ τῆς πρώτης ἁμαρτίας τόνδε προφέρει τὸν ψαλμὸν εἰς προσευχὴν καὶ λέγει· «κλῖνον τὸ οὖς σου, κύριε, καὶ νῦν ἐπάκουσόν μου· πτωχὸς γὰρ ἔγωγε πολλῷ καὶ πένης εἰμί, λόγε», μηδ' ὅλως ἔχων δήπουθεν τῆς ἀρετῆς τὸν πλοῦτον. Εἰς τὸν πϛ´, «οἱ θεμέλιοι αὐτοῦ» Χριστὸν μορφὴν βροτησίαν φορέσαι λέγει προφήτης. Ἐνθάδε προδεδήλωκεν ἐθνῶν τὴν σωτηρίαν· «μνησθήσομαι» καὶ γάρ φησι «Ῥαὰβ καὶ Βαβυλῶνος». πόρνη δὲ πάντως ἡ Ῥαὰβ ἐστὶν ἡ Χαναναία, ἡ Βαβυλὼν δ' αἰνίττεται τοὺς ἀσεβεῖς ἐκείνους οἵπερ σωθῆναι μέλλουσι Χριστῷ πεπιστευκότες, ὥσπερ Κανδάκης πρότερον ἐκ τῆς Αἰθιοπίας. Εἰς τὸν πζ´ ψαλμόν, «κύριε, ὁ θεὸς τῆς σωτηρίας μου» Χριστοῦ τὸν θάνατον οὗτος τὸν ζωηφόρον προλέγει. Τοῦτον ἐξεῖπεν ὁ Δαυὶδ ἐν λύπαις ὢν ποικίλαις, ἀλλ' ἐμελῴδησαν αὐτὸν οἱ τοῦ Κορὲ πρεπόντως. «ἐπλήσθη» γὰρ «κακῶν» φησιν «ἀρτίως ἡ ψυχή μου καὶ ἡ ζωή μου ξύμπασα προσήγγισεν εἰς ᾅδην.» Εἰς τὸν πη´ ψαλμόν, «τὰ ἐλέη σου, κύριε, εἰς τὸν αἰῶνα ᾄσομαι» Χριστοῦ φησι βασιλείαν τοῦ ἐκ Δαυὶδ πεφυκότος. Αἰνίττεται τὴν σάρκωσιν ἐνθάδε τοῦ σωτῆρος τὴν ἀπὸ σπέρματος Δαυὶδ καὶ τῆς φυλῆς Ἰούδα. «ὤμοσα» γάρ φησι «Δαυὶδ τῷ δούλῳ μου λαλήσας εἰς γενεὰν καὶ γενεὰν τὸν τούτου μένειν θρόνον.» ὢ Ἰουδαίων ἄνοια καὶ σιδηρᾶ καρδία· οὐ ταῦτα τὰ γνωρίσματα μόνου Χριστοῦ τυγχάνει; Εἰς τὸν πθ´ ψαλμόν, «κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ» Ἐκβέβληνται Ἰουδαῖοι, ὡς ὁ ψαλμὸς προφητεύει. Καὶ τοῦτον γέγραφε Δαυὶδ προσώπῳ Μωυσέως, δηλῶν ἐν τούτῳ τὴν φθορὰν τοῦ τῶν ἀνθρώπων βίου· «τὰ ἔτη» γάρ φησιν «ἡμῶν ὥσπερ ἱστὸς ἀράχνης.» Εἰς τὸν ϟ´ ψαλμόν, «ὁ κατοικῶν ἐν βοηθείᾳ» Νίκη Χριστοῦ κατ' αὐτόν τε παντὸς τοῦ τελειωμένου. Μέλλων διδάσκειν ὁ Δαυὶδ τὴν πρὸς θεὸν ἐλπίδα, ὁποδαπή τις πέφυκεν, οὖσα πανσθενεστάτη, τοῦτον ἐξεῖπε τὸν ψαλμόν, ἅπαντας διεγείρων πάσας ἐλπίδας εἰς θεὸν ἀνατιθέναι μόνον. «τὸν ὕψιστον» καὶ γάρ φησιν «ἔθου καταφυγήν σου, λοιπὸν οὐ προσελεύσεται πρὸς σὲ κακὰ τῷ βίῳ.» Εἰς τὸν ϟα´ ψαλμόν, «ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ κυρίῳ» Ἀνάπαυσιν ψαλμὸς λέγει κατὰ θεὸν τοῖς ἀξίοις. Ἐν τούτῳ προτεθέσπικε τὸν μέλλοντα αἰῶνα. καθάπερ γὰρ τὰ σάββατα τῶν πόνων εἰσὶ παῦλαι, οὕτως αἰὼν ὁ ὄγδοος σαββάτου λόγον ἔχει, ἐν τούτῳ γὰρ παυθήσονται πάντες ἀπὸ τῶν ἔργων. Εἰς τὸν ϟβ´ ψαλμόν, «ὁ κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο» Ἄιδει Χριστοῦ βασιλείαν πρώτης αὐτοῦ παρουσίας. Ἐν τούτῳ προδεδήλωκε τὴν πρώτην παρουσίαν τοῦ παντοκράτορος Χριστοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ θεανθρώπου λόγου· φησὶ γὰρ «ἐβασίλευσεν ὁ κύριος ἁπάντων». Εἰς τὸν ϟγ´ ψαλμόν, «θεὸς ἐκδικήσεων κύριος» Ἐπαναστάσεις προλέγει καὶ ἐκκλησίας διώξεις. Προφητικοῖς ἐν ὄμμασι προβλέπων ὁ προφήτης τοὺς διωγμοὺς τοὺς φθάσαντας κατὰ τῆς ἐκκλησίας καὶ τὴν ἀποκατάστασιν αὖθις καὶ τὴν εἰρήνην, ἣν ὁ δεσπότης τοῦ παντὸς ἐβράβευσεν ἐξ ὕψους, τοῦτον εἰρήκει τὸν ψαλμὸν ὑπὲρ τῆς ἐκκλησίας. «τετράδα» γὰρ ὠνόμασε «σαββάτου» τὴν ἡμέραν τῆς ἀποκαταστάσεως ἅμα καὶ τῆς γαλήνης. Εἰς τὸν ϟδ´, «δεῦτε ἀγαλλιασώμεθα τῷ κυρίῳ» Κλῆσις λαοῦ Ἰουδαίων, ἅμα δ' ἀπόγνωσις τούτου. Μετὰ τὸ πάθος τὸ σεπτὸν ὁ λόγος καὶ δεσπότης τοὺς ἀποστόλους πεπομφὼς εἰς πᾶσαν οἰκουμένην, ὥστε κηρύττειν ἅπασι τῆς πίστεως τὸν λόγον, πρῶτον ἀπέστειλεν αὐτοὺς εἰς Ἰουδαίαν λέγων· «πορεύεσθε, κηρύξατε τὸν ἀληθείας λόγον πρὸς τὰ τοῦ οἴκου Ἰσραὴλ πρόβατα πλανηθέντα.» ὁ γοῦν προφήτης ἐπιγνοὺς ταύτην αὐτῶν τὴν κλῆσιν τοῦτον ἐξεῖπε τὸν ψαλμὸν πρὸς Ἰουδαίους λέγων· «δεῦτε καὶ κλαύσωμεν θερμῶς ἀπέναντι κυρίου καὶ μὴ σκληρύνητε καὶ νῦν καρδίας ὑμετέρας, ὡς ἐν ἐρήμῳ πρότερον τοῦ πειρασμοῦ τῷ χρόνῳ.» Εἰς τὸν ϟε´ ψαλμόν, «ᾄσατε τῷ κυρίῳ ᾆσμα καινόν» Κλῆσιν ἐθνῶν προφητεύει καὶ τὴν Χριστοῦ παρουσίαν. Τὴν νοητὴν δεδήλωκεν αἰχμαλωσίαν ὧδε, ἣν ᾐχμαλώτιστο τὸ πρὶν τὸ τῶν ἀνθρώπων γένος, μάλιστα δὲ τὴν σάρκωσιν τοῦ λόγου καὶ σωτῆρος, δι' ἧς ἀπελυτρώθημεν τῆς νῦν αἰχμαλωσίας. φησὶ γὰρ «ἀναγγείλατε τοῖς ἔθνεσι τὴν δόξαν» τοῦ παντοκράτορος θεοῦ τοῦ λόγου καὶ σωτῆρος. Εἰς τὸν ϟϛ´, «ὁ κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ» Ὕμνος τοῦ κράτους κυρίου ἐν {τῇ} παρουσίᾳ τῇ πρώτῃ. Οὗτος δηλοῖ τὴν τοῦ Χριστοῦ δευτέραν παρουσίαν καὶ τὴν ἐκ γῆς ἀνάστασιν τοῦ γένους τῶν ἀνθρώπων· ἡ γὰρ ἀποκατάστασις τῆς γῆς αὐτὸ σημαίνει. φησὶ γάρ, «προπορεύσεται πῦρ ἐναντίον τούτου καὶ κύκλῳ πάντας τοὺς ἐχθροὺς αὐτοῦ καταφλογίσει»· τὸν ποταμὸν δὲ τοῦ πυρὸς αἰνίττεται τῷ λόγῳ. Εἰς τὸν ϟζ´ ψαλμόν, «ᾄσατε τῷ κυρίῳ ᾆσμα καινόν, ὅτι θαυμαστά» Κλῆσιν ἐθνῶν προφητεύει καὶ τὴν Χριστοῦ παρουσίαν. Ἐν τούτῳ προτεθέσπικε τὰς δύο παρουσίας τοῦ παντοκράτορος Χριστοῦ, τοῦ θεανθρώπου λόγου. «ᾄσατε» γάρ φησι «καινὸν ᾆσμά τι τῷ κυρίῳ», ὅπερ ἐστὶν ἐπάξιον τῆς πρώτης παρουσίας· καὶ πάλιν «ἀλαλάξατε», φησίν, «ἄνθρωπον γένος, καὶ σαλευθήτω θάλασσα καὶ γῆ τῆς οἰκουμένης· ἔρχεται κρῖναι γὰρ αὐτὴν ὁ βασιλεὺς τῆς δόξης.» Εἰς τὸν ϟη´ ψαλμόν, «ὁ κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί» Χριστὸς ὑμνεῖται ἐνταῦθα, ὁ βασιλεὺς τῶν ἁπάντων. Τὴν σταύρωσιν αἰνίττεται τοῦ λόγου καὶ σωτῆρος· «ὑψοῦτε» γάρ φησι, «λαοί, τὸν κύριον τῆς δόξης καὶ προσκυνεῖτε τῷ σεπτῷ ὑποποδίῳ τούτου.» Εἰς τὸν ϟθ´ ψαλμόν, «ἀλαλάξατε τῷ θεῷ, πᾶσα ἡ γῆ» Καλεῖ τὰ ἔθνη προτρέπων θεῷ ἐξομολογεῖσθαι. Πᾶσιν ἀνθρώποις παραινεῖ δοξάζειν τὸν δεσπότην· φησὶ γὰρ «ἀλαλάξατε, γῆ πᾶσα, τῷ κυρίῳ». Εἰς τὸν ρ´ ψαλμόν, «ἔλεον καὶ κρίσιν ᾄσομαί σοι, κύριε» Ὑμνεῖ ὃς ἔργοις ὁσίοις κατὰ θεὸν τελειοῦται. Τοῦτον προσώπῳ γέγραφε τοῦ θείου Ἰωσίου τοῦ πᾶσαν τὴν ἀσέβειαν ἀπορραπισαμένου καὶ τῶν εἰδώλων τοὺς βωμοὺς εἰς γῆν καταβαλόντος καὶ τὰς μεγίστας ἀρετὰς ἐν πόνῳ κτησαμένου. ὑπάρχει δὲ καὶ πρόσφορος ἀνθρώποις ἐναρέτοις· «ἐπορευόμην» γάρ φησι «καρδίας ἀκακίᾳ, σκαμβὴ δ' οὐκ ἐκολλήθη μοι καὶ δύστροπος καρδία.» Εἰς τὸν ρα´ ψαλμόν, «κύριε, ἄκουσον τῆς προσευχῆς μου καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω» Τοὺς ἐξωσμένους θρηνήσας κλῆσιν ἐθνῶν καὶ νῦν λέγει. Προσώπῳ τοῦτον γέγραφε τῶν ᾐχμαλωτισμένων, θρηνολογούντων πρὸς θεὸν ἐν ἀκηδίᾳ τάδε· «εἰσακουσόν μου, κύριε, τῆς προσευχῆς ἀρτίως· ὡς γὰρ καπνὸς ἐξέλιπον ἡμέραι τῆς ζωῆς μου καὶ πάντα συνεφρύγησαν ἐν λύπῃ τὰ ὀστᾶ μου· σὺ δ' ἀναστὰς οἰκτείρησον Σιὼν ὡς ἐλεήμων, ὅτι καιρὸς ἐφέστηκε τοῦ ἐλεῆσαι ταύτην.» Εἰς τὸν ρβ´ ψαλμόν, «εὐλόγει, ἡ ψυχή μου, τὸν κύριον, καὶ πάντα τὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐντός μου» Διδάσκει πῶς δεῖ κυρίῳ εὐχαριστεῖν ὑπὲρ πάντων. Ἐν τούτῳ πάλιν παραινεῖ γεραίρειν τὸν δεσπότην. καὶ γὰρ τὸ «ἀλληλούια» τοῦτο σημαίνειν θέλει· τὸ μὲν γὰρ «ἴα» τὸν θεὸν Ἑβραϊκῶς σημαίνει, τὸ δ' «ἀλληλοὺ» τὴν αἴνεσιν δηλοῖ τὴν τοῦ κυρίου, τοῦτ' ἔστι, δεῖ τὴν αἴνεσιν προσάγειν τῷ κυρίῳ. {ὅπως δὲ δεῖ τὴν αἴνεσιν προσάγειν τῷ κυρίῳ} κἀν τούτῳ νῦν προτρέπεται δοξάζειν τὸν δεσπότην· «τὸν κύριον» καὶ γάρ φησιν «εὐλόγει, ἡ ψυχή μου, καὶ τὰ ἐντός μου ξύμπαντα», φησίν, «ἐπευλογεῖτε», τοῦτ' ἔστιν ἧπαρ καὶ νεφροὶ καὶ πνεύμων καὶ καρδία. χρὴ γὰρ δοξάζειν τὸν θεὸν ἐξ ὅλης τῆς καρδίας. Εἰς τὸν ργ´ ψαλμόν, «εὐλόγει, ἡ ψυχή μου, τὸν κύριον. κύριε ὁ θεός μου» Διδασκαλία, κυρίῳ πῶς δεῖ ἐξομολογεῖσθαι. Οὗτος τὴν ἴσην δύναμιν τῷ προρρηθέντι φέρει· «τὸν κύριον» καὶ γάρ φησιν «εὐλόγει, ἡ ψυχή μου.» Εἰς τὸν ρδ´ ψαλμόν, «ἐξομολογεῖσθε τῷ κυρίῳ καὶ ἐπικαλεῖσθε τῷ ὀνόματι» Ἔθνη διδάσκει τὰ πρώτῳ λαῷ θεοῦ εἰργασμένα. Κἀν τούτῳ μὲν προτρέπεται δοξάζειν τὸν δεσπότην καὶ ἀναγγέλλειν τὰς αὐτοῦ πολλὰς εὐεργεσίας, ἃς εὐηργέτησε τὸ πρὶν τὸ γένος τῶν Ἑβραίων, καὶ πῶς ἐξήγαγεν αὐτοὺς ἐκ γῆς Αἰγύπτου πάλαι, ἀφῆκε δὲ δεκάπληγον κατὰ τῶν Αἰγυπτίων. φησὶ γὰρ «ἐξαπέστειλεν εἰς Αἰγυπτίους σκότος, εἰς αἷμα δὲ μετέστρεψε τοὺς ποταμοὺς ἐκείνων καὶ τοὺς αὐτῶν ἀπέκτεινεν ἰχθύας παραδόξως· καὶ πάλιν ἐξαπέστειλε κατὰ τῶν Αἰγυπτίων βάτραχον καὶ κυνόμυιαν ἀκρίδας τε καὶ σκνῖπας, πῦρ, χάλαζαν καὶ βροῦχόν τε, τῶν πρωτοτόκων φόνον», καὶ τούτους ἠλευθέρωσε δουλείας Αἰγυπτίων. Εἰς τὸν ρε´, «ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι χρηστός» Διδασκαλία καὶ οὗτος πρὸς δυσσεβεῖς Ἰουδαίους. Τοῦτον προσώπῳ γέγραφεν Ἑβραίων σεβασμίων καὶ φοβουμένων τὸν θεόν, καὶ Δανιὴλ προφήτου, κατηγορούντων δήπουθεν πατέρων τῶν ἰδίων ἐνδειξαμένων πρὸς θεὸν πολλὴν ἀχαριστίαν ἐφ' οἷς εὐηργετήθησαν πολλάκις παρ' ἐκείνου. «ἡμάρτομεν» καὶ γάρ φησι «μετὰ καὶ τῶν πατέρων τῶν τὰ θαυμάσια τὰ σὰ μηδ' ὅλως συνιέντων, ὅπως ἐξήγαγες αὐτοὺς δουλείας Αἰγυπτίων, αὐτοὶ δὲ παρεπίκραναν τὴν σὴν φιλανθρωπίαν καὶ μόσχῳ προσεκύνησαν ἐν τῷ Χωρὴβ ἐλθόντες, καὶ πάλιν ἔφαγον νεκρῶν εἰδώλων τὰς θυσίας, καὶ πᾶν δεινὸν πεπράχασιν, ἔθνεσι μεμιγμένοι· ἀλλ' ἔστη μόνος Φινεὲς καὶ ἐξιλάσατό σε.» οὗτος γάρ, οὗτος κατιδὼν Ζαμβρεὶ τὸν Ἰουδαῖον μιγέντα Μωαβίτιδι γυναικὶ παρανόμως. τῷ δόρατι χρησάμενος ἀνεῖλε καὶ τοὺς δύο· «ὅθεν» φησὶ «λελόγισται τούτῳ δικαιοσύνη.» Εἰς τὸν ρϛ´ ψαλμόν, «ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι χρηστός, ὅτι εἰς τὸν αἰῶνα τό» Καλεῖ τὰ ἔθνη καὶ λόγου βροτοῖς ἐπίλαμψιν φαίνει. Τοῖς ἐξ ἐθνῶν προτρέπεται δοξάζειν τὸν δεσπότην. «εἰπάτωσαν» καὶ γάρ φησιν «ὅτι χρηστὸς τυγχάνει ὁ λυτρωσάμενος αὐτοὺς ἐξ ᾅδου κατωτάτου· καὶ γὰρ συνέτριψε χαλκᾶς ἡδραιωμένας πύλας καὶ σιδηροῦς συνέθλασε μοχλοὺς τοὺς τοῦ θανάτου.» Εἰς τὸν ρζ´ ψαλμόν, «ἑτοίμη ἡ καρδία μου, ὁ θεός» Καλεῖ τὰ ἔθνη καὶ οὗτος πρὸς πίστιν καὶ σωτηρίαν. Τοῦτον προσώπῳ γέγραφε τῶν αἰχμαλωτισθέντων, ἐπιποθούντων κατιδεῖν τὴν πόλιν τὴν ἁγίαν. «τίς» γὰρ «ἀπάξει με» φησὶ «περιοχῆς εἰς πόλιν; ἢ τίς καθοδηγήσει με μέχρι τῆς Ἰδουμαίας; οὐχὶ σὺ πάντως, ὁ θεός, ὁ ἀπωσάμενός με;» Εἰς τὸν ρη´ ψαλμόν, «ὁ θεός, τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς» Χριστοῦ σωτῆρος <τὰ> πάθη προρρήσεις τε τῶν μελλόντων. Προσώπῳ τοῦτον γέγραφε τοῦ θεανθρώπου λόγου πρὸς τὸν πατέρα λέγοντος ἅπερ ὑπέστη πάθη. ἔχει δὲ καί τινας ἀρὰς ὡς κατὰ τοῦ προδότου· «κατάστησον» καὶ γάρ φησιν «ἁμαρτωλὸν εἰς τοῦτον, ἐξέλθοι δ' ἐν τῷ κρίνεσθαι καταδεδικασμένος, ἡ προσευχὴ γενέσθω δὲ τούτου πρὸς ἁμαρτίαν καὶ τὴν ἐπισκοπὴν αὐτοῦ τὶς ἕτερος προσλάβοι», βαθμὸν τὸν ἀποστολικόν, ὃν ἔλαβε Ματθίας. Εἰς τὸν ρθ´ ψαλμόν, «εἶπεν ὁ κύριος τῷ κυρίῳ μου» Νίκη Χριστοῦ δεξιά τε πατρὸς αὐτοῦ καὶ καθέδρα. Ἐν τούτῳ τὴν ἀνάληψιν καὶ δόξαν προθεσπίζει τοῦ σαρκωθέντος δι' ἡμᾶς ἐκ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῆς ἁγνῆς παρθένου. «τῷ» γὰρ «κυρίῳ μου» φησὶν «ὁ κύριος ἐξεῖπεν, ἐκ δεξιῶν μου κάθισον τοῦ θρόνου καὶ τῆς δόξης, ἕως ἂν θῶ σου τοὺς ἐχθροὺς ὡς ὑποπόδιόν σου.» Εἰς τὸν ρι΄, «ἐξομολογήσομαί σοι, κύριε, ἐν ὅλῃ καρδίᾳ ἐν βουλῇ εὐθέων» Χριστοῦ εὐχάριστον ᾆσμα ψαλμοῦ τὰ ῥήματα <λέγει>. Τοῦτον προσώπῳ γέγραφεν Ἰωσαφὰτ προφήτου τοῦ βασιλεύοντός ποτε φυλῆς τῆς τοῦ Ἰούδα, ἐντελλομένου τοῖς λαοῖς τὸν κύριον δοξάζειν, ὅτι κατετροπώσατο τοὺς ἀντιπάλους τούτου, τοὺς Μωαβίτας λέγω δή, πρὸς δὲ τοὺς Ἀμανίτας, οἵτινες ἐξηγέρθησαν κατὰ φυλῆς Ἰούδα· οὓς καὶ κατέσφαξεν εὐθὺς Ἰωσαφὰτ ἐκεῖνος. Εἰς τὸν ρια΄, «μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν κύριον» Χριστὸς διδάσκει· ζωῆς οὖν λόγον πᾶς τις ἀρυέσθω. Οὗτος δὲ στήλη πέφυκε τοῦ θεαρέστου βίου· «ὁ» γὰρ «φοβούμενος» φησὶ «τὸν κύριον τῆς δόξης, οὗτος μακάριός ἐστι καὶ μέγιστος ἐν πᾶσιν.» Εἰς τὸν ριβ΄, «αἰνεῖτε, παῖδες, κύριον» Νέος λαὸς προσκαλεῖται καὶ οἰκειοῦται <κυρίῳ>. Οὗτος δὲ πέφυκεν εἰκὼν Χριστοῦ δεξολογίας. Εἰς τὸν ριγ΄, «ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου» Διδασκαλία τῷ νέῳ λαῷ σωτήριος ταῦτα. Τὴν βάπτισιν αἰνίττεται τοῦ θεανθρώπου λόγου· «ἡ θάλασσα» γὰρ «ἔφυγε» φησὶ «σὲ κατιδοῦσα καὶ Ἰορδάνης φοβηθεὶς ἐστράφη εἰς τοὐπίσω.» Εἰς τὸν ριδ΄, «ἠγάπησα, ὅτι εἰσακούσεται κύριος» Νέου λαοῦ ἄρτι θείαν προβιβασθέντος εἰς νέαν. Οὗτος προσώπῳ γέγραπται τῶν αἰχμαλωτισθέντων καὶ λυτρωθέντων τῆς πικρᾶς δουλείας Ἀντιόχου, εὐχαριστούντων ἐκ ψυχῆς ἁπάσης τῷ κυρίῳ ὅτι πεφύλακεν αὐτοὺς ἐξ εἰδωλολατρίας. «ἠγάπησα» καὶ γάρ φησι «τὸν κύριον τῆς δόξης, τῆς γὰρ ἐμῆς ἐπήκουσε φωνῆς ὡς εὐεργέτης καὶ τὴν ἐμὴν ἐξείλατο ψυχὴν ἀπὸ θανάτου, ἀπὸ δακρύων δὲ πολλῶν ὄντως τοὺς ὀφθαλμούς μου.» Εἰς τὸν ριε΄ ψαλμόν, «ἐπίστευσα, διὸ ἐλάλησα» Νέου λαοῦ καλοῖς ἔργοις τελειωθέντος τὸ ᾆσμα. Οὗτος προσώπῳ γέγραπται τοῦ Χριστωνύμου δήμου τοῦ λυτρωθέντος τῆς πικρᾶς αἰχμαλωσίας ᾅδου. «τί γὰρ ἀνταποδώσομεν ἀξίως τῷ κυρίῳ ὧν ἀνταπέδωκεν ἡμῖν, λυτρώσας τοῦ θανάτου;» Εἰς τὸν ριϛ΄, «αἰνεῖτε τὸν κύριον, πάντα τὰ ἔθνη» Προσκέκληται καὶ τὰ ἔθνη ᾆσμα εὐχάριστον ᾄδει. Εὔδηλον οὗτος ὁ ψαλμὸς τὴν ἑρμηνείαν φέρει· τοῖς ἐξ ἐθνῶν γὰρ παραινεῖ δοξάζειν τὸν σωτῆρα. Εἰς τὸν ριζ΄, «ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι ἀγαθός» Ἀγωνισταῖς ἐν κυρίῳ νίκη Χριστοῦ πρόρρησίς τε. Ψαλμὸς εὐχαριστήριος τῶν ἐλευθερωθέντων ἀνδρῶν μεγάλων προφητῶν συναιχμαλωτισθέντων, νενικηκότων σὺν θεῷ τοὺς ἐπιτιθεμένους καὶ τούτους ἀναγκάζοντας εἰδώλοις προσκυνῆσαι. «ἐκύκλωσάν με» γάρ φησιν «ὡς μέλισσαι κηρίον, καὶ πάλιν ἐξεκαύθησαν ὡς πῦρ ἐν ταῖς ἀκάνθαις, ἀλλ' ἐν ὀνόματι θεοῦ ξύμπαντας ἠμυνάμην.» Εἰς τὸν ριη΄, «μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ» Τοῖς ἀρετῆς ἀρχομένοις στοιχείωσις μέλος τόδε. Βουλόμενος ὁ μέγιστος Δαυὶδ ὁ ψαλμογράφος διδάξαι πᾶσι τοῖς βροτοῖς τύπον ἀρίστου βίου, ἤγουν ἐλπίζειν εἰς θεόν, καταφρονεῖν τοῦ βίου πολλοὺς πολλάκις φέροντος κινδύνους τε καὶ θλίψεις, τοῦτον ἐψαλμογράφησεν ἐν πάσῃ κατανύξει, μνησθεὶς ἐν τούτῳ τῷ ψαλμῷ πάντων ὡς ἐν συνόψει ὧνπερ ἐν βίῳ πέπραχε καλῶς τε καὶ κακίστως. Εἰς τὸν ριθ΄ ψαλμόν, «πρὸς κύριον ἐν τῷ θλίβεσθαί με» Σύμμικτος θρῆνος δεήσει τῶν κακουμένων ἐν ξένῃ. Προφητικοῖς ἐν ὄμμασι προβλέπων ὁ προφήτης τὴν τῶν Ἑβραίων φθάσασαν αἰχμαλωσίαν πᾶσαν καὶ τὴν ἐπάνοδον αὐτῶν τὴν ἀπὸ Βαβυλῶνος (αὐτοὺς γὰρ ἠλευθέρωσεν ὁ Κῦρος βασιλεύσας), καὶ τούτους συνεγράψατο ψαλμοὺς τοὺς προκειμένους, οὕσπερ καὶ κατωνόμασεν ἀναβαθμοὺς εἰκότως. τὴν ἄνοδον ἐπέχοντας τῶν αἰχμαλωτισθέντων. πλὴν ἀλλ' οὐκ ἔχουσι σκοπὸν οἱ ψαλμοὶ πάντες ἕνα· ἄλλος γὰρ ἄλλο τῶν ψαλμῶν τουτωνὶ προθεσπίζει, ὁ μὲν τὰς θλίψεις τὰς πολλὰς αὐτῶν ἐν Βαβυλῶνι, ὁ δὲ τὰ εὐαγγέλια τὰ τῆς ἐλευθερίας, ὁ δὲ τὴν κατὰ τὴν ὁδὸν ἐκείνων εὐφροσύνην, ὁ δὲ τὴν κτίσιν τοῦ ναοῦ τὴν παρὰ Ζοροβάβελ, ὁ δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸν πόλεμον αὐτῶν καὶ τῶν ἀστυγειτόνων. ἕκαστος μέντοι τῶν ψαλμῶν τῶν ἀναβαθμωνύμων ὥσπερ ἀπό τινος χοροῦ τῶν ἐναρέτων δῆθεν καλλίστως ἐσχημάτισται καὶ μεμελῴδηταί πως. πολλοὶ γὰρ συνηρπάγησαν εἰς τὴν αἰχμαλωσίαν ἄνδρες προφῆται θαυμαστοὶ καὶ μέγιστοι τοῖς τρόποις· ἀφ' ὧν ἐστι καὶ Δανιήλ, ὁ λάκκῳ βληθεὶς πάλαι, οἱ τρεῖς τε παῖδες σὺν αὐτῷ οἱ περὶ Ἀζαρίαν, καὶ Ζαχαρίας ὁ κλεινὸς καὶ Ἰωὴλ ὁ θεῖος. προσώπῳ τοίνυν οἱ ψαλμοὶ τῶν αἰχμαλωτισθέντων καλῶς ἐχηματίσθησαν παρά γε τοῦ προφήτου. εἰ δ' ἀναγωγικώτερον ἐξερευνήσῃς τούτους, μᾶλλον ἡμῖν ἁρμόζουσι τοῖς ἐξ ἐθνῶν ἀνθρώποις, οὕσπερ ἐξηχμαλώτισε τῆς σκέπης τοῦ δεσπότου ὁ νοητὸς Ναβουζαρδάν, τοῦ σκότους ὁ προστάτης, ἀλλ' ἠλευθέρωσε Χριστός, ὁ κύριος τῆς δόξης. Ὁ πρῶτος μέντοι τῶν ψαλμῶν τὰς θλίψεις τούτων φέρει καὶ τὴν ἀντίληψιν αὐτῶν τὴν παρὰ τοῦ κυρίου· «ἐν τῷ» γὰρ «θλίβεσθαι» φησὶν «εἰς τὰς αἰχμαλωσίας πρὸς κύριον ἐκέκραξα, καὶ γὰρ εἰσήκουσέ μου.» Εἰς τὸν ρκ´ ψαλμόν, «ἦρα τοὺς ὀφθαλμούς μου» Ἐπάνοδον Βαβυλῶνος διασπορᾶς ψαλμὸς ᾄδει. Τοῖς ἔτι διατρίβουσιν εἰς τὴν αἰχμαλωσίαν πρόσφορος οὗτος ὁ ψαλμός· φησὶ γὰρ «εἰς τὰ ὄρη ἐπῆρά μου τοὺς ὀφθαλμοὺς ὡς χρῄζων βοηθείας». Εἰς τὸν ρκα´, «εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι» Ἐπάνοδος αἰχμαλώτοις ἀγγέλλεται πρὸς πατρίδα. Πρόσφορος δ' οὗτος πέφυκε τοῖς ἐλευθερωθεῖσιν· «εὐφράνθημεν» καὶ γάρ φησιν «ἐπὶ τοῖς εἰρηκόσιν· εἰς οἶκον πορευσόμεθα τὸν τοῦ κυρίου ἅμα.» Εἰς τὸν ρκβ´ ψαλμόν, «πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου» Λαὸν εὐχὴν τῷ κυρίῳ προσφέροντα ψαλμὸς λέγει. Οὗτος δὲ πάλιν πρόσφορος αὐτοῖς τοῖς αἰχμαλώτοις· «τοὺς ὀφθαλμούς μου» γάρ φησιν «ἦρα πρὸς σέ, Χριστέ μου, τὸν κατοικοῦντα ὡς θεὸν εἰς οὐρανοὺς ἁγίους.» Εἰς τὸν ρκγ´, «εἰ μὴ ὅτι κύριος ἦν ἐν ἡμῖν» Λαὸν εὐχάριστον ᾆσμα Χριστῷ προσφέροντα λέγει. Οὗτος ἁρμόζει τοῖς αὐτοῖς ὡς ἐλευθερωθεῖσι καὶ τοὺς ἐχθροὺς νικήσασιν αὐτῶν ὡς κατὰ κράτος τοὺς μετὰ τὴν ἐπάνοδον ἐκείνους πολεμοῦντας. φησὶ γάρ, «εἰ μὴ κύριος ἦν μεθ' ἡμῶν ἀρτίως, ἄρα κατέπιον ἡμᾶς ζῶντας οἱ πολεμοῦντες». Εἰς τὸν ρκδ´, «οἱ πεποιθότες ἐπὶ κύριον» Ἀπεκατέστη καὶ ψάλλει λαὸς εὐχάριστον ᾆσμα. Οὗτος τὴν ἴσην δύναμιν ἔχει τῷ προρρηθέντι· αὐτοὶ καὶ γὰρ νικήσαντες τοὺς ἀντιτεταγμένους ᾄδουσι νικητήρια λέγοντες πρὸς ἀλλήλους· «οἱ πεποιθότες εἰς θεὸν καθάπερ Σιὼν ὄρος οὐ σαλευθήσονταί ποτε παρὰ τῶν ἐναντίων.» Εἰς τὸν ρκε´ ψαλμόν, «ἐν τῷ ἐπιστρέψαι κύριον τὴν αἰχμαλωσίαν» Ἄνευ παθῶν ᾄδει ταύτην τῇ τῶν μελλόντων ἐλπίδι. Οὗτος προσώπῳ γέγραπται τῶν ἐλευθερωθέντων· φησὶ γὰρ «ἐγενήθημεν ὡς παρακεκλημένοι κυρίου ἐπιστρέψαντος Σιὼν αἰχμαλωσίαν». ἐπεὶ δὲ καί τινες αὐτῶν ἐλείφθησαν ἐκεῖσε, ἐκδυσωποῦσι τὸν θεὸν ὑπὲρ ἐκείνων δῆθεν· φησὶ γὰρ «τὴν ἐπίλοιπον ἡμῶν αἰχμαλωσίαν ἐπίστρεψον, ὦ κύριε, χειμάρρου τινὸς δίκην». ὥσπερ γὰρ χείμαρρος, φησίν, ἀκολουθεῖ χειμάρρῳ, οὕτως ἀκολουθήσομεν ἡμεῖς σοὶ πλανηθέντες. Εἰς τὸν ρκϛ´, «ἐὰν μὴ κύριος οἰκοδομήσῃ οἶκον» Οἰκοδομὴν ἐκκλησίας ψαλμὸς ἐμφαίνει καὶ πόνον. Οὗτος δὲ πάλιν λέλεκται προσώπῳ Ζοροβάβελ. μετὰ γὰρ τὴν ἐπάνοδον τὴν τῆς αἰχμαλωσίας οἰκοδομεῖν βουλόμενοι ναὸν τὸν τοῦ κυρίου συχνῶς ἐπεκωλύοντο παρὰ τῶν γειτονούντων ὡς καθ' ἑκάστην πόλεμον ἐκείνοις συναπτόντων. φησὶ γάρ, «εἰ μὴ κύριος οἰκοδομήσει οἶκον, εἰς μάτην ἐκοπίασαν πάντες οἰκοδομοῦντες». τότε καὶ γὰρ κτισθήσεται ναὸς ὁ τοῦ κυρίου, «ὁπόταν τοῖς ἀγαπητοῖς ὕπνον ἐκεῖνος δώσῃ». Εἰς τὸν ρκζ´, «μακάριοι πάντες οἱ φοβούμενοι τὸν κύριον» Εὐδαιμονίαν προλέγει ἐθνῶν κληθέντων εἰς πίστιν. Οὗτος δὲ πάλιν πρόσφορος αὐτοῖς ὡς πεφθακόσιν ἐγγὺς τῆς Ἱερουσαλὴμ ἐκ τῆς αἰχμαλωσίας· ἀλλήλοις γὰρ ἐπεύχονται τυχεῖν τῶν ποθουμένων. φησὶ γὰρ «εὐλογήσαι σε κύριος παντοκράτωρ καὶ ἴδοις Ἱερουσαλὴμ τὰ ἀγαθὰ καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φάγοις καὶ τῶν υἱῶν σου τοὺς υἱοὺς τεκνοποιοῦντας ἴδοις». Εἰς τὸν ρκη΄, «πλεονάκις ἐπολέμησάν με» Τῆς στρατιᾶς τοῦ κυρίου τὴν κατ' ἐχθρῶν λέγει νίκην. Πρόσφορος δ' οὗτος πέφυκεν αὐτοῖς πολεμουμένοις, ὥσπερ πολλάκις εἴπομεν, παρὰ τῶν γειτονούντων· φησὶ γὰρ «ἐκ νεότητος ἐξεπολέμησάν με». Εἰς τὸν ρκθ΄ ψαλμόν, «ἐκ βαθέων ἐκέκραξά σοι, κύριε· κύριε, εἰσάκουσον» Εὐχὴ μαρτύρων ἁγίων πρὸς τὸν θεὸν ἐκ καρδίας. Καὶ πάλιν οὗτος πρόσφορος αὐτοῖς ὡς αἰχμαλώτοις, ἐκδυσωποῦσι τὸν θεὸν τυχεῖν ἐλευθερίας· «ἐκέκραξά σοι, κύριε», φησὶ γὰρ «ἐκ βαθέων», τουτέστιν ἀπὸ μέσης μου ψυχῆς τε καὶ καρδίας· «τοίνυν εἰσάκουσον φωνῆς ἐμῆς ὡς εὐεργέτης.» Εἰς τὸν ρλ΄ ψαλμόν, «κύριε, οὐχ ὑψώθη ἡ καρδία» Ταπεινοφρόνων οἱ λόγοι Δαυὶδ καρδίαν δηλοῦσι. Προσώπῳ δ' οὗτος γέγραπται χοροῦ τῶν ἐναρέτων τὴν ἑαυτῶν ταπείνωσιν καλῶς ἐξερχομένων καὶ τύπον ταπεινώσεως ἡμῖν παρεχομένων. «ἡ» γὰρ «καρδία μου», φησίν, «οὐδ' ὅλως ἀνυψώθη.» Εἰς τὸν ρλα΄, «μνήσθητι, κύριε, τοῦ Δαυίδ» Δαυὶδ προσευχὴ καὶ θεοῦ παρουσία. Τοῖς αἰχμαλώτοις πρόσφορος οὗτος τυγχάνει πᾶσιν, ἐκδυσωποῦσι τὸν θεὸν τυχεῖν τινος συγγνώμης καὶ λιπαροῦσι πάντοτε πρὸς ἔργον ἀποβῆναι τὰς τοῦ θεοῦ πρὸς τὸν Δαυὶδ ἀρχαίας ὑποσσχέσεις. ἔχει δ' ἐμφάσεις καί τινας σταυροῦ τοῦ σεβασμίου· φησὶ γὰρ «προσκυνήσωμεν εἰς τόπον σωτηρίας, οὗπερ οἱ πόδες ἔστησαν τοῦ λόγου καὶ σωτῆρος». Εἰς τὸν ρλβ΄ ψαλμόν, «ἰδοὺ δὴ τί καλόν» Λαοῦ τελείαν τὴν πίστιν ἐνδεδυμένου οἱ λόγοι. Ἐπὶ τοῖς χρόνοις Ῥοβοὰμ πρὸ τῆς αἰχμαλωσίας αἱ πᾶσαι διῃρέθησαν φυλαὶ τῶν Ἰουδαίων· ἀλλ' αἱ μὲν δύο τῶν φυλῶν τῷ Ῥοβοὰμ ἐτέλουν, αἱ δέκα δ' Ἱεροβοὰμ εἵλοντο βασιλέα. μετὰ γοῦν τὴν ἐπάνοδον τὴν τῆς αἰχμαλωσίας πάλιν συνήλθοσαν ὁμοῦ εἰς μίαν βασιλείαν, ὅθεν, φησίν, ἐφθέγγοντο καὶ πρὸς ἀλλήλους τάδε· «ἰδοὺ δὴ τί καλόν ἐστιν ἢ τί τερπνὸν ἐν βίῳ ἀλλ' ἢ τὸ κατοικεῖν ἡμᾶς ἅμα τοὺς αὐταδέλφου;» Εἰς τὸν ρλγ΄ ψαλμόν, «ἰδοὺ δὴ εὐλογεῖτε τὸν κύριον» Τὸν ἀφιξόμενον λέγει λαὸν εἰς πίστιν κυρίου. Πρόσφορος δ' οὗτος πέφυκε τοῖς ἐλευθερωθεῖσιν· «εὐφράνθημεν» καὶ γάρ φησιν «ἐπὶ τοῖς εἰρηκόσιν· εἰς οἶκον πορευσόμεθα τὸν τοῦ κυρίου ἅμα.» Εἰς τὸν ρκβ΄ ψαλμόν, «πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου» Λαὸν εὐχὴν τῷ κυρίῳ προσφέροντα ψαλμὸς λέγει. Οὗτος δὲ πάλιν πρόσφορος αὐτοῖς τοῖς αἰχμαλώτοις· «τοὺς ὀφθαλμούς μου» γάρ φησιν «ἦρα πρὸς σέ, Χριστέ μου, τὸν κατοικοῦντα ὡς θεὸν εἰς οὐρανοὺς ἁγίους.» Εἰς τὸν ρκγ΄, «εἰ μὴ ὅτι κύριος ἦν ἐν ἡμῖν» Λαὸν εὐχάριστον ᾆσμα Χριστῷ προσφέροντα λέγει. Οὗτος ἁρμόζει τοῖς αὐτοῖς ὡς ἐλευθερωθεῖσι καὶ τοὺς ἐχθροὺς νικήσασιν αὐτῶν ὡς κατὰ κράτος τοὺς μετὰ τὴν ἐπάνοδον ἐκείνους πολεμοῦντας. φησὶ γάρ, «εἰ μὴ κύριος ἦν μεθ' ἡμῶν ἀρτίως, ἄρα κατέπιον ἡμᾶς ζῶντας οἱ πολεμοῦντες». Εἰς τὸν ρκδ΄, «οἱ πεποιθότες ἐπὶ κύριον» Ἀπεκατέστη καὶ ψάλλει λαὸς εὐχάριστον ᾆσμα. Οὗτος τὴν ἴσην δύναμιν ἔχει τῷ προρρηθέντι· αὐτοὶ καὶ γὰρ νικήσαντες τοὺς ἀντιτεταγμένους ᾄδουσι νικητήρια λέγοντες πρὸς ἀλλήλους· «οἱ πεποιθότες εἰς θεὸν καθάπερ Σιὼν ὄρος οὐ σαλευθήσονταί ποτε παρὰ τῶν ἐναντίων.» Εἰς τὸν ρκε΄ ψαλμόν, «ἐν τῷ ἐπιστρέψαι κύριον τὴν αἰχμαλωσίαν» Ἄνευ παθῶν ᾄδει ταύτην τῇ τῶν μελλόντων ἐλπίδι. Οὗτος προσώπῳ γέγραπται τῶν ἐλευθερωθέντων· φησὶ γὰρ «ἐγενήθημεν ὡς παρακεκλημένοι κυρίου ἐπιστρέψαντος Σιὼν αἰχμαλωσίαν». ἐπεὶ δὲ καί τινες αὐτῶν ἐλείφθησαν ἐκεῖσε, ἐκδυσωποῦσι τὸν θεὸν ὑπὲρ ἐκείνων δῆθεν· φησὶ γὰρ «τὴν ἐπίλοιπον ἡμῶν αἰχμαλωσίαν ἐπίστρεψον, ὦ κύριε, χειμάρρου τινὸς δίκην». ὥσπερ γὰρ χείμαρρος, φησίν, ἀκολουθεῖ χειμάρρῳ, οὕτως ἀκολουθήσομεν ἡμεῖς σοὶ πλανηθέντες. Εἰς τὸν ρκϛ΄, «ἐὰν μὴ κύριος οἰκοδομήσῃ οἶκον» Οἰκοδομὴν ἐκκλησίας ψαλμὸς ἐμφαίνει καὶ πόνον. Οὗτος δὲ πάλιν λέλεκται προσώπῳ Ζοροβάβελ. μετὰ γὰρ τὴν ἐπάνοδον τὴν τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αἰχμαλωσίας οἰκοδομεῖν βουλόμενοι ναὸν τὸν τοῦ κυρίου συχνῶς ἐπεκωλύοντο παρὰ τῶν γειτονούντων ὡς καθ' ἑκάστην πόλεμον ἐκείνοις συναπτόντων. φησὶ γάρ, «εἰ μὴ κύριος οἰκοδομήσει οἶκον, εἰς μάτην ἐκοπίασαν πάντες οἰκοδομοῦντες». τότε καὶ γὰρ κτισθήσεται ναὸς ὁ τοῦ κυρίου, «ὁπόταν τοῖς ἀγαπητοῖς ὕπνον ἐκεῖνος δώσῃ». Εἰς τὸν ρκζ´, «μακάριοι πάντες οἱ φοβούμενοι τὸν κύριον» Εὐδαιμονίαν προλέγει ἐθνῶν κληθέντων εἰς πίστιν. Οὗτος δὲ πάλιν πρόσφορος αὐτοῖς ὡς πεφθακόσιν ἐγγὺς τῆς Ἱερουσαλὴμ ἐκ τῆς αἰχμαλωσίας· ἀλλήλοις γὰρ ἐπεύχονται τυχεῖν τῶν ποθουμένων. φησὶ γὰρ «εὐλογήσαι σε κύριος παντοκράτωρ καὶ ἴδοις Ἱερουσαλὴμ τὰ ἀγαθὰ καὶ φάγοις καὶ τῶν υἱῶν σου τοὺς υἱοὺς τεκνοποιοῦντας ἴδοις». Εἰς τὸν ρκη´, «πλεονάκις ἐπολέμησάν με» Τῆς στρατιᾶς τοῦ κυρίου τὴν κατ' ἐχθρῶν λέγει νίκην. Πρόσφορος δ' οὗτος πέφυκεν αὐτοῖς πολεμουμένοις, ὥσπερ πολλάκις εἴπομεν, παρὰ τῶν γειτονούντων· φησὶ γὰρ «ἐκ νεότητος ἐξεπολέμησάν με». Εἰς τὸν ρκθ´ ψαλμόν, «ἐκ βαθέων ἐκέκραξά σοι, κύριε· κύριε, εἰσάκουσον» Εὐχὴ μαρτύρων ἁγίων πρὸς τὸν θεὸν ἐκ καρδίας. Καὶ πάλιν οὗτος πρόσφορος αὐτοῖς ὡς αἰχμαλώτοις, ἐκδυσωποῦσι τὸν θεὸν τυχεῖν ἐλευθερίας· «ἐκέκραξά σοι, κύριε», φησὶ γὰρ «ἐκ βαθέων», τουτέστιν ἀπὸ μέσης μου ψυχῆς τε καὶ καρδίας· «τοίνυν εἰσάκουσον φωνῆς ἐμῆς ὡς εὐεργέτης.» Εἰς τὸν ρλ´ ψαλμόν, «κύριε, οὐχ ὑψώθη ἡ καρδία» Ταπεινοφρόνων οἱ λόγοι Δαυὶδ καρδίαν δηλοῦσι. Προσώπῳ δ' οὗτος γέγραπται χοροῦ τῶν ἐναρέτων τὴν ἑαυτῶν ταπείνωσιν καλῶς ἐξερχομένων καὶ τύπον ταπεινώσεως ἡμῖν παρεχομένων. «ἡ» γὰρ «καρδία μου», φησίν, «οὐδ' ὅλως ἀνυψώθη.» Εἰς τὸν ρλα´, «μνήσθητι, κύριε, τοῦ Δαυίδ» Δαυὶδ προσευχὴ καὶ θεοῦ παρουσία. Τοῖς αἰχμαλώτοις πρόσφορος οὗτος τυγχάνει πᾶσιν, ἐκδυσωποῦσι τὸν θεὸν τυχεῖν τινος συγγνώμης καὶ λιπαροῦσι πάντοτε πρὸς ἔργον ἀποβῆναι τὰς τοῦ θεοῦ πρὸς τὸν Δαυὶδ ἀρχαίας ὑποσσχέσεις. ἔχει δ' ἐμφάσεις καί τινας σταυροῦ τοῦ σεβασμίου· φησὶ γὰρ «προσκυνήσωμεν εἰς τόπον σωτηρίας, οὗπερ οἱ πόδες ἔστησαν τοῦ λόγου καὶ σωτῆρος». Εἰς τὸν ρλβ´ ψαλμόν, «ἰδοὺ δὴ τί καλόν» Λαοῦ τελείαν τὴν πίστιν ἐνδεδυμένου οἱ λόγοι. Ἐπὶ τοῖς χρόνοις Ῥοβοὰμ πρὸ τῆς αἰχμαλωσίας αἱ πᾶσαι διῃρέθησαν φυλαὶ τῶν Ἰουδαίων· ἀλλ' αἱ μὲν δύο τῶν φυλῶν τῷ Ῥοβοὰμ ἐτέλουν, αἱ δέκα δ' Ἱεροβοὰμ εἵλοντο βασιλέα. μετὰ γοῦν τὴν ἐπάνοδον τὴν τῆς αἰχμαλωσίας πάλιν συνήλθοσαν ὁμοῦ εἰς μίαν βασιλείαν, ὅθεν, φησίν, ἐφθέγγοντο καὶ πρὸς ἀλλήλους τάδε· «ἰδοὺ δὴ τί καλόν ἐστιν ἢ τί τερπνὸν ἐν βίῳ ἀλλ' ἢ τὸ κατοικεῖν ἡμᾶς ἅμα τοὺς αὐταδέλφου;» Εἰς τὸν ρλγ´ ψαλμόν, «ἰδοὺ δὴ εὐλογεῖτε τὸν κύριον» Τὸν ἀφιξόμενον λέγει λαὸν εἰς πίστιν κυρίου. Πρόσφορος δ' οὗτος πέφυκε τοῖς ἐλευθερωθεῖσιν· «οἱ» γὰρ «ἑστῶτες» δή φησιν «ἐν οἴκῳ τοῦ κυρίου, ἐπευλογεῖτε κύριον ὡς δοῦλοι τοῦ κυρίου.» Εἰς τὸν ρλδ´ ψαλμόν, «αἰνεῖτε τὸ ὄνομα κυρίου, αἰνεῖτε, δοῦλοι, κύριον» Διδασκαλία πρὸς πίστιν λαὸν εἰσάγουσα νέον. Οὗτος τὴν ἴσην δύναμιν ἔχει τῷ προρρηθέντι, ἁρμόδιος καὶ γάρ ἐστι τοῖς ἐλευθερωθεῖσιν. Εἰς τὸν ρλε´, «ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι ἀγαθός» Εὐχαριστία κυρίῳ λευτρωμένων ἐκ πλάνης. Ἐπείπερ ἀπηλλάγησαν ἐκ τῆς αἰχμαλωσίας, ἀλλήλους διεγείρουσι πρὸς δόξαν τοῦ κυρίου, τὰς ἐν Αἰγύπτῳ λέγοντες πολλὰς εὐεργεσίας. φησὶ γάρ· «πάντες τῷ θεῷ νῦν ἐξομολογεῖσθε τῷ μέγιστα θαυμάσια τετελεκότι μόνῳ, Αἴγυπτον μὲν πατάξαντι μετὰ τῶν πρωτοτόκων, τὸν δὲ λαὸν τὸν ἴδιον ταύτης ἐξαγαγόντι.» Εἰς τὸν ρλϛ´ ψαλμόν, «ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος» Φωναὶ ἁγίων βοώντων αἰχμαλωσίᾳ τοιαῦτα. Τὰς θλίψεις ἀπαγγέλλουσι τὰς τῆς αἰχμαλωσίας· ἅπερ γὰρ εἶχον ὄργανα, τύμπανα καὶ κιθάρας, δι' ὧν ἀνύμνουν τὸν θεὸν ἐν τῇ Σιὼν παρόντες, ἐλθόντες εἰς τὸν ποταμὸν τῆς χώρας Βαβυλῶνος ὡς ἄχρηστα παρήρτησαν ἐν ταῖς ἰτέαις ταῦτα καὶ μεμνημένοι τῆς Σιὼν ἐθρήνουν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνενδότως. Εἰς τὸν ρλζ΄ ψαλμόν, «ἐξομολογήσομαί σοι» Εὐχαριστεῖ τῷ κυρίῳ καὶ προφητεύει τὸ μέλλον. Προσώπῳ τοῦτον γέγραφε τοῦ θείου Ζαχαρίου, εὐφραινομένου δήπουθεν ὡς ἐλευθερωθέντος καὶ τῷ δεσπότῃ τοῦ παντὸς ὑπερευχαριστοῦντος. Εἰς τὸν ρλη΄, «κύριε, ἐδοκίμασάς με» Ἔντευξις <θεῷ> δικαίου συνάμα θεολογίᾳ. Τοῦτον προσώπῳ γέγραφεν ἄνακτος Ἰωσίου, ὃς ἀπὸ γνώμης δυσσεβοῦς καλῶς ἀνθυποστρέψας τοὺς ἱερεῖς κατέσφαξεν ἅπαντας τῶν εἰδώλων. «ἐμίσησα» γάρ, «κύριε», φησί, «τοὺς σὲ μισοῦντας· σὺ δ' ἀλλ' ὡς ἐδοκίμασας ἐμὲ τὸν σὸν οἰκέτην, ἔγνως καὶ τὴν καθέδραν μου σὺ καὶ τὴν ἔγερσίν μου,» τοῦτ' ἔστι τὴν ἀσέβειαν καὶ τὴν εὐσέβειάν μου. Εἰς τὸν ρλθ΄ ψαλμόν, «ἐξελοῦ με, κύριε, ἐξ ἀνθρώπου» Κατὰ θεὸν ὃς ἀγῶνας ἀνύει ταῦτα κραυγάζει. Τοῦτον δὲ πολεμούμενος ὑπὸ Σαοὺλ ἐξεῖπε· φησὶ γάρ, «ῥῦσαί με, Χριστέ, τῶν πονηρῶν ἀνθρώπων, οἵτινες παρατάσσονται πολέμους καθ' ἡμέραν». Εἰς τὸν ρμ΄, «κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου» Ἡ προσευχὴ τοῦ τελείως αὐτὸν ἐκδόντος κυρίῳ. Τοῦτον προσώπῳ γέγραφε τῶν θείων αἰχμαλώτων, Ἀγγαίου Ζαχαρίου τε τῶν προφητικωτάτων ἐπευχομένων δηλαδὴ πρὸς τὸν δεσπότην ὅλων· ὅντινα γέγραφε ψαλμὸν καὶ προσευχῆς εἰς τύπον. Εἰς τὸν ρμα΄ ψαλμόν, «φωνῇ μου πρὸς κύριον ἐκέκραξα» Τοῦ ἐξομολογουμένου ἡ προσευχὴ τῷ κυρίῳ. Καὶ τοῦτον διωκόμενος ὑπὸ Σαοὺλ ἐξεῖπε· φησὶ γάρ, «ῥῦσαί με, Χριστέ, χειρὸς φονικωτάτης τῶν καταδιωκόντων με καὶ κατασυντριβόντων». ὁ παῖς δὲ τοῦτον ἔθλιβεν Ἀβεσαλὼμ τὸ πλέον. Εἰς τὸν ρμβ΄ ψαλμόν, «κύριε, εἰσάκουσον τῆς προσευχῆς μου» Κατὰ θεὸν ὃς πολέμοις ἐμβέβληται ταῦτα λέγει. Καὶ τοῦτον ὑπ' Ἀβεσαλὼμ δεδιωγμένος εἶπεν· ἀλλ' ἐξομολογήσεως μέγιστον τύπον φέρει. Εἰς τὸν ρμγ΄, «εὐλογητὸς κύριος ὁ θεός μου» Εὐχαριστεῖ λαβὼν νίκην κατὰ ἐχθρῶν πολεμούτων. Προσώπῳ τοῦτον γέγραφε τοῦ Χριστωνύμου δήμου εὐχαριστούντων ἐκ ψυχῆς τῷ θεανθρώπῳ λόγῳ τῷ δόντι δύναμιν αὐτοῖς κατὰ τοῦ διαβόλου καὶ μάχαιραν τετράστομον τὸ τοῦ σταυροῦ σημεῖον, οὗ τῇ δυνάμει πλήττουσι τὰ στίφη τῶν δαιμόνων τῶν πολεμούντων ἀφειδῶς πάντοτε τοὺς ἀνθρώπους. «εὐλογητὸς» καὶ γάρ φησι «κύριος ὁ θεός μου, ὁ πρὸς παράταξιν ἐχθρῶν διδάσκων μου τὰς χεῖρας, εἰς πόλεμον δὲ τοὺς ἐμοὺς δακτύλους ἀπευθύνων.» Εἰς τὸν ρμδ΄ ψαλμόν, «ὑψώσω σε, ὁ θεός μου, ὁ βασιλεύς μου» Ὑμνεῖ θεὸν καὶ μεθ' ὕμνου θεολογεῖ ὁ προφήτης. Τοῦτον εἰς ὕμνον ἄπαυστον γέγραφε τῷ κυρίῳ. Εἰς τὸν ρμε΄ ψαλμόν, «αἴνει, ἡ ψυχή μου, τὸν κύριον» Ὑμνεῖ θεὸν καὶ σὺν ὕμνῳ θεολογεῖ ὁ προφήτης. Ἐν τούτῳ δὲ προτρέπεται δοξάζειν τὸν δεσπότην καὶ μὴ θαρρεῖν ἐπί τινι πλὴν μόνῳ τῷ κυρίῳ. Εἰς τὸν ρμϛ΄ ψαλμόν, «αἰνεῖτε τὸν κύριον, ὅτι ἀγαθὸν ψαλμός» Ὑμνεῖ θεὸν καὶ συνάμα θεολογεῖ ὁ προφήτης. Ἐν τούτῳ προτεθέσπικεν ὁ μέγιστος προφήτης τὴν κτίσιν ὄντως τοῦ ναοῦ τὴν παρὰ Ζοροβάβελ καὶ τὴν ἐπάνοδον ὁμοῦ τῶν αἰχμαλωτισθέντων. φησὶ γὰρ «Ἱερουσαλὴμ οἰκοδομῶν ὁ λόγος συνάξει τὰς διασπορὰς τοῦ Ἰσραὴλ ἁπάσας». Εἰς τὸν ρμζ΄, «ἐπαίνει, Ἱεροσυαλήμ, τὸν κύριον, αἴνει τὸν θεόν» Ὕμνος θεῷ, καὶ ὁ ὕμνος θεολογία προφήτου. Τοῦτον προσώπῳ γέγραφεν Ἀγγαίου τοῦ προφήτου τὴν κτίσιν Ἱερουσαλὴμ μέλλοντος προφητεῦσαι. Εἰς τὸν ρμη΄, «αἰνεῖτε τὸν κύριον ἐκ τῶν οὐρανῶν» Ὕμνος θεοῦ, καὶ ὁ ὕμνος θεολογίᾳ συνάμα. Ἐν τούτῳ δὲ προτρέπεται δοξάζειν τὸν δεσπότην ἅπασαν κτίσιν ὁ Δαυὶδ ὡς ποιητὴν τῶν ὅλων. Εἰς τὸν ρμθ΄, «ᾄσατε τῷ κυρίῳ ᾆσμα καινόν» Ἐωθινὴν ὑμνῳδίαν ἣν ᾖδε προφήτης λέγει. Τοῖς Χριστωνύμοις παραινεῖ γεραίρειν τὸν δεσπότην· φησὶ γὰρ «ᾄσατε καινὸν ᾆσμά τι τῷ κυρίῳ, οἱ ταῖς χερσὶ κατέχοντες τὴν δίστομον ῥομφαίαν», τοῦτ' ἔστι τὸν πανσέβαστον σταυρὸν τὸν τοῦ κυρίου, «ὥστε ποιεῖν ἐκδίκησιν ἐν ἔθνεσιν ἀγρίοις» καὶ κατασφάττειν δαίμονας καὶ καταπλήττειν τούτους. Εἰς τὸν ρν΄ ψαλμόν, «αἰνεῖτε τὸν θεὸν ἐν τοῖς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἁγίοις αὐτοῦ» Κελεύει πᾶσι προφήτης ὑμνεῖν θεὸν ἀνενδότως. Πᾶσαν πνοὴν καὶ δύναμιν καὶ φύσιν ὁ προφήτης εἰς αἴνεσιν ἀσίγητον ὀτρύνει τοῦ κυρίου. Εἰς τὸν ἰδιόγραφον ψαλμὸν τῷ Δαυίδ, «μικρὸς ἤμην ἐν τοῖς ἀδελφοῖς μου» Καρατομεῖς ἆρα δὲ τὸν ξιφηφόρον, κτείνεις δὲ τὸν μέγιστον, ὦ βραχὺ δέμας, καὶ τὸν τοσοῦτον ὄντα πρὸς ξιφουλκίαν σφάττειν, προφῆτα σφενδονηφόρε, σθένεις; ναί, τοῦ θεοῦ θέλοντος, οὐ γὰρ εἰς μάτην ἐκ τριάδος πέπομφα τριττὺν τῶν λίθων. Οὗτος ὁ ψαλμὸς ἰδιόγραφός ἐστι τῷ Δαυὶδ καὶ ἔξωθεν τοῦ ἀριθμοῦ τῶν ρν΄ ψαλμῶν, ὅτε ἐμονομάχησε πρὸς τὸν Γολιάθ.

## 55 Στίχοι ἐν ἐπιτομῇ περὶ τῆς ἑξαημέρου καὶ εἰς τὴν γέννησιν τοῦ Ἀδὰμ καὶ εἰς τὴν ἐξορίαν αὐτοῦ καὶ τὴν τοῦ θεοῦ πρὸς αὐτὸν κηδεμονίαν καὶ περὶ τοῦ Ἀντιχρίστου. ποίημα Μιχαὴλ Ψελλοῦ Κωνσταντινουπόλεωσ

Τριὰς ἁγία, δόξα σοι, πατὴρ ὁ παντοκράτωρ καὶ υἱὸς σὺν τῷ πνεύματι, δόξα σοι εἰς αἰῶνας. Πάντων ἄναξ καὶ κύριε καὶ κτίστα τῶν ἁπάντων, ἐξ οὐκ ὄντων παρήγαγες εἰς τὸ εἶναι τὰ πάντα. πρῶτον ἐδημιούργησας τὰς τάξεις τῶν ἀγγέλων, ἀγγέλους ἀρχαγγέλους τε, ἀρχὰς καὶ ἐξουσίας, θρόνους καὶ κυριότητας καὶ τὰς θείας δυνάμεις, τὰ χερουβὶμ καὶ σεραφίμ, τὰ τετράμορφα ζῷα, τοῦ ὑμνεῖν καὶ δοξάζειν σε ἐν φωναῖς ἀσιγήτοις. ὁ δέκατος δὲ ἀριθμὸς ὁ σατανᾶς ὑπῆρχεν, ἀλλ' ἔπεσεν ὡς ἀστραπή, ὡς κατὰ σοῦ ἀνταίρας, καὶ ὅλος σκότος γέγονεν σὺν τῇ αὐτοῦ στρατείᾳ· θρόνων ἐδόκει ἔχεσθαι αὐτὸς ἐν ταῖς νεφέλαις, ἀλλ' ἔπεσεν ὡς ἀστραπὴ ἐκ τῶν ἐπουρανίων καὶ ἔλαχεν τὴν οἴκησιν ἔχειν ἐν τῇ ἀβύσσῳ. ἀντ' αὐτοῦ δὲ πεποίηκας τὴν φύσιν τῶν ἀνθρώπων· κἂν ἀκραιφνῶς φυλάξωσι θεοῦ τὸ κατ' εἰκόνα καὶ εἰς ἀγγέλων φθάσοιεν ἔχειν τὴν πολιτείαν, οὗτοι ἀναπληρώσουσιν τὸ τάγμα τῷ πεσόντι. Κατ' ἀρχὰς ἐστερέωσας οὐρανοὺς ἐν συνέσει καὶ τούτους κατεκάλλυνας τὸ ἀνέκφραστον κάλλος. ἔνδον δ' αὐτοῦ ὑπάρχουσιν αἱ τάξεις τῶν ἀγγέλων· φῶτα γὰρ ὄντες δεύτερα τῆς σῆς φωτοχυσίας ἀκαταπαύστως ᾄδουσι τὸν τρισάγιον ὕμνον, μόνος [γὰρ] σκότος γέγονεν ὁ πεσὼν Ἑωσφόρος. Τὴν γῆν ἐθεμελίωσας ἐπ' οὐδενὸς ἑδράσας· οὐχ ὑπὸ στύλων ἥδρασται, ἀλλ' ἐν τῇ σῇ παλάμῃ, στῦλ[ος] αὐτῆς γὰρ πέφυκεν ἡ ἄπειρος ἰσχύς σου. καὶ ταύτην κατεκύκλωσας τὴν φύσιν τῶν ὑδάτων· Ὠκεανὸς γὰρ ποταμὸς ταύτην περικυκλεύει, καὶ ἔνδοθεν τοῦ ποταμοῦ τὰ ἄπειρα πελάγη, χειμάρροι ἀναρίθμητοι καὶ ἀένναοι κρῆναι· μέση τοῦ πόλου κρ[έ]μαται ὥσπερ στιγμὴ βραχεῖα. Τὸν δεύτερον δὲ οὐρανὸν τῷ λόγῳ στερεώσας καὶ τοῦτον ἐστερέωσας ἐν μέσῳ τῶν ὑδάτων, τοῦ χωρίζειν τὰ ὕδατα τὰ ἄνω καὶ τὰ κάτω, οὐκ ἐξ ἡλίου ὕδατος, ἀλλὰ τῇ σῇ σοφίᾳ. ἐπάνω δ' αὐτοῦ τέθεικας τὸ πλῆθος τῶν ὑδάτων, ἵνα μή π[ως] καταφλέχθῃ τῇ φλογὶ τοῦ ἡλίου. Τὴν γῆν δὲ ἀπεκάλυψας τὴν πρὶν κεκαλυμμένην καὶ ταύτην κατεποίκιλας τῶν βοτανῶν τὰ γένη, ῥόδα καὶ κρίνα πάμπολλα, βασιλικὰ καὶ κρόκους, καὶ ἄλλα ἀναρίθμητα πρὸς χρῆσιν τῶν ἀνθρώπων, δένδρη τὰ εὐωδέστατα, κυπάρισσον καὶ πεύκην, καὶ δέν[................] ἐν ᾧ σωτὴρ ὑψώθη, καὶ ἄλ[λα ...........] εἰς ἅπασαν τὴν κτίσιν. Τὸν οὐ[ρανὸ]ν ἐκόσμησας [τῷ] πλήθει τῶν ἀστέρων τοῦ διαλύειν τῆς νυκτὸς τὴν ζοφώδη ὁμίχλην· οὐσία γὰρ οὐ πέφυκεν, ὡς φαίνεται, τοῦ σκότους, ἀλλὰ στέρησις τοῦ φωτός, ἡλίου κρυπτομένου. τὸν ἥλιον δὲ τέθεικας εἰς ἀρχὴν τῆς ἡμέρας· τῷ λόγῳ σου γὰρ γέ[γονεν] ἐκ τοῦ φωσφόρου φ[αῦ]σις κατα[φωτίζειν] ἅπαντα τὸν ἐγκύκλιον πόλον, ὄρη, βουνούς, κοιλάδας αὖ, ὁμοῦ καὶ πεδιάδας, ἀκτάς, λιμένας νήσους τε καὶ ἄπειρα πελάγη. ἐπὶ γῆν γὰρ χρονίζοντος θερμαίνεται τὸ ὕδωρ, καὶ ὑπὸ γῆν χρονίζοντος ἐν τῷ ἡμισφαιρίῳ τὴν γῆν καταθερμαίνοντος ψυχραίνεται τὸ ὕδωρ· ταῦτα δὲ οὕτως γένωνται χειμῶνι καὶ τῷ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θέρει. ὑπερέχει δὲ ἅπασαν τὴν γῆν ἐν τῷ μεγέθει· κωνοειδὴς ἡ χθόνα γάρ, ὡς ἔοικεν, ὑπάρχει. τὴν σελήνην δὲ τέθεικας τοῦ φωτίζειν τὴν νύκτα· λήγουσα καὶ αὐξάνουσα [ἀ]νάστασιν μηνύει. εἰς χρόνους ὄντως καὶ καιροὺς ἔταξας τοὺς φωστῆρας, καὶ ταῦτα παρελεύσονται τῇ ἐσχάτῃ ἡμέρᾳ. Ἰχθύας δὲ καὶ πετεινὰ ἐξήγαγε τὸ ὕδωρ, καθαρὰ καὶ ἀκάθαρτα, ἕκαστον κατὰ γένος, ὅσα εἰσὶ λεπιδωτά, καθαρὰ πρὸς διαίταν, καὶ ὅσα τὰ ἀλέπιδα, ἀκάθαρτα τὰ πάντα. τὰ πετεινὰ δὲ πέτανται πάντα ἐν τῷ ἀέρι, καθαρὰ καὶ ἀκάθαρτα, ἕκαστον κατὰ γένος· στραβώνυχα, ὀξύστομα, ἀκάθαρτα τὰ πάντα, τὰ δὲ ἰσοχειλεύοντα καθαρὰ πρὸς διαίταν. τετράποδα παντοῖα δὲ ἡ ἤπειρος ἐκφύει, καθαρὰ καὶ ἀκάθαρτα, ἕκαστον κατὰ γένος. τὰ διχηλοῦντα τοῖς ποσὶ μηρυκισμὸν ἀνάγει, ταῦτά εἰσι τὰ καθαρὰ καὶ καλὰ πρὸς διαίταν, τὰ δὲ δασυποδεύοντα ἀκάθαρτα τὰ πάντα. ἵπποι, ὄνοι καὶ κάμηλοι πρὸς τὴν ὑπηρεσίαν, ἐλέφας καὶ μονόκερως πρὸς τέρψιν τῶν ἀνθρώπων, ὕαινα καὶ κορκόδειλος, λεόπαρδος καὶ λέων, ὁ ἄρκος καὶ ὁ λύκος δέ, θηρία αἱμοβόρα, οὐδὲν τούτων ηὐλίζετο ἔνδον τοῦ παραδείσου, εἰ μὴ μόνος ὁ ἄνθρωπος, χειρῶν θεοῦ τὸ ἔργον. Ἀδὰμ ὁ πρῶτος ἄνθρωπος χ[ειρὶ] θεοῦ ἐπλάσθη· ἐκ γῆς ἀφθάρτου πέπλασται βουλῇ τοῦ παντεπόπτου, τὸ σῶμα δὲ σὺν τῇ ψυχῇ αὖθις ἀναλαμβάνει, οὐχὶ τὸ σῶμα πρότερον καὶ ὕστερον τὸ πνεῦμα, καθὼς ληρεῖ ὁ δυσσεβὴς καὶ ἄφρων Ὠριγένης, ἀλλ' ἅμα τὰ ἀμφότερα· καὶ γέγονε τὸ ζῷον λογικὸν ὄντως καὶ θνητὸν κατὰ τὸ γεγραμμένον. καὶ ἡ γυνὴ ἐκ τῶν πλευρῶν αὐτοῦ ἀνεγεννήθη, αὐτὸς γὰρ ἐπροφήτευσε περὶ αὐτῆς καὶ εἶπεν· «ὀστοῦν ἐκ τῶν ὀστέων μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου· αὕτη οὖν ἐστί μοι γυνή, ἐξ ἐμοῦ γὰρ ἐλήφθη.» Ἐν παραδείσῳ τέθειται δεσπόζειν τῶν κτισμάτων, ἑνὸς δὲ ξύλου μὴ φαγεῖν, ἐξ οὗ γεννᾶται μόρος. αὐτοῦ δὲ παρακούσαντος ἐγεύσατο τοῦ ξύλου· τῇ τοῦ ὄφεως συμβουλῇ, γυναικὸς ἐπηρείᾳ, ἐξηπατήθη βεβρωκὼς τὴν ἐνήδονον βρῶσιν· ἰσοθεΐαν φαντασθεὶς ἐκπίπτει τῆς ἐλπίδος καὶ ἐγυμνώθη τῆς τρυφῆς τοῦ ζωηροῦ χωρίου, ῥάψας δὲ φύλλα τῆς συκῆς τὴν γύμνωσιν καλύπτει. Πρωῒ δὲ ἔνδον εἰσελθὼν ὥρᾳ ἕκτῃ ἐξῆλθεν καὶ ἐξεβλήθη τῆς τρυφῆς τοῦ ζωηροῦ χωρίου. ἀπέναντι ἐκάθισεν εἰς τόπον τοῦ κλαυθμῶνος. ἐκεῖ γὰρ μέλλει ὁ θεὸς κρῖναι τὴν οἰκουμένην· ὁ ποταμὸς δὲ τοῦ πυρὸς πρὸ τοῦ βήματος ἕλκει τοῦ καταφλέξαι ἅπασαν τὴν ὕλην τῆς ἠπείρου, ἐν ᾧ δοκιμασθήσεται ἡ τῶν ἀνθρώπων φύσις· ἐκεῖ πάντες ὑφέξομεν δίκην τῶν ἐσφαλμένων, καὶ οἱ μὲν γίνωνται ὡς φῶς, ἄλλοι δὲ ὡς ζοφώδεις. ὁ παράδεισος γάρ, φησίν, εἰς ἀνατολὴν κεῖται, αὐτὸς δὲ τούτου ἐκβληθεὶς ἦλθεν ἐν τῇ κοιλάδι. Δακρυρροῶν δὲ ὁ Ἀδὰμ ἑαυτὸν ἀπεθρήνει· «οἴμοι, τί πέπονθα ἐγώ; ἐκδυθεὶς τὸ χιτῶνα, τὴν θεοΰφαντον στολήν, γυμνὸς αἴθριος πέλω, κῴδια περιβέβλημαι ὡς γήινα φρονήσας. οἴμοι, γλυκὺ παράδεισε, πῶς σου ἀπεχωρίσθην; οἵας δόξης ἐστέρημαι διὰ τὴν ἀκρασίαν. οὐκέτι ἀπολαύσομαι τῆς τερπνῆς ὡραιότης, οὐδὲ πάλιν ἀκούσομαι τῶν ἀγγέλων τοὺς ὕμνους. ἀκάνθας καὶ τριβόλους μοι ἡ γῆ ἀναβλαστάνει, τῇ δρόσῳ περιρρέομαι παντοδαπῶς τὸ σῶμα, τὸ πρόσωπον καταβραχῶ τοῦ ἐσθίειν τὸν ἄρτον. ἀλλὰ καὶ μετὰ θάνατον εἰς τὸν ᾅδην ὑπάγω.» Θανὼν δὲ μέσον τέθαπται τῆς γῆς ἐξ ἧς ἐλήφθη. τριάκοντα καὶ ἐννακὸς Ἀδὰμ ἔζησεν ἔτη, καὶ οὕτως ἐτελεύτησεν ταφεὶς ὑπὸ ἀγγέλων· μέσον τῆς γῆς ἐτάφη δὲ ἐξ ἧς καὶ προελήφθη, καὶ μετὰ τὸ θανεῖν αὐτὸν εἰς ᾅδην ἀπελείφθη. ἁπλώσας χεῖρας ὁ πικρὸς καὶ ἀκόρεστος Ἅιδης τοῦτον κατέκλεισε φρουραῖς τῆς δεινῆς παννυξίας. τετράσχιλοι καὶ ἐννακὸς τριάκοντα καὶ τρία ἔτη αὐτὸν κεκράτηκεν ὡς αὐτοῦ ὑπακούσας. Ἀλλ' ὁ θεὸς ὁ ἅγιος ἀφάτῳ εὐσπλαγχνίᾳ κατέβη κλίνας οὐρανοὺς τοῦ σῶσαι τὸν γενάρχην, πεντάσχιλοι καὶ πεντακὸς ἔτη παραδραμόντα. γεννᾶται τοίνυν ὁ Χριστὸς ἐκ παρθένου ἁγίας, δούλου μορφὴν ἐνδύεται ἐξ ἀπειράνδρου κόρης. παρθένος αὐτὴ ἔτεκε καὶ ἔμεινε παρθένος,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὑπῆρχεν δὲ ἡ ἄμωμος καὶ θεόπαις Μαρία, ἐκ τῆς πατρίδος Ἰεσσαὶ καὶ Δαυὶδ τοῦ προφήτου. Ἰωακεὶμ καὶ Ἄννα δὲ ἔτεκον τὴν παρθένον. τρία ἔτη ἐτράφη δὲ ἡ παῖς ἐν τοῖς γονεῦσιν καὶ ἐννέα εἰς τὸν ναὸν ἄρτῳ ἐπουρανίῳ. Καὶ Ἰωσὴφ ὁ δίκαιος ἐμνηστεύσατο ταύτην. διὰ τοῦτο οὖν γέγονεν ὁ τρόπος τῆς μνηστείας, ἵνα λάθῃ τὸν δράκοντα, τὸν ἄρχοντα τοῦ σκότους. ἀκούσας γὰρ ὁ πονηρὸς τῶν φωνῶν Ἡσαΐου, ὅτι παρθένος τέξεται Ἐμμανουὴλ παιδίον, ἐτήρει, ἐπεσκέπτετο ἁπάσας τὰς παρθένους, καὶ εἰ ἠδύνατο λαβεῖν τὸν τρόπον τῆς λοχείας, ἐξέχεε ἂν τὸν ἰὸν ἐπὶ τῷ γεγονότι· ἀλλ' ἔλαθεν τὸν πονηρὸν ἡ τοῦ θεοῦ σοφία καὶ ἔμεινεν ὁ ἀσεβὴς ὅλως κατῃσχυμμένος. Γαβριὴλ ὁ ἀρχάγγελος ἐστάλη οὐρανόθεν εἰς Ναζαρέτ, ἐπέστη δὲ ὅπου ἦν ἡ παρθένος, καὶ τὸ «χαῖρε» ἐβόησεν τῇ κεχαριτωμένῃ, «χαῖρε», λέγων, «θεόνυμφε, χαῖρε, εὐλογημένη· ὁ κύριος ἐλεύσεται ἐν σοὶ τῇ παναγίᾳ.» καὶ αὐτίκα συνέλαβε τὸν πρὸ αἰώνων λόγον καὶ ἔτεκεν ἄνευ ἀνδρὸς τὸν κτίστην τῶν ἁπάντων, μὴ ὁμιλήσασα ἀνδρὶ ὕστερον οὔτε πρῶτον. Τριακοστὸς δὲ γεγονὼς ὁ ἄχρονος ὑπάρχων ὡς ἄνθρωπος βαπτίζεται ἐν ῥείθροις Ἰορδάνου. Ἰωάννης ὁ πρόδρομος ἐβάπτισέν τε τοῦτον, Πέτρος καὶ Ἰωάννης δὲ ὁ μέγας θεολόγος τὴν ἁγίαν καὶ ἄμωμον Μαρίαν τὴν παρθένον. ἡγίασεν δὲ Χριστὸς τὴν φύσιν τῶν ὑδάτων καὶ τῶν δρακόντων ἔτριψεν τῶν πονηρῶν τὰς κάρας. Τρία ἔτη διέτριψεν μετὰ τῶν ἀποστόλων, τρία ἔτη σὺν μαθηταῖς, ὁμοῦ δὲ καὶ τρεῖς μῆνας. ἄπειρα θαύματα ποιεῖ, εὐθέως ἐσταυρώθη. ὕδωρ οἶνον ἐποίησεν ἐν Κανὰ Γαλιλαίας· ἐν θαλάσσῃ ἐβάδισεν ὥσπερ ἐπὶ ἐδάφους· τοῖς ἀνέμοις ἐπέταξε, καὶ γέγονε γαλήνη· πέντε ἄρτους εὐλόγησεν εἰς πέντε χιλιάδας καὶ ἐχόρτασεν ἅπαντας σὺν γυναιξὶ καὶ τέκνοις· τοὺς λεπροὺς ἐθεράπευσεν, ἰάσατο αἱμόρρους· παράλυτον συνέσφιγξεν, ἔσωσε δαιμονῶντας, καὶ ἄλλα πλεῖστα θαύματα· εὐθέως ἐσταυρώθη. Ἐν τούτῳ γὰρ καὶ ὁ Ἀδὰμ τὴν ἐντολὴν παρέβη, καὶ τοῦ κόσμου ἡ ἔναρξις ἐν τούτῳ ἐγεγόνει. καὶ μαρτυρεῖ τῶν βοτανῶν καὶ τῶν δένδρων τὰ ἄνθη, εὐωδιάζει ἅπας δὲ ὁ περίγειος κόσμος, καὶ κελαδοῦν τὰ πετεινὰ ἐναρμόνιον μέλος, ἡ γῆ δὲ ἀνεβλάστησεν εὐωδέστατα ἄνθη, ἡ τρικυμία παύεται ἡ πολλὴ τῆς θαλάσσης, οἱ ἰχθύες ἀγάλλονται καὶ σκιρτῶσι δελφῖνες, κινοῦνται δὲ καὶ τὰ κτήνη πρὸς τὴν τεκνογονίαν, ἀλλὰ μὴν καὶ ὁ ἄνθρωπος γονορροεῖ ἐντεῦθεν, ἰσημερία γίνεται καὶ τοῦ ἡλίου ὧδε, ὅπου ἡ κάρα τοῦ Ἀδάμ, ὁ Χριστὸς ἐσταυρώθη. Τὸ ὄνομα τὸ τοῦ Ἀδὰμ τετράστοιχον ὑπάρχει, περικυκλοῦν, ὡς ἔοικεν, τὴν τετράστοιχον κτίσιν, ἀνατολὴν καὶ δύσιν τε, ἄρκτον καὶ μεσημβρίαν. αὐτοῦ γὰρ ὀλισθήσαντος ποτὲ ἐν παραδείσῳ καὶ τὰς πέντε μολύναντος αἰσθήσεις ἐν τῷ ξύλῳ, ἀκουστὸν τοῦτο γέγονε πάσῃ τῇ ὑφ' ἡλίῳ καὶ ᾄδεται ἕως τοῦ νῦν καὶ ἕως συντελείας. θέλων δὲ ὁ γλυκύτατος Ἰησοῦς ὁ σωτήρ μου ἰάσασθαι τὸ ἄλγημα Ἀδὰμ τοῦ πρωτοπλάστου τοῦ ἐξαλεῖψαι τὴν πικρὰν καὶ ἐνήδονον βρῶσιν, εἰς ὅπλον [τετρα]κέρατον ἑκουσίως ὑψώ[θη], [ἡ]γία[σεν] δὲ ἅπασαν τὴν τετράστοιχον κτίσιν, ἀνατολὴν καὶ δύσιν τε, ἄρκτον καὶ μεσημβρίαν, ἣν ἀσάλευσεν τοῦ Ἀδὰμ ἡ παράβασις τότε. Αὐτοῦ γὰρ τὸ πανάγιον καὶ σεβάσμιον σκῆπτρον μέλλει ἔμπροσθεν ἔρχεσθαι Ἰησοῦ τοῦ σωτῆρος τοῦ ὑψωθέντος ἐν αὐτῷ ἑκουσίᾳ βουλήσει καὶ τὰς χεῖρας ἐκτείναντος, κεφαλὴν καὶ τοὺς πόδας, ὅπερ ἔπρεπεν ὁ Ἀδάμ, ἀσφαλῶς κρεμασθῆναι, τοῦτο πέπονθεν ὁ σωτὴρ διὰ φιλανθρωπίαν. ὑπὲρ αὐγὰς ἡλιακὰς τότε μέλλει ἐκλάμψαι τὸ σκῆπτρον τὸ βασιλικόν, σταυρὸς ὁ ζωηφόρος, ἐν τῇ δευτέρᾳ καὶ φρικτῇ ἐλεύσει τοῦ σωτῆρος, καταφωτίζων ἅπασαν τὴν τετράστοιχον κτίσιν καὶ φλογίζων τοὺς δαίμονας καὶ σατὰν τὸν φθορέα, τὸν τὸν Ἀδὰμ φθονήσαντα καὶ ποιήσας σφαλῆναι. ἴσως ἀξιωθείημεν τὸν σταυρὸν προσκυνῆσαι καὶ τὸν σωτῆρα Ἰησοῦν τὸν ἐν αὐτῷ παγέντα, αἶνον καὶ δόξαν ᾄδοντες αὐτοῦ εἰς τοὺς αἰῶνας Μέσον γὰρ γῆς εἰργάσατο ὁ κτίστης σωτηρίαν, ἡγίασεν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δὲ τὸν Ἀδὰμ ἡ τοῦ αἵματος χύσις καὶ τὴν κτίσιν ἐκάθαρε τὴν λίαν ῥυπωθεῖσαν. [.........] κατη[...]το δι' ἄκραν εὐσπλαγχνίαν [ῥομ]φαίαν ἐγκατέπηξεν εἰς καρδίαν τοῦ [Ἅιδου]. εἰς Ἅιδου τὰ βασίλεια γυμνὸς εἰσεληλύθει, ἀλλ' ἡ θεότης ἔμεινεν ἀχώριστος τῶν δύο. ἐκεῖσε τοίνυν κατελθὼν ψυχῇ τεθεωμένῃ, αἱ τῶν ἀγγέλων στρατιαὶ τοῦτον περιεκύκλουν· ταῖς ἐνδοτέραις ἔλεγον τάξεσι τῶν δαιμόνων, «ἄρατε πύλας, ἄρατε, ὁ βασιλεὺς γὰρ ἥκει, ὁ βασιλεὺς ἐλήλυθεν, ὁ κύριος τῆς δόξης, τοῦ καταλῦσαι τὰς ὑμῶν ἀρχὰς καὶ ἐξουσίας.» ὡς ταῦτα εἶδεν ὁ πικρὸς καὶ ψυχοφθόρος [Ἅι]δ[ης], τὴν βασιλικὴν δύναμιν ἄρ[δην ἀ]πενεκρώθη, οἱ δὲ πονηροὶ δαίμονες τὴν ἰσχὺν τῶν ἀγγέλων πεζεύοντες ἐκ τῶν ψυχῶν εἰς φυγὴν ὑπεχώρουν· τὰ ὅπλα ῥίπτοντες αὐτῶν πρηνεῖς ἔπιπτον πάντες. ὁ δὲ παντάναξ κύριος τῇ αὐτοῦ δυναστείᾳ πύλας χαλκᾶς συνέτριψεν, μοχλοὺς σιδηροῦς θλάσας, καὶ τὸν Ἅιδην ἐνέκρωσεν δεσμοῖς τοῖς αἰωνίοις· τὸν Ἀδὰμ ἠλευθέρωσεν καὶ πάντας τοὺς [δικαί]ους καὶ τοῦτον ἐπανήγαγεν εἰς τὴν πρῴην [πατρίδα]. [.............................................]

## 56 Τοῦ ὑπερτίμου Μιχαὴλ τοῦ Ψελλοῦ Ἀναγκαῖον καθέστηκε τοῖς ἱερεῦσι πᾶσι τοῦ γνῶναι τὰ μυστήρια τῆς θείας λειτουργίας, πόθεν ἀρχὴν εἰλήφασι καὶ τίς ὁ ταῦτα δείξας καὶ τί τἀποτελούμενον καὶ πῶς καὶ τίνι τρόπῳ καὶ τίνα μισθὸν ἔχουσιν οἱ μετέχοντες τούτων.

Ἀρχιερεὺς αἰώνιος Μελχισεδὲκ ὁ πρῶτος παρὰ Δαυὶδ εἰσάγεται πρὸς τύπον τοῦ κυρίου· καὶ γὰρ αὐτὸς προσέφερε θεάρεστον θυσίαν, ἄρτον, οἶνον, τὸ πρότερον Ἀβραὰμ ἀπαντήσας. Ὁ κύριος μετέπειτα τοῖς μαθηταῖς δειπνήσας λαβὼν ἄρτον εὐλόγησε καὶ παρέδωκε λέγων, «λάβετε τοῦτο, φάγετε, σῶμά μου γὰρ ὑπάρχει.» ὁμοίως τὸ ποτήριον εὐχαριστήσας εἶπε, «πάντες ἐκ τούτου πίετε, τὸ γὰρ αἷμά μου πέλει»· καὶ πρόσταγμα προσέθηκε τοῖς σοφοῖς ἀποστόλοις, «εἰς τὴν ἐμὴν ἀνάμνησιν» εἰπὼν «τοῦτο ποιεῖτε.» ὅθεν ἀκολουθήσαντες ἡμεῖς τοῖς εἰρημένοις καὶ βεβαίως πιστεύσαντες τὸ σῶμα τοῦ κυρίου γενέσθαι κατ' ἀλήθειαν ἐκ τῶν προειρημένων, ὅπερ πάντως καὶ γίνεται καὶ ταὐτὸ τοῦτο πέλει, καθώσπερ παρελάβομεν παρ' αὐτῶν καὶ κρατοῦμεν. καὶ γὰρ Δαυίδ που ἔφησε, «προσφορὰν οὐ θελήσεις, σῶμα δὲ κατηρτίσω μοι», τὸ τοῦ κυρίου πάντως· σαφέστερον ἐδήλωσε τῶν θείων μυστηρίων τὴν θείαν ἀποκάλυψιν τὴν μέλλουσαν γενέσθαι. Τὸ δὲ πῶς ἁγιάζεται τοῦτο τὸ σῶμα μάθε. πρῶτον μὲν πάντως ἄνθρωπον ἐν βίῳ δεῖ γενέσθαι, δεύτερον δέ γε γράμματα πρὸς λόγου κοινωνίαν, τρίτον ἄρτον καὶ οἶνόν τε ὕδατι κεκραμένον, καθάπερ παρελάβομεν ἐκ πλευρᾶς τῆς ἁγίας, καὶ Μάρκος ὡς ἐδήλωσεν αὐτοῦ τῇ λειτουργίᾳ καὶ πρότερον Ἰάκωβος ὁ ἀδελφὸς κυρίου. ὅπερ πάντως καὶ γίνεται τούτων ἤδη παρόντων· καὶ γὰρ καὶ δι' ἐντεύξεως, ὡς ὁ Παῦλος διδάσκει, καὶ τῆς ἐπιφοιτήσεως τοῦ πνεύματος ἁγίου ξένως μεταπεποίηται εἰς σῶμα τοῦ κυρίου, καὶ καθὼς αὖ προέφησεν ὁ θειότατος λόγος, ὅθ' «ὅσα ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, ὑμεῖς πάντως καὶ λήψεσθε χωρὶς ἀμφιβολίας.» οὗτινος οἱ μετέχοντες καλῶς καὶ θεαρέστως ἓν δὴ πάντως γενήσονται, ὡς ἓν ἐξ ἀμφοτέρων, ὡς δὴ προεμαρτύρησεν ὁ ψαλμῳδὸς προφήτης. Κἀντεῦθεν οἱ θειότατοι καὶ θαυμαστοὶ πατέρες, εἰς ἓν σῶμα συνάγοντες τὰ τῆς οἰκονομίας, τοῖς λαοῖς τοῖς μετέπειτα μέχρι τῆς συντελείας ταύτην ἐγγράφως ἔδωκαν τὴν θείαν λειτουργίαν, μνείαν ποιεῖν παρέδωκαν τῶν θείων μυστηρίων, ἀπ' αὐτῆς τῆς ἐφίξεως Γαβριὴλ πρὸς παρθένον μέχρι τῆς ἐμφανίσεως τῆς Χριστοῦ παρουσίας· εἰ καὶ χαλεπὸν πέφυκεν ἕκαστον τῶν τοιούτων ἀναγαγεῖν εἰς ἔνδειξιν καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λεπτὴν θεωρίαν. καὶ γὰρ ἓν ἀναφέρεται δυσί, τρισὶ πολλάκις, ὥσθ' ὁ κατατεμνόμενος τὰ λόγια τὰ θεῖα καὶ τῶν συμβόλων τῶν αὐτῶν ὡς σεσηπός τι μέλος καταλιμπάνων ἀπρεπῶς, ὡς περιττὸν νομίσας, σῶμα μὲν οὐ πεπλήρωκεν οὐδ' ἱερεὺς ὑπάρχει. Ταῦτα μὲν πρὸς διέγερσιν τοῦ νοῦ πρὸς τὸ νοῆσαι τὰ σοφὰ καὶ δυσνόητα τῶν θείων μυστηρίων· καὶ δὴ συντόμως μάνθανε τὴν ἀλήθειαν ὅλην. δεῖ πρῶτον τὸν θεμέλιον ποιεῖν εὐαρμοζόντως, καὶ τότε πρὸς ἐπάνωθεν οἶκον οἰκοδομῆσαι καὶ παντὸς ἄλλου πράγματος ὕλην προϋποστῆσαι, καὶ τότε τὸ προκείμενον εἰς πέρας παρεισάγειν. οὕτω καὶ βεβαιότερον ἐνταῦθα δεῖ γενέσθαι πρότερον μὲν τὴν πρόθεσιν, καὶ τότε παρεισάγειν τὰς προσευχὰς καὶ τὰς εὐχὰς τῆς θείας λειτουργίας μέχρι τέλους ἐπάνωθεν τῶν δὴ προτιθεμένων. καὶ γὰρ λέγεται πρόθεσις ἀπὸ τοῦ «προτιθέναι» καὶ δεικνύειν τὰ μέλλοντα παρ' αὐτῇ συμπληροῦσθαι. Ἡ προσφορὰ λαμβάνεται πρὸς τύπον τῆς παρθένου, τὸ δέ γε προσφερόμενον ἐξ αὐτῆς μικρὸν μέρος τὸ σῶμα τὸ τρισέντιμον τοῦ θεανθρώπου λόγου τὸ γεννηθὲν παρίστησιν ἐξ αὐτῆς τῆς παρθένου. καὶ κἂν τρεῖς θυσιάζωνται, καὶ πλέον, ὡς ἐδόκει, ἁμαρτιῶν εἰς ἄφεσιν ζώντων καὶ τεθνεώτων, ἀλλ' ὅμως ἁγιάζονται, καθὼς προειπομέν πως, κἀκ τούτων ἓν συγγίνεται σῶμα τὸ τοῦ κυρίου. Ἡ δ' αὖ ἁγία πρόθεσις τὴν φάτνην προμηνύει ἐν ᾗ Χριστὸς κατέκειτο γεννηθεὶς ἐκ παρθένου. Τὸ θυμίαμα πέφυκε τύπος τῶν ἀρωμάτων ἅπερ αὐτῷ προσέφερον οἱ μάγοι προσκυνοῦντες. Ὁ δὲ πάλιν διάκονος ὁ ταύτην ἑτοιμάσας τοῦ ἀρχαγγέλου Γαβριὴλ εἰκόνα παρεισφέρει τοῦ τῇ παρθένῳ λέξαντος «χαῖρε, εὐλογημένη»· ἢ τοῦ προδρόμου δείκνυσιν Ἰωάννου εἰκόνα, «μετανοεῖτε» λέγοντος, «καὶ γὰρ ἡ βασιλεία τοῖς βροτοῖς ὄντω ἤνοικται τῶν οὐρανῶν τοῖς πᾶσιν». ὁ δ' ἱερεὺς ἀρχόμενος τῆς θείας λειτουργίας ἰσότυπος καθέστηκε τοῦ θεανθρώπου λόγου. Αἱ δ' αἰτήσεις λεγόμεναι παρὰ τοῦ διακόνου, ἄνωθεν δήπου τὴν ἀρχὴν τῆς εἰρήνης ποιοῦντος, τὸν ἀριθμὸν ἰσάριθμον τῶν θειοτάτων νόων, τῶν χερουβίμ, τῶν σεραφίμ, θρόνων, κυριοτήτων, ἐξουσιῶν, δυνάμεων, ἀρχῶν καὶ ἀρχαγγέλων καὶ τῶν ἀγγέλων τῷ χορῷ καὶ τῶν βροτῶν ἁπάντων. Αἱ τρεῖς στάσεις σημαίνουσι τῶν θείων ἀντιφώνων τό γε τριακοντάχρονον τοῦ θεανθρώπου λόγου ἐξ αὐτῆς τῆς γεννήσεως μέχρι τῆς κολυμβήθρας, ἐν τρισὶ διαιρούμενον τελείαις ταῖς δεκάσιν, ὥσπερ δηλοῖ καὶ τῆς αὐτῶν ἀκολουθίας τρόπος· τὸ γὰρ πρῶτον περαίνεται «τῆς μητρὸς ταῖς πρεσβείαις», τὸ δεύτερον ἀνάγεται «πρεσβείαις τῶν ἁγίων», ὁ δ' «ἐν ἁγίοις θαυμαστὸς» τὸ τρίτον παρεισάγει. Ἡ δ' εἴσοδος φανέρωσιν δηλοῖ τὴν τοῦ κυρίου, Ἰορδάνου δ' αἰνίττεται καὶ τὴν ἔλευσιν πάντως, ὡς συμφωνοῦσι τῶν ψαλμῶν τῶν ἁγίων οἱ λόγοι. Ὁ δ' ὕμνος ὁ τρισάγιος δηλοῖ τὰς ὑποστάσεις τοῦ τε πατρὸς καὶ τοῦ υἱοῦ καὶ πνεύματος ἁγίου, κἂν ἐφ' ἑκάστου τῶν τριῶν ἁρμόζῃ παραδόξως· καὶ γὰρ ἕκαστος ἅγιος καὶ ἰσχυρὸς ὑπάρχει καὶ σὺν τούτοις ἀθάνατος καὶ θεὸς καὶ δεσπότης. Κἀντεῦθεν ἡ ἀνάγνωσις τῶν θείων ἀποστόλων, ἥτις δηλοῖ τὴν ἐκλογὴν τῶν θείων ἀποστόλων. Ὁ δ' ὕμνος ἀλληλούια τὸ τριττὸν περιέχει αὐτῶν τῶν ὑποστάσεων τῆς ἁγίας τριάδος. Ἡ δὲ σφραγὶς ἣν εἴωθεν ὁ ἱερεὺς ποιεῖν τε οἱονεὶ κατασφράγισμα προφητικῶν λογίων. Τὸ δὲ πάλιν θυμίαμα τὴν δεδομένην χάριν τοῖς μαθηταῖς τοῦ πνεύματος δηλοῖ παρὰ τοῦ λόγου, ὅτε τούτους ἀπέστειλεν ἰᾶσθαι πᾶσαν νόσον· ἑπτάκις δὲ προσφέρεται τῇ θείᾳ λειτουργίᾳ ὅτι καὶ τὰ χαρίσματα πνεύματος τοῦ ἁγίου, ὥσπερ ἐγγράφως εἴδομεν, ἑπταχῶς διαιροῦνται. Τὸ σεπτὸν εὐαγγέλιον τὸ κήρυγμα δεικνύει καὶ τοὺς νόμους οὓς ἔθηκεν ἡμῖν ὁ παντεπόπτης. Αἱ μετὰ τὸ εὐαγγέλιον εὐχαί τε καὶ δεήσεις αἱ μέχρι τοῦ χερουβικοῦ παρεμφαίνουσιν ὕμνου τὴν ἐπὶ χρόνοις τοῖς τρισὶ Χριστοῦ διδασκαλίαν καὶ τὴν τῶν πρὸς τὸ βάπτισμα προσευτρεπιζομένων, δι' ἧς τούτοις κατήχησεν ἡ δύναμις τοῦ λόγου, καὶ θαυμάτων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐνέργεια συνεφείλκετο τούτοις. Κἀντεῦθεν ἡ μετάθεσις τῶν θείων μυστηρίων πρὸς τὸ θυσιαστήριον τὴν ἀπὸ Βηθανίας τὴν Ἰησοῦ εἰσέλευσιν τὴν εἰς Ἱερουσαλὴμ φέρει καὶ σταυροῦ τε τὴν ὕψωσιν καὶ τάφον τοῦ κυρίου. Ὁ δ' ὕμνος ὁ ψαλλόμενος παρακελεύει πάντας τὸν νοῦν προσεκτικώτερον ἔχειν καὶ μέχρι τέλους ὡς βασιλέα μέλλοντας ὑποδέχεσθαι πάντων. Ἡ δὲ νίψις ἐδήλωσε τοῦ Πιλάτου τὴν νίψιν, ὡς «ἀθῷός εἰμι» φήσαντος «ταύτης τῆς κακουργίας». Μετὰ δὲ ταῦτα ἐπεύχεται ὁ ἱερεὺς γενέσθαι τὴν θυσίαν εὐπρόσδεκτον τῷ θεῷ καὶ δεσπότῃ· κἀντεῦθεν ἡ ἐκφώνησις τὸν ἀσπασμὸν κελεύει καὶ πᾶσαν ἐξορίζεσθαι ψυχῆς μνησικακίαν. «Τὰς δὲ θύρας» ἐντέλλεται «πρόσσχωμεν ἐν σοφίᾳ», τουτέστιν, ἃς προσέξωμεν, καὶ γὰρ ὁ παντοκράτωρ τῷ πατρὶ παραδίωσι τὸ θειότατον πνεῦμα. ἡ τῶν θυρῶν δὲ σύγκλεισις οἶμαι δηλοῖ τὸ σκότος τηνικαῦτα γενόμενον δύνοντος τοῦ ἡλίου, τὸ δέ γε θεῖον σύμβολον τῶν τότε κεκραγότων τὴν θείαν ὁμολόγησιν τοῦ θεανθρώπου λόγου. Κἀντεῦθεν τὴν ἀνάστασιν τὴν θείαν εἰκονίζει «στῶμεν καλῶς» ὁ ἄγγελος βοῶν «καὶ μετὰ φόβου» καὶ κηρύττων τὴν ἔγερσιν διὰ τοῦ διακόνου· καὶ τῷ τριττῷ τῆς λέξεως αὐτῆς τῆς τριημέρου ταφῆς προσεπεσήμανε τοῦ θεοῦ καὶ δεσπότου. οἱ δὲ πιστοὶ τὸν ἔλεον καὶ εἰρήνην προσφέρειν θεῷ προσεπαγγέλλονται, αἰνέσεως θυσίαν. ὁ δ' ἱερεὺς «προσέξωμεν», ὡς ἔφην ἀνωτέρω, καὶ «ἡ θεοῦ βοήθεια μετὰ πάντων ὑμῶν ἔσται»· ὁ δὲ λαὸς ἐπεύχεται, «μετὰ τοῦ πνεύματός σου». «ἐκ τῶν γηΐνων ἄρωμεν ἡμῶν καὶ τὰς αἰσθήσεις», ὅθεν καὶ τὴν ἀπόκρισιν δέχεται περὶ τούτων, «ἔχομεν πρὸς τὸν κύριον» τῶν πάντων ἐκφωνούντων. καὶ πάλιν «ἀναπέμψωμεν εὐχαριστίαν» λέγει «κυρίῳ τῷ θεῷ ἡμῶν»· ὁ λαὸς «πρέπον» λέγει. Κἀντεῦθεν προσευχόμενος τῷ τρόμῳ καὶ τῷ φόβῳ καὶ τῷ θεῷ προσομιλῶν μυστικῶς ἀναφέρει τὰ κεκρυμμένα πρότερον, νυνὶ φανερωθέντα διὰ τῆς ἐνδημήσεως τοῦ θεανθρώπου λόγου, τῶν χερουβὶμ τῶν σεραφὶμ βοώντων κεκραγότων θεῷ τὸν ἐπινίκιον καὶ τρισάγιον ὕμνον· ὁ δὲ λαὸς εἰς πρόσωπον τούτων βοᾷ καὶ λέγει, «εἷς θεὸς ὁ τρισάγιος, ὡσαννὰ ἐν ὑψίστοις, σῶσον δὴ ὁ ἐρχόμενος εἰς ὄνομα κυρίου.» καὶ γὰρ τὴν ὑπερκόσμιον καὶ νοερὰν τὴν τάξιν μιμοῦνται τὰ ἐπίγεια μυστικῶς, καταλλήλως. Ἐντεῦθεν κατὰ μίμησιν τοῦ θείου διδασκάλου τοῖς παροῦσιν ἐνδείκνυσι τὸν θυόμενον ἄρτον, ὁμοίως τὸ ποτήριον, λέγων μεγαλοφώνως, «ἐκ τούτου πάντες πίετε, τὸ γὰρ αἷμά μου πέλει». Ἔνθεν μνείαν ποιούμεθα τῶν θείων μυστηρίων, ἅπερ ἡμῖν παρέδωκαν οἱ ἅγιοι πατέρες καὶ μᾶλλον οἱ ἀπόστολοι, ταῦτα προσενεχθῆναι ἐκ τῶν αὐτῶν καὶ δι' αὐτῶν, διὰ παντὸς καὶ πάντων. Καὶ πάλιν προσευχόμενος καὶ σφραγίζων τὰ δῶρα εὐδοκίᾳ καὶ χάριτι τοῦ θεοῦ πατρὸς μόνου καὶ τῇ βουλήσει τοῦ θεοῦ καὶ θεανθρώπου λόγου καὶ τῇ τοῦ θείου πνεύματος αὐτοῦ ἐπιφοιτήσει τελειοῖ τὰ προκείμενα θαυμαστῷ τινι τρόπῳ, καὶ ποιεῖ τὴν ἀνάμνηοιν περὶ τριῶν προσώπων· τῶν ἁγίων τὸ πρότερον καὶ πάντων τῶν δικαίων, «ὧν ὁ θεὸς ἐπίσκεψαι ἡμᾶς ταῖς ἱκεσίαις, ἐξαιρέτως δὲ μάλιστα τῆς παρθένου Μαρίας», καὶ σὺν τούτοις τὸ δεύτερον πάντων κεκοιμημένων ἐλπίδι ἀναστάσεως ζωῆς τῆς αἰωνίου, ἵν' ὁ θεὸς ἀνάπαυσιν αὐτοῖς παραχωρήσῃ, καὶ τρίτον παντὸς τάγματος ζώντων καὶ διαγόντων τῆς ὀρθοδόξου πίστεως ἐν σεμνῇ πολιτείᾳ. τῶν εὐχῶν τριῶν αἴτησις ἀποδεικνύει τοῦτο. Καὶ πάλιν προσευχόμενος ἀνυμνεῖν καὶ δοξάζειν μιᾷ ψυχῇ τοὺς ἅπαντας τὴν ἁγίαν τριάδα διακελεύεται τρανῶς, ὅπως ἡ χάρις ἔλθῃ καταξιῶσαι μετασχεῖν τῶν θείων μυστηρίων· «καταξίωσον, δέσποτα», βοῶν «ἀκατακρίτως τολμᾶν ἐπικαλεῖσθαί σε, τὸν θεὸν καὶ πατέρα», «πάτερ ἡμῶν μονώτατε» λέγειν μεγαλοφώνως. κἀκείνοις μόνον δίκαιον τὸ «πάτερ ἡμῶν» λέγειν, τοῖς μετὰ τοῦ βαπτίσματος θεῷ ἀκολουθοῦσι· «ἁγιασθήτω τοὔνομα» τοῦ θεανθρώπου λόγου, οἱ μὴ διαπραττόμενοι παράνομον ἐν βιῷ· «ἐλθέτω ἡ βασιλεία σου» οἱ φεύγοντες τὰ κάτω, τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ τυράννου χαρμονὴν καὶ θλῖψιν παθημάτων· καὶ κυρίου «τὸ θέλημα» παρακαλεῖ «γενέσθαι» ὁ διὰ πράξεων καλῶν τοῦτο παραδεικνύων· «ἄρτον τὸν ἐπιούσιον» αἰτεῖ λαβεῖν αὐτάρκως ὁ μὴ παρέχων ἑαυτὸν ἡδοναῖς ταῖς τοῦ βίου· «ἄφες ἡμῖν ὀφείλημα» οἱ μὴ μνησικακοῦντες καὶ τοῖς αὐτῶν προσπταίουσι συγγινώσκοντες πάντα· «εἰς πειρασμὸν» μὴ ῥίπτεσθαι μηδ' ὅλως εἰς κινδύνους οἱ μήθ' αὑτοὺς ἐμβάλλοντες εἰς πειρασμοὺς μήτ' ἄλλους· «ἀπὸ τοῦ πονηροῦ ῥύεσθαι» οἱ καταπολεμοῦντες καὶ πρὸς αὐτὸν ἐγείροντες τὸν σατανᾶν τὴν μάχην· καὶ «σοῦ ἐστιν ἡ δύναμις, βασιλεία καὶ δόξα» οἱ πρὸς θεὸν ἐκφεύγοντες ἐξ ὅλης τῆς καρδίας. Καὶ πάλιν προσευχόμενος εὐχαριστίαν ἄγει εἰς καλὸν τὰ προκείμενα πᾶσιν ἐξομαλίσαι οἰκτιρμοῖς τε καὶ χάριτι τοῦ θεανθρώπου λόγου, καὶ κατελθεῖν ἐπάνωθεν ὁ παρὼν ἀοράτως μεταδοῦναι τοῦ σώματος αὐτοῦ καὶ τοῖς παροῦσι καὶ τοῦ τιμίου αἵματος παρακαλεῖ καὶ λέγει, «τοῖς ἁγίοις τὰ ἅγια»· δηλοῖ δὲ τοῦ κυρίου τὴν ἁγίαν ἀνάληψιν τὴν τρισέντιμον λίαν. οἱ δὲ παρόντες λέγουσιν ἔνθεν μεγαλοφώνως, «εἷς μόνος καὶ πανάγιος ὁ κύριος τῆς δόξης, Χριστὸς ὁ ὑπεράγαθος, ὁ χωρὶς ἁμαρτίας.» Καὶ μετὰ τοῦτο διαιρεῖ τὸ σῶμα τοῦ κυρίου· εὐθέως ὁ διάκονος λέγει πρὸς τοῦτον πάλιν, «τὰ δῶρα ταῦτα, δέσποτα, πλήρωσον ὥσπερ θέμις». τὸ δ' ἓν μέρος συμμίγνυται αἵματι τῷ ἁγίῳ, δηλοῖ δ' ὅτι συνήνωνται τῷ θεανθρώπῳ λόγῳ οἱ δικαίως συζήσαντες ἐν τῷ παρόντι βίῳ· τὸ δ' αὖ δεύτερον γίνεται μερὶς ὅλου τοῦ κλήρου, δηλοῖ δ' ὅτι ἐλπίζομεν ἡμεῖς αὐτοῖς συνεῖναι καὶ σὺν αὐτοῖς συζήσομεν εἰς πάντας τοὺς αἰῶνας· τὰ δὲ δίσκῳ λειπόμενα, τὸ μὲν προσφέρει τύπον τῶν ἀτελῶν, ὃ τίθεται πάλιν ἐν ποτηρίῳ, δηλοῖ δ' ὅτι συνέσονται οὗτοι σὺν τοῖς ἁγίοις ἐν ἡμέρᾳ τῆς κρίσεως δι' εὐχῶν τῶν δικαίων· τὸ δ' αὖ τέταρτον πέφυκε τοῦ λαοῦ κοινωνία. Ὅθεν καὶ ὁ διάκονος τούτους πρὸς κοινωνίαν μετὰ φόβου καὶ πίστεως καλεῖται τὰ ἀγάπης τοῦ προσελθεῖν ἐνώπιον τῆς Χριστοῦ βασιλείας. ὁ δ' ἱερεὺς εὐχόμενος εὐχαριστίαν πέμπει τῷ καταξιώσαντι τῶν θείων μυστηρίων τοὺς αὐτοῦ δούλους ἅπαντας, τῷ θεανθρώπῳ λόγῳ. καὶ λαβὼν τὸ ποτήριον ἔνθεν πρεπωδεστέρως στρέφεται πρὸς τὴν πρόθεσιν καὶ τίθησιν ἐπάνω, ὅπερ δηλοῖ τὴν μέλλουσαν τοῦ λόγου παρουσίαν. Καὶ πάλιν προσευχόμενος αἴτησιν παρεισάγει, «δέσποτα» λέγων «ὁ θεὸς ὁ μόνος παντοκράτωρ, τὸν σὸν λαὸν εὐλόγησον, τὴν σὴν κληρονομίαν, καὶ τὸ πλήρωμα φύλαξον τῆς θείας ἐκκλησίας».

## 57 Στίχοι Κωνσταντίνου καὶ σεβαστοῦ τοῦ Ψελλοῦ κατὰ Λατίνων

Ἡμιτέλεστοι Χριστιανοὶ οὖν ὦσι· πλεῖστοι γὰρ αὐτῶν οὐ χρίονται τῷ μύρῳ, ἐπίσκοποι γὰρ τούτων ὡς φίλοι δόξης οὐ παρέχουσι τοῖς πρεσβυτέροις μύρον, ὅθεν μένουσιν ἀμύρωτοι οἱ πλείους. Θύται δὲ αὐτῶν οὐδόλως ἀναργύρως μεταδίδωσι τῷ λαῷ κοινωνίαν, πωλοῦντες αὐτὴν ὡς Ἰούδας τὸν λόγον. Ἄνευ διακόνων δὲ καὶ κλήρου ὅλου θύουσιν αὐτῶν οἱ θύται τὰς θυσίας, ὑπὲρ νεκρῶν θύοντες οἱ παραθύται, ἃς καὶ καλοῦσι μυστικὰς λειτουργίας, εἴργοντος αὐτοῖς τοῦτο αὐτῶν τοῦ νόμου, καθὼς Ἰωάννης ὁ Δαμάσκου ἔφη· καὶ τοῦτο πάντως ἐκ μόνης φειδωλίας, ὡσὰν ἀφ' ὧν μὲν λαμβάνωσιν οὐδόλως δίδωσί τισιν ἀγνοοῦντες διδόναι, χεῖρας δὲ αὐτῶν ἐκτεταμένας πάντῃ ἔχοντες οἷδε πρὸς τὸ λαμβάνειν μόνον. Χρίουσι γοῦν καὶ ἀρητῆρας ἀνήβους, χρίουσι τοίνυν διγάμους καὶ τριγάμους· Παῦλος δὲ τοῦτο ἀθετεῖ καὶ ἐκτρέπει. Πάντες δέ εἰσιν εὐλογήσεως ἄτερ· θύται γὰρ αὐτῶν ἀντίδωρον οὐδέπω νέμουσιν αὐτοῖς ὡς ἑῴας οἱ θύται, φειδωλίαν ἔχοντες ὑπὲρ ἀνθρώπους. Νοσοῦσι δ' ὑπὲρ τὸν σατὰν ἀπιστίαν· ὁ μὲν γὰρ ἄρτους ἐκ λίθων τὸν δεσπότην ἔφη δύνασθαι αὐτομάτως ποιῆσαι, οὗτοι δὲ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Χριστοῦ τὴν δύναμιν ἀρνοῦνται, πόθεν, λέγοντες, ἄρτος αὐτῷ ζυμίτης, ζύμης ἀπούσης τοῦ πάσχα ταῖς ἡμέραις δι' ἅπερ ἠπείλησε Μωσῆς ἐν νόμῳ; καὶ τὴν ἐνέργειαν δὲ τῆς ἐργασίας εἴργει ὁ Μωσῆς σαββάτου ἐν ἡμέρᾳ· ἀλλ' ὡς θεὸς νόμου τε καὶ τοῦ σαββάτου καὶ Μωσέως δὲ καὶ προφητῶν ἁπάντων ὁ Χριστὸς ἐν σάββασιν αἴρειν προὔτρεπεν βαστάγματα καὶ θαυματουργεῖν εὐδόκει. πόθεν δὲ αὐτῶν τῇ ἐγέρσει, εἰπάτω, ὁ ἄρτος ὃν προὔθηκε τοῖς ἀποστόλοις καὶ κηρίον μελισσίων ἢ ἰχθύες, τοῖσιν ἔτι [...] συναναστραφεὶς τότε; ἀλλὰ δύναται πάντα ὡς θεὸς πάντων εἰδώς τε ἐξ ὧν βούλεται ἑτοιμάζειν ἐν οἷς τόποις μὲν εὐδοκεῖ καὶ παρέχει. Παρανόμως θύουσι δ' ὡς Ἰουδαῖοι, τοῦ πνεύματος φήσαντος ἐν Δαυὶδ τότε ἄζυμος ἄρτος ὡς <ὁ> Μωσῆς συγγράφει. ἄρτος μὲν ἦν πρῶτον γὰρ ἐκ Μελχισεδέκ, ἀζύμων δ' ἀρχὴν ἔσχεν ἐκ Λώτ, ὡς λόγος· ὁ οὖν θύων ἄρτον κατὰ Χριστὸν θύει καὶ κατὰ τοῦ Μελχισεδὲκ μάλ' εἰκότως, ὁ δ' ἀζύμους θύων μὲν εἰς ἐκκλησίαν οὐκ ἔστι τῆς χάριτος, ἀλλὰ ῥανίδος, τοῦ ἁγίου πνεύματος εἰπόντος τότε τάξει θύειν μὲν τοῦ πάλαι Μελχισεδέκ. οὐ γὰρ ἔφησε κατὰ τάξιν τοῦ νόμου, οὐ Μωσέως δὲ καὶ Ἀαρὼν τῶν πάλαι, ἀλλὰ κατὰ Μελχισεδέκ, καθὼς ἔφην. Μελχισεδὲκ τάξιν δὲ ποίαν συγγράφει περιτομῆς οἴεσθαι ἢ χρῖσιν λέγειν; ἄπαγε τούτων, οὐδὲ ἓν γὰρ σημαίνει· τούτοις γὰρ ἐχρήσατο οὗτος οὐδόλως, ἀλλ' ἢ μόνη αὐτῷ ζυμίτη θυσία, ἀκμὴν ἀπόντων ἐν βίῳ τῶν ἀζύμων. Ὁ τοίνυν ἀζύμους θεῷ θύων ἄρτους, καὶ πικρίδας ἔξεστιν αὐτῷ ἐσθίειν, ἄνευ γὰρ αὐτῶν ἀτέλεστος θυσία τῶν ἀζύμων πέφυκε κατὰ τὸν νόμον. ὄψα γάρ εἰσι πικρίδες τῶν ἀζύμων, ὡς τῇ ἐγέρσει κηρίον μελισσίων· αἱ μὲν τὸ πικρὸν τυποῦσι γὰρ τοῦ νόμου, ἤγουν τὸ ἀσύγγνωστον αὐτοῦ δηλοῦσι, πταίουσι πᾶσιν ἀντιπάθειαν νέμων, τὸ κηρίον δὲ τὸ γλυκὺ τοῦ κυρίου, ὃς οὐ θάνατον, ἀλλὰ τὴν σωτηρίαν θέλει ἁπάντων τῷ θεῷ προσκρουόντων. ὁ οὖν τὸ θύμα προσφέρων ἐξ ἀζύμων ὑπὸ σκιὰν πέφυκεν ἀκμὴν καὶ σκότος καὶ ἥλιον μὲν εἶδεν οὐδαμῶς ἔτι τὸν τῆς δικαιότητος, ὡς πᾶς τις φάσκει, γνόφος γὰρ ἠμαύρωσεν αὐτῶν τοῦ νόμου καὶ ἀνανῆψαι οὐκ ἐᾷ τούτους ὅλως. ἡ ἀζύμων γὰρ νεκρά ἐστι θυσία, κίνησιν οὐκ ἔχουσα ἐν ζύμῃ ὅλως, νεκρὸν θύμα γὰρ οὐ προσάγεται ὅλως, Παύλου βοῶντος ζῶσαν αὐτὴν προσφέρειν, ζῶσα δέ ἐστιν ἡ κινουμένη ζύμῃ. νεκρὸν θύμα γὰρ τυγχάνει τῶν ἀζύμων, τῶν ἀζύμων ἄζωος ἐστὶ γὰρ φύσις ἡ ζυμίτη δὲ ζῶσά {δέ} ἐστι θυσία. ἐγὼ γάρ εἰμι, φησὶ Χριστὸς τοῖς μύσταις, ὁ ἄρτος ὁ ζῶν καὶ καταβὰς ἐκ πόλου, βροντῆς καθώς μοι μαρτυρεῖ θεῖος γόνος. ζῶν ἄρτος ἐστὶν ἡ ζυμίτη θυσία, δηλαδὴ <ἡ> ζῶσά τε καὶ κινουμένη, ἡ μὴ κινουμένη δὲ μηδόλως φύσις, οἵα πέφυκεν ἡ δυσικὴ θυσία, πῶς ζωτικὸς κληθήσεται ἄρτος λέγε, ὢν ἀσάλευτος καὶ ἀκίνητος πάντῃ. ὅθεν τυποῖ σίτῳ μὲν ἡμῶν οὐσίαν καὶ τῇ σεμιδάλει δὲ τὴν θείαν φύσιν· τούτων δὲ προσκολλωμένων τῶν φύσεων ἓν κατὰ Παῦλον πνεῦμα ὦμεν σὺν θεῷ. αὕτη γάρ ἐστιν ἀντὶ χάριτος χάρις, μικρὰ προσάγειν καὶ μεγάλα λαμβάνειν· οὕτω γὰρ οἶδε Χριστὸς ἡμᾶς ἀμείβειν, ἤγουν λαβεῖν μὲν φθαρτὰ ἀντὶ ἀφθάρτων. Τὴν οὖν ζυμίτην θυσίαν οἱ Λατῖνοι οὐ παρέλαβον ἀγνοοῦντες καὶ μόνον· λέγουσι καὶ γὰρ μὴ ἀγαθὸν σημαίνειν ὅλως ζύμην μὲν ἐν γραφαῖς ταῖς ἐνθέοις, λέγοντος αὐτοῖς τοῦ σοφοῦ Αὐγουστίνου εὐαγγέλιον ἐξισοῦσθαι τῇ ζύμῃ, καὶ ἡ χάρις πάλιν δὲ τοῦ Διαλόγου τὴν σύνεσίν τε καὶ γραφῶν δὲ τὴν γνῶσιν ζύμην κέκληκεν, ὡς ἐγὼ δείξω πᾶσιν. αἰνίττεται δ' ὃ καὶ ὁ σωτὴρ ἐκδήλως, σατῶν τριῶν τε καὶ γυναικὸς καὶ ζύμης, ὃ ἄλλο τί πέφυκεν ἢ ἡ θυσία, ἣν προσφέρουσι Χριστιανοὶ κυρίῳ, τὴν ἐκ ζύμης μέν φημι καὶ τῶν ἀζύμων; ἡ μὲν γάρ ἐστιν ἐξ ὑλῶν τῶν τεσσάρων, ἡ ἀζύμων δὲ ἐκ τριῶν, ὡς ἐρρέθη. καὶ ἀκροβυστίαν γε δεῖ περιτέμνειν, οὕτω τέλειος τοῖς νομίμοις γὰρ ἔσται. εἰ γὰρ μόνοις χρῶνται τοῖς ἄρτοις ἀζύμοις, λοιπὰ δὲ πάντα παρορῶσι τοῦ νόμου, ἡμιτέλεστοι τυγχάνουσιν Ἑβραῖοι καὶ ἡμίχριστοι Χριστιανοὶ ὡσαύτως. Μὴ οὖν λέγωσιν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μὴ ὑπάρχειν ζυμίτας ἐν τῷ σεβαστῷ καὶ πανεντίμῳ δείπνῳ δι' ἅπερ ἠπείλησ<ε> Μωσῆς ἐν νόμῳ, καθὼς ἄνω ἔφημεν ἐν προοιμίοις. καὶ πάσχα πάλιν τὴν μετάληψιν λέγειν νόμους φυγεῖν μὲν αὐτῷ ἀντικειμένους, ἱσταμένους μᾶλλον δὲ χρήσασθαι τούτῳ καὶ χεῖρε ῥάβδους κατέχοντας ἐσθίειν, ἔτι δὲ καὶ πέδιλα τοῖς ποσὶ τούτων, ὥσπερ προετρέψατο Μωσῆς ἐν νόμῳ. ἀλλ' οὖν ὁ Χριστὸς ὡς ἁπάντων δεσπότης, καὶ τοῦ νόμου τε καὶ προφητῶν ἁπάντων, ἀλλοδεῶς ἐχρῆτο τῇ ἀνακλίσει ἐκεῖ παρόντος τοῦ κακόφρονος τότε καὶ πάντα ἀθροῦντος μὲν εἰς πανουργίαν. Καὶ πωγωνοκουροῦσι δ' εἰκῇ καὶ μάτην· οἱ γὰρ δοκοῦντες ὑπεραίρειν τοὺς πάντας τῇ τῶν γενείων δηλαδὴ κουρᾷ μόνῃ καὶ πᾶσιν ἄλλοις τοῖς νομίμοις ἀλόγως νῦν εἰσιν εἰς ὄνειδος αὐτῶν καὶ γέλων, ἀσκοῦντες ἐν σάββασι καὶ τὰς νηστείας, οὐ προσφόρως μὲν ἢ ὅλως καταλλήλως. καὶ γὰρ ὁ σωτὴρ οὐ γενειάδα τότε τέτμηκεν οὔτε σάββασιν ἤσκει πάλιν νηστείαν, ὥσπερ ἴσμεν οἱ λόγων πλήρεις, κἂν τοὺς μαθητάς φησι νηστεῦσαι τότε δι' ἥνπερ ἔσχον ὑπεράμετρον λύπην. Ἀλλ' ὁ νόμος πέφυκε τοῖς Χριστωνύμοις ἐκ συλλογ<ισμ>ῶν παραλαμβάνειν τύπους, στοιχεῖν δὲ μᾶλλον πράξεσι τοῦ κυρίου, οὗ ἡ πολυθαύμαστος ἡμῶν τυγχάνει χάρις προφανῶς εἰς ὑφήλιον πᾶσαν. εἴπερ δέ τισι συλλογισμοῖς ληπτέον, [τὰ αἰν]ίγματα καὶ ἄληπτα τῇ φύσει λέξω προφανῶς ἐν τάχει, ἀλλ' ὡς δέον. Χριστὸς τὸν ἄρτον τοῦτον ὃν προσάγομεν σάρκα μὲν ἰδίαν τε καὶ σῶμα καλεῖ. σὰρξ τυγχάνει δὲ τοῦ τελείου ἀνθρώπου, ἐκ τεσσάρων μὲν εἰκότως τῶν στοιχείων, τὸ ἄζυμον δὲ μὴ ὂν ἐκ τῶν τεσσάρων αὐτοὺς ἐλέγχει Χριστομάχους τυγχάνειν, μειοῦντας ὥσπερ Χριστὸν ἐν τοῖς ἀζύμοις, ὡς τὴν τελειότητα τοῦ ἀρνουμένου. ὁ μὲν γάρ, ὡς ἔφημεν, ἐκ τῶν τεσσάρων πέφυκεν ὄντως καὶ ὑπάρχει στοιχείων, καθὼς ὁ ἄρτος ἐστὶν ἐξ ἰσαρίθμων, ζύμης, ὕδατος, ἅλατος καὶ ἀλεύρου· ὁ ἄζυμος δὲ οὐσιῶν ὡς ἐκ τριῶν, ἢ ἐξ ὕδατος, ἅλατος καὶ ἀλεύρου. πάντα γὰρ ἦσαν ἐλλιπῆ τῶν Ἑβραίων, περιτομή, ἄζυμα, ἀμνὸς καὶ νόμος, ἀνθ' ὧν ἅπαντα τὴν θεραπείαν τούτων ᾐτοῦντο λαβεῖν ἐκ προνοίας τῆς ἄνω· ἡ μὲν τομῆς τε τὴν ἴασιν καὶ ἕλκους, ἅτινα συμβαίνουσιν αὐτῇ ἐκ ξίφους, ζύμη δὲ αὖθις τὴν τελείωσιν ταύτην, ἀμνὸς δὲ θύμα τοῦ ἀναιμάκτου ἀμνοῦ, νόμος δὲ πάλιν σφαλμάτων τὴν συγγνώμην. ἅτινα πάντα ἡ θεοῦ παρουσία ἰάσατο κράτιστε ὡς θεὸς πάντων, δοὺς ἀντὶ <τῆς> περιτομῆς τὴν βάπτισιν, ἀντὶ δὲ θύματος τελείου τὴν ζύμην, Μελχισεδὲκ κράτιστε κυρῶν θυσίαν εὐγνώμονος δούλου μὲν οἷα δεσπότης. μόνος γὰρ <οὗτος> τῆς καθ' ἡμᾶς θυσίας πέφυκε πάντα, πρῶτος θύτης ἐν πᾶσι, καὶ ἀντὶ ἀμνοῦ τοῦ νόμου τοῦ Μωσέως τέθυκεν ἀμνὸν ἀμόλυντον ἐν πᾶσι, τὴν σάρκα πάντως τὴν ἑαυτοῦ τὴν θείαν. καὶ ἀντὶ τοῦ νόμου δὲ τοῦ ἀσυγγνώστου (πᾶσι γὰρ αὐτῶν ἀντιπάθειαν νέμει, συγγνώμην οἷς σφάλλουσιν εἰδὼς οὐδόλως) δέδωκε θείας συμπαθείας τὸν νόμον, ἅπαντα πληρῶν ὡς τέλειος ἐν πᾶσι, θείᾳ τέ φημι καὶ βροτείᾳ τῇ φύσει. Ὁ γὰρ ζυμίτας προσφέρων τῷ κυρίῳ, οὗτος μιμεῖται τοῦ θεοῦ τὴν θυσίαν· ὁ ἄζυμον θύων δὲ Χριστῷ θυσίαν ὑπὸ σκιὰν πέφυκεν ἀκμὴν καὶ νόμον μὴ ἀνανήψας οὐδαμῶς ἐκ τοῦ γνόφου. ἁπλῆν γὰρ οἰηθέντες αὐτῶν θυσίαν Χριστῷ ὑποκρούουσι, κἂν λεληθότως, ἁπλοῦν φρόνημα τὸν αὐτὸν οὐ [......]. οἱ συνθέτως δὲ προσκομίζοντες ταύτην, οὗτοι ἀμέμπτως ἀτενίζουσι τούτῳ, διπλοῦν καταγγέλλοντες αὐτὸν ὑπάρχειν καὶ λίθον ἀκρόγωνον αὐτὸν τυγχάνειν οἷα θεόν τε καὶ παλαιᾶς καὶ νέας. διπλοῦν δὲ πάσχα ἐκτε[λεῖ] ὁ δεσπότης ἐν τῇ σεβαστῇ ἑσπέρᾳ τῇ τοῦ πάθους, τὸ τοῦ νόμου μέν, καὶ πάλιν τῆς χάριτος. Χριστὸς τέλος νόμου γάρ, ὡς Παῦλος γράφει, καθὼς ὁ θεῖος χρυσεπώνυμος ῥήτωρ καὶ ὁ προεστὼς τῆς Κύπρου μαρτυροῦσιν, ὁ μὲν λόγῳ μὲν τῆς σεβασμίου πέμπτης, ὁ δὲ κράτιστα τῷ μεγάλῳ σαββάτῳ. τὸ μὲν γὰρ οἱ ἀπόστολοι ἡτοίμασαν, καὶ τοῦ χάριν μὲν πυνθάνονται τοῦ λόγου, «ποῦ σοι τὸ πάσχα εὐτρεπίζεσθαι θέλεις;» καὶ γὰρ τὸ ἡμῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτὸς ὑποδεικνύει, ὁ τῆς παλαιᾶς δεσπότης καὶ τῆς νέας, τὸ μὲν καταργῶν ὡς ἀπίθανον τοῦτον καὶ μὴ ἐνεργοῦν πρὸς βροτῶν σωτηρίαν, τὸ δὲ κρατύνων ὡς κραταιὸς δεσπότης, εἰ καὶ τὸ πάσχα παρέδραμον Ἑβραῖοι δι' ἥνπερ ἔπραττον μιαίφονον πρᾶξιν, δῆθεν θέλοντες μὴ μιανθῆναι ταύτῃ, οἱ παμμίαροι τοῖς μιάσμασι πᾶσι. Χριστὸς δὲ τοῦτο ἐκτελεῖ κατ' ἀξίαν ἐν τῇ νομικῇ τῆς ἑορτῆς ἑσπέρᾳ, ὁ πάντα τηρῶν ἐννόμως καὶ δικαίως οἷα θεός τε καὶ παλαιᾶς καὶ νέας. ἀνθ' ὧνπερ οὐκ ἄζυμος ἄρτος ἦν τότε, προὔθηκεν ὅνπερ τοῖς μαθηταῖς ἡ χάρις, ληροῦσιν ὥσπερ <Λατῖν>οί τε καὶ Φράγκοι, ἑορτάσαντες ἡμέρας μετὰ δύο, οἱ Χριστομάχοι καὶ ὅλως μιαιφόνοι μετὰ τὸ Χριστὸν πασχάσαι κατὰ νόμον, φύλαξ ὑπάρχων καὶ προφητῶν καὶ νόμου, σπεύδοντες ὥσπερ πρὸς τὸν ἄδικον φόνον. παράνομον γάρ ἐστιν ἀζύμοις χρῆσθαι πρὸ τῆς ἑορτῆς τοῦ πάσχα τοῦ Μωσέως ἢ διττὰς ἡμέρας τε ἢ μίαν πάλιν, ἀλλ' ἢ μόνῃ μὲν τοῦ πάσχα τῇ ἑσπέρᾳ καὶ τῆς καθεξῆς μέχρι καὶ τῆς δευτέρας, καθὼς ὁ Μωσῆς ἀριδήλως συγγράφει. Ὅτι δὲ σαββάτου ὑπῆρχεν ἡμέρα, ὅταν τὸ πάσχα κατέφαγον Ἑβραῖοι, δηλοῖ ὁ γράψας ὑπὲρ ἅπαντας μόνος ταύτην μεγάλην ἀποκαλῶν ἡμέραν, καὶ τοῦ χάριν μὲν αὐλείας πραιτωρίου ἔνδον γενέσθαι ἠθέλησαν οὐδόλως, ὅπως μιασμοῖς μὴ μιανθῶσι τότε, ἀλλὰ φάγωσι τοῦ πάσχα τὴν θυσίαν. τίς οὖν ὁ ταῦτα μαρτυρῶν καὶ συγγράφων; βροντῆς ὁ υἱὸς ὡς ἀνωτέρω πάντων τῶν ῥητόρων τε καὶ ὅλων συγγραφέων. οὐδ' ἂν οὖν εἶπεν οὕτως αὐτὴν τυγχάνειν, εἰ μὴ προφάσει τοῦ πάσχα τοῦ ἀμώμου, πάντως ἐλέγχων τοὺς Λατίνους καὶ Φράγκους ἄνωθεν αὐτῶν τὴν ἄνοιαν προβλέπων καὶ ἣν ἔχουσιν ἀφροσύνην ἐν τούτοις.

## 58 Τοῦ σοφωτάτου Ψελλοῦ γεωμετρία διὰ στίχων

Μαθεῖν εἰ βούλει ἄριστα μέτρον τῶν χωραφίων, ὀργυίας πρῶτον νόησον, εἶτα καὶ τῶν σχοινίων τοῦ μέτρου τὴν ἀκρίβειαν, πρὸς δὲ καὶ γνωρισμάτων. εἰ δέ γε πάλιν διαγνῷς καὶ σχήματα τὰ τούτων, ἔσῃ γεωμέτρης ἄριστος σφάλλων οὐδὲν ἐν μέτρῳ. καὶ δὴ προσεκτικώτερον ἄκουσον καὶ μαθήσῃ. Ἐννέα σπιθαμὰς ἔχει τὸ τῆς ὀργυίας μέτρον σὺν παλαιστῇ, τῆς σπιθαμῆς τὸ τῆς ἑτέρας τρίτον. ὀκτὼ δὲ πρὸς τοῖς εἴκοσι οἱ παλαισταὶ προβάντες, σὺν τούτοις δὲ καὶ κόνδυλον, ἤτοι τὸν ἀντιχεῖρα, ἀποτελοῦσιν ἀκριβῶς τὸ τῆς ὀργυίας μέτρον. δι' ὧν τὴν σχοῖνον ἐκμετρῶν οὐκ ἀστοχήσεις μέτρου, ἥνπερ καὶ δεκαόργυιον ἐξακριβῶσαι δέον. Πολλοὶ δὲ καὶ τὰς δώδεκα μηκύνουσιν ὀργυίας, ἀρχῆθεν τοῦτο διδαχθὲν ἐξ ἀφθονίας τούτοις· καὶ τάχα τὸ πολύμετρον τῶν δυτικῶν κτημάτων τὸ ἀκριβὲς ἐφεύρηκεν ἐπὶ ταῖς δέκα μόναις, λήθην ὡς δῆθεν εἰληφὸς ἀρχαίων διδαγμάτων, ὁμοῦ δοκοῦντος μάλιστα μετρᾶν ἀπαρασφάλτως τὸν τῷ ἀρχαίῳ χρώμενον γεωμετρίας μέτρῳ. ἔστω δ' ὡς ἡ συνήθεια παρέλαβε τῶν νέων. Καὶ δὴ μετρᾶν ἀρξάμενος πρὸς τοὺς ἀέρας σκόπει καὶ γράφε τὰ γνωρίσματα πάμπαν ἠκριβωμένως, ἀρχὴν καὶ λῆξιν ἐκδηλῶν καὶ πρὸς ἀέρα κάμψιν· ὡς τὸ χωράφιον τόδε τοῦ δεῖνα τοῦ προσώπου ἀρχὴν λαβὸν ἀνατολῆς ἀπέρχεται πρὸς δύσιν, πρὸς μεσημβρίαν κλίνει δὲ ἄχρι τοῦ δεῖνα τόπου καὶ πάλιν εἰς ἀνατολὰς εἰς γνώρισμα τοιόνδε, πρὸς ἄρκτον αὖθις ἀνακλᾷ, ἄπεισι κατ' εὐθεῖαν, καταλαμβάνει γνώρισμα ὅθεν ἀρχὴν εἰλήφει, ἔνθα καὶ δένδρον ἵσταται εἰς γνώρισμα τοιόνδε. Ἰδοὺ καὶ τέσσαρες πλευραὶ ἰσομετροῦσαι ἄμφω, σχοίνων τὸ μέτρον ἔχουσαι κατ' ἄμφω ἀνὰ πέντε, ὅπερ ἐστὶ τετράγωνον τὸ σχῆμα γεωμέτραις· τὰ πέντε γνῶθι κεφαλήν, τὰ πέντε πόδας πάλιν. τὰ δ' ἀνὰ πέντε πλάγια τὸν πόδα ἐκδιώκων καὶ τῶν πλαγίων θάτερα ἐρώτα συμψηφίζων, τὰ δὲ περιλειφθέντα σοι πρὸς τὴν ὁμάδα πόσου ἥμισυ ταύτης δίωκε καὶ τὸ ποσὸν εὑρήσεις· πεντάκις πέντε γίνονται καὶ γὰρ εἰκοσιπέντε, ἥμισυ τούτων μοδισμὸν δηλοῖ τοῦ μετρουμένου, δώδεκα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γὰρ καὶ ἥμισυ ἐστὶ μοδίων τοῦτο. Σχῆμα δ' εὑρίσκων ἕτερον ἔχον τὸ μέτρον οὕτως, μίαν σχοῖνον πρὸς κεφαλὴν καὶ πέντε πρὸς τὸν πόδα, κατ' ἄμφω δὲ τὰ πλάγια τὰς ἀνὰ δέκα σχοίνους, τὰς τοῦ ποδὸς τῇ κεφαλῇ συμμίγνυέ μοι σχοίνους, τὰς τρεῖς δὲ κράτει κεφαλήν, τὰς τρεῖς ἐκδίωκέ μοι, πρὸς ἓν δὲ ταύτης ἐρωτῶν ἀμφοῖν ἐκ τῶν πλαγίων εὑρήσεις τὸ χωράφιον μοδίων δεκαπέντε. Τρίγωνον δ' αὖθις εὑρηκὼς χωράφιον ἢ τόπον ἔχον τὰς σχοίνους ἀνὰ τρεῖς ἐν ταῖς πλευραῖς κατ' ἄμφω, ἐννέα ταύτας ψήφιζε, καὶ τούτων τὰ ἡμίση ἐκ τοῦ ποδὸς ἐκδίωξε καὶ τοῦ ἑνὸς πλαγίου, ἥμισυ δ' αὖθις μέσαζε πρὸς κεφαλὴν καὶ πλάγια, κἂν εὕροις μέτρον μοδισμοῦ ἡμίσεος καὶ δύο. Εἰ δὲ στενὸν ἐπίμηκες χωράφιον εὑρήσεις ἔχον σχοινία κεφαλὴν καὶ πόδας ἀνὰ δύο, εἰσὶ δ' ἐπ' ἄμφω ταῖς πλευραῖς ἀνὰ σχοινίων δέκα, δὶς δέκα μέτρα ψήφιζε, καὶ τοῦτο δέκα εὕρῃς οὐκ ἔλαττον τὸ σύνολον τυγχάνον τῶν μοδίων. Στρογγύλον δ' αὖθις εὑρηκώς, ἅλωνα σχηματίζον, ἀρχὴν καὶ τέλος ἐκμετρῶν πρὸς ἕνα ποιοῦ τόπον· γῦρον δ' εὑρίσκων ἔχοντα σχοινία δεκαέξι, ἥμισυ τούτων δίωκε, ἥμισυ δ' ὑποκράτει, ἥμισυ δ' αὖθις ἐκμετρῶν πρὸς κεφαλὴν καὶ πλάτος εὑρήσεις τὸ χωράφιον ὀκτὼ μοδίων εἶναι. Εὑρίσκων δὲ χωράφιον ὡς ὑπογαμματίζον, ἐκτέμνων τὸ γαμμάτιον εἰς δύο μέτρα τοῦτο, λαβὼν δὲ τὴν διάγνωσιν τῶν δύο τεμαχίων εἰς ἓν ἀρίθμει τὸ ποσὸν ὅλα τοῦ γαμματίου· ὡς τὰ λοιπὰ ἐρώτησον σφάλλων οὐδὲν ἐν μέτρῳ. Εὑρὼν δ' αὖθις χωράφιον ἐν σχήματι τοιῷδε, ἔχον σχοινία κεφαλὴν τέσσαρα σὺν ἡμίσει, πρὸς πόδας δ' αὖθις δώδεκα καὶ ἥμισυ σχοινίου, τὴν κεφαλὴν ὀγδοήκοντα σὺν πέντε ταῖς ὀργυίαις, ἀν' εἴκοσιν εἰς πλάγια σὺν τέσσαρσιν ὀργυίαις, δυὰς δὲ καὶ τὸ πλάγιον σὺν τέσσαρσιν ὀργυίαις, εὑρήσεις ὀγδοήκοντα μοδίων τὸ τοιοῦτον σὺν ἓξ τε δὲ καὶ ἥμισυ λιτρῶν ὀκτὼ καὶ οὐ πλεῖον. Εἰ δέ γε εὕρῃς σκαληνὸν χωράφιον ἢ τόπον, ἐν ᾧ καὶ καγγελίζουσιν ὑδάτων αἱ γλυφίδες, μὴ ἀπορήσῃς παντελῶς τὸ μέτρον καταλεῖψαι, ἀλλ' ὡς γεωμέτρης ἄριστος πρὸς ἀμφότερα σκόπει· ἑκάστον τούτων δ' ἐκμετρῶν καὶ τὸ ποσὸν γνωρίσας εὑρήσεις τὴν ποσότητα ὅλου τοῦ περιμέτρου. Τύμβον δ' εὑρὼν ἐπίμαχον καὶ θέλων τούτου μέτρον κατανοῆσαι καὶ εὑρεῖν, γνωρίσαι δὲ τοῖς πᾶσιν, ἐκμέτρου τοῦτον γύρωθεν καὶ σχοινισμὸν ἀρίθμει, εἶτα τὸν τροῦλον σταύρωσον σχοινίῳ τῷ τῆς <.....>, καὶ γνῷς καὶ τὸ περίμετρον ὁπόσον τὸ τοῦ τύμβου. Μικρὸν δ' εὑρὼν χωράφιον πάμπαν ἐστενωμένον, ὀργυίαν ἔχον κεφαλὴν καὶ πόδα τρεῖς ὀργυίας, κατ' ἄμφω δὲ τὰ πλάγια τῆς ἀνὰ δέκα σχοίνους {δύο}, ἑκατὸν δὲ τὸ πλάγιον, καὶ οὕτως ἐρωτήσεις. δὶς γὰρ ἑκατὸν διακόσια τὸ μέτρον τοῦ μοδίου, ὀργυῖαι γὰρ διακόσιαι τὸ μέτρον τοῦ μοδίου, λίτρας ἐχούσης ἑκάστης ὀργυίας δὲ καὶ πέντε· λιτρῶν γὰρ τεσσαράκοντα τὸ μόδιον τυγχάνει, ἥμισυ τούτων εἴκοσι, τέταρτον λέγε δέκα, τὸ δ' ὄγδοον πεντάλιτρον ὑπάρχει τοῦ μοδίου. Σταυρὸν δ' εὑρὼν χωράφιον ἔκτεμνε τοῦτο πάλιν, καὶ τὰ τεμάχια μετρῶν τὰ τρία κατ' ἰδίαν εὑρήσεις τὸ περίμετρον τοῦ σταυροτύπου τόπου. ἀλλὰ καὶ ἡμισταύριον ὡς σχηματίζον τόπον ὑποτεμνέσθω καὶ αὐτὸ καὶ οὕτως ἐκμετράσθω. Ἐπεὶ δ' ἐκ μέτρου ἔμαθες τῶν ὀργυιῶν τὰς λίτρας καὶ τούτων αὖθις μοδισμόν, ποσότητα τοῦ τόπου, μάθε καὶ τὸ περίμετρον κτήματος ὁλοκλήρου. ἀπάρξου γράφε καθεξῆς τὰ σύνορα τοιῶσδε. ἀρχὴν λαβὼν ἀνατολῆς ἄπεισιν ὡς πρὸς δύσιν, καταλιμπάνον δεξιὰ τὰ δίκαια τοῦ δεῖνα, ἐν οἷς καὶ δένδρον ἵσταται, ἐλαία ἢ μυρσίνη <ἢ> ἔλατος ἢ πλάτανος, ἢ ποταμὸς ἢ ῥύαξ· ἄχρι δὲ τούτου εὕρηνται σχοινία δεκαπέντε. κλίνει δ' αὖθις, ἀνέρχεται ὡς πρὸς τὴν μεσημβρίαν, καταλιμπάνον δεξιὰ χωράφια τοῦ δεῖνα, καὶ κατ' εὐθεῖαν ἄπεισιν ἄχρι τοῦ τῇδε τόπου, ἐν ᾧ λαυρᾶτον ἵσταται λίθινον, κεχωσμένον, ἔχον σταυρὸν ἢ γράμματα ἢ γνώρισμα τοιόνδε· ἐν ᾧ καὶ τέλος εἴληφε τὰ ἑκατὸν σχοινία. στρέφεται πρὸς ἀνατολάς, κρατεῖ τὸν †δρόμον† δρόμον, τὸν δρόμον τὸν ἐρχόμενον ἀπὸ τοῦ δεῖνα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κάστρου. καταλιμπάνει δεξιὰ τὰ δίκαια τοῦ δεῖνα καὶ τοὺς κατ' ὄρδινον ἐκεῖ πεφυτευμένους δρύας, ἐν οἷς καὶ τύπος εὕρηται σχηματισθεὶς εἰς ὥραν, ἄνωθεν τούτου δὲ σταυρὸς εἰς γνώρισμα τοῖς πᾶσι. καὶ κατ' εὐθεῖαν ἀπιὼν ἄχρι τοῦ δεῖνα τόπου ἀποτελεῖ ποσότητα διακοσίων σχοίνων. εἶτ' ἀνατολικώτερον ἄπεισι πρὸς ὀλίγον καὶ καταντᾷ εἰς ἀγκάλισμα τοῦ ποταμοῦ τοῦ δεῖνα, ἐν ᾧ καὶ μέτρον εὕρηται σχοινίων δεκαπέντε. πρὸς ἄρκτον αὖθις ἀνακλᾷ, ἄπεισι κατ' εὐθεῖαν, καταλιμπάνει δεξιὰ ἀμπέλιον τοῦ δεῖνα καὶ καταντᾷ εἰς σύνορα τοῦ δεῖνα χωραφίου, ἐν ᾧ χωματοβούνιον παμπάλαιον εὑρέθη, ὅπερ ἀνακαινίζειν δεῖ εἰς γνώρισμα τοῦ τόπου, εἰς ἀληθείας δήλωσιν, εἰς ἄμαχον γειτόνων· σχοῖνοι κἀν τούτῳ εὕρηνται τριάκοντα καὶ πέντε. εἶτ' αὖθις πρὸς ἀνατολὰς ἄπεισιν ἀκουμβίζον εἰς σύνορον καὶ δίκαια τοῦ κτήματος τοῦ δεῖνα, ἐν ᾧ καὶ πέτρα εὕρηται μεγάλη ῥιζιμαία· μέτρον δ' ἐν τούτοις εὕρηνται σχοινία εἰκοσιπέντε. πρὸς ἄρκτον αὖθις ἄπεισι τὸν δρόμον τοῦ χωρίου τὸν κατερχόμενον εὐθὺ πρὸς τὴν ἀκτὴν θαλάσσης, καταλαμβάνει σύνορον ὅθεν ἀρχὴν εἰλήφει· ἐν ᾧ καὶ πάλιν εὕρηνται σχοινία δεκαπέντε. Ταῦτα τὰ μέτρα ἅπαντα <τὰ> τοῦ γυρομετρίου ἑκατοντάδες τέσσαρις σὺν πέντε τοῖς σχοινίοις, ἐξ ὧν ἀποδεκάτωσις αἱ τέσσαρες δεκάδες καὶ τὸ τοῦ σχοίνου ἥμισυ ὅλον τοῦ περιμέτρου. λοιπὸν οὖν τριακόσια ἑξήκοντα τυγχάνει καὶ τέσσαρα καὶ ἥμισυ ἡ ἀκριβὴς ποσότης, ἥμισυ τούτων δ' ἑκατὸν ὀγδοήκοντα δύο, πρὸς τούτῳ δὲ καὶ τέταρτον εἰς ἀριθμὸν τυγχάνον. ἅτινα κατὰ κεφαλὴν καὶ πλάγια ἐκτέμνων εὑρήσεις τούτων ἀριθμὸν τεσσάρων χιλιάδων καὶ ἑκατὸν πεντήκοντα σὺν τῷ ἑνὶ μοδίῳ καὶ δεκαπέντε δὲ λιτρῶν τέταρτον καὶ οὐ πλείω. Οἶδας, διέγνως, ἔμαθες τοῦ μοδισμοῦ τὸ μέτρον· καὶ πλέθρα ἐκδιδάχθητι, πρὸς δὲ καὶ χιλιάδας, ὅπως μὴ σφάλῃς οὐδαμῶς ἐν ἅπασι τοῖς μέτροις. πλινθίον πλέθρα λέγεται καὶ χιλιὰς ὡσαύτως· ἑκάστῳ δ' αὖ γε θέματι διαφορὰ τοῦ μέτρου, οὐ μὴν ἐν τῇ σπορίμῳ γῇ, ἀλλ' ἔν γε ἀμπελῶσιν. καὶ <..> ἑκάστη χιλιὰς τοῦ ἀμπελίου τόπου μοδίων πέντε τόπον γὰρ κατέχει ἐν τῇ δύσει, ἐν δέ γε τῇ ἀνατολῇ ποτὲ μὲν τοῦ μοδίου, ποτὲ δὲ τὸ πεντάλιτρον καλοῦσι χιλιάδα, καὶ μάλιστα οἱ ἔποικοι θέματος Ὀπτιμάτων. σὺ δ' αὖθις τὴν συνήθειαν κράτει τῶν ἐγχωρίων, καὶ ἀκριβῶς ἐξερευνῶν καὶ πόλεσι καὶ χώραις, ὡς εὕρῃς τὴν συνήθειαν, κέχρησο καὶ τῷ μέτρῳ καὶ παρασφάλῃς οὐδαμῶς οὐδὲ σκοποῦ ἐκπέσῃς. Εἰ δέ γε θέλεις ἐκμετρᾶν τόπον λιβαδιαῖον καὶ εὕρῃς μῆκος ἔχοντα σχοινία δεκαπέντε, τὸ δ' αὖ γε πλάτος εἴκοσι τοῖς μέρεσιν ἐπ' ἄμφω, μὴ πλανηθῇς, ὡς ἔμαθες, ἥμισυ καταλεῖψαι, ἀλλ' εἰκοσάκις ψήφιζε τὰ δέκα σὺν τοῖς πέντε· τοῦτον δ' εὑρήσεις, γίνωσκε, μοδίων τριακοσίων. οὐ γὰρ τὸ τούτων ἥμισυ ὀφείλεις καταλεῖψαι, ὡς ἄνωθεν δεδίδαξαι κρατεῖν καταλιμπάνειν, ἀλλ' ἔστω ἀπαράθραυστον τὸ μέτρον τῆς ὁμάδος. Θαλάσσης δ' αὖ γε δίκαιον μετρᾶν εἰ βούλει πάλιν, μὴ σχοίνῳ τὴν ἐκμέτρησιν εἰς πέλαγος ποιήσῃς· βραχεῖσα γὰρ τοῖς ὕδασιν ὑπάρχει βαρυτάτη καὶ πρὸς βυθὸν ἐπιρρεπής, καὶ κατ' ὀρθὸν οὐδ' ὅλως ποιήσεις μέτρον ὁπωσοῦν καὶ τὸν σκοπὸν ἐκπέσεις. τὰ δέ γε χόρτα συνδεσμῶν, ἃ λέγονται καὶ βροῦλα, ἔκτεινε ταῦτα ἐκ μακρῶν θαλάττης τοῦ πελάγου, κατά γε τὴν ἰσότητα ἴσως ἀκρωτηρίου ἢ νησιδίου τὸ τυχὸν ἢ κάστρου, καστελλίου· ὕστερον δ' αὖθις ἐκβαλὼν τῇ γῇ τε ἐφελκύσας καὶ τούτων τὴν ποσότητα τῇ σχοίνῳ ἐκμετρήσας, ὅσων δεσπότης τοιγαροῦν τῶν ὀργυιῶν τυγχάνει ἢ μονὴ ἢ μετόχιον, πρόσωπον ἢ χωρίον, καὶ οὕτω λύσεις ταραχὴν καὶ μάχην γειτονούντων. Ἐπεὶ δὲ ἔγνως ἀκριβῶς γνωρίσματα σχημάτων ἔτι <τε> τούτων ἀριθμοὺς καὶ μέτρα κατ' ἀξίαν, μάθε καὶ ὅσον ηὔξηται τὸ μέτρον τοῦ μοδίου. πολλοὶ γὰρ τὸ περίμετρον ποιοῦντες τοῦ χωρίου, ὡς ἄνωθεν προείπομεν, δέκα ὀργυίων σχοίνῳ, φιλοτιμούμενοί τισι τοῖς δώδεκα μετροῦσι καὶ μοδισμὸν ἐλάττονα τοῦ ὄντος ἐκτελοῦσι. καὶ τοῦτο πάντες πράττουσιν, οὐχὶ ἀσυλλογίστως, ἀλλ' ἀφορμὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τιθέμενοι τὸ ὀρεινὸν τοῦ τόπου ἢ τραχινὸν ἢ δύσβατον ἢ καὶ νομαδιαῖον. ἑτέρων μετρησάντων δὲ δέκα ὀργυίων σχοίνῳ πλείω πάντως εὑρίσκεται τοῦ μετρηθέντος τόπου. εἰ δέ γε μᾶλλον καὶ ψευδὴς ἡ προγραφὴ φανείη, τὸ ὀρεινὸν ἢ δύσβατον ἢ τραχινὸν τυγχάνει. ἐκ τούτων πάντων εὕρηται ὁ κεκρυμμένος τόπος. πολλοὶ δὲ μέτρῳ χρώμενοι εὐθεῖ γεωμετρίας ἀποσυλοῦνται σχοινισμὸν ἐκ δόλου τῶν μετρούντων. προσεκτικώτερον καὶ γὰρ τοῦ γεωμέτρου σχόντος, πρὸς σύνορα, γνωρίσματα καὶ τῶν λαυράτων θέσεις, οἱ ἐμπονοῦντες τὸ ποσὸν τῶν μετρουμένων σχοίνων ἀποσυλοῦσι σχοινισμὸν ἀμφοῖν ἐκ τῶν ἀέρων· τετράδεκα συλήσαντες ἐκ τῶν σχοινομετρίων ἀποτελοῦσι κτήματος τόπον ἐξ ὁλοκλήρου. Καὶ δὴ προσέχων ἄκουε καὶ τἀληθὲς εὑρήσεις. ὑπόθου ὡς ἐμέτρησας τὸν γῦρον τοῦ χωρίου καὶ εὗρες τοῦτον ἔχοντα σχοίνους ἑξακοσίους· ἥμισυ τούτων δίωκε, ἥμισυ δ' ὑποκράτει. ὀφείλεις ἐρωτῆσαι δὲ εἰς τὰ τέταρτα ταῦτα, εἶτα πολυπλασίασον ταῦτα ἐπ' ἀμφοτέρους, καὶ ἀποτελοῦσι μοδισμὸν μοδίων δισχιλίων ὀκτακοσίων δώδεκα καὶ ἥμισυ μοδίων. εἰ δὲ προσθήσεις ἐπ' αὐτοῖς σαράκοντα κλαπέντας. ἥμισυ τούτων δίωκε, ἥμισυ δ' ὑποκράτει. ὁμοίως οὖν ἐρώτησον εἰς τὰ τέταρτα ταῦτα, εἶτα πολυπλασίασον καὶ αὐτὰ ὡς ὁμοίως· εὕρῃς ἐν τῷδε σχοινισμῷ μοδίων τρισχιλίων διακοσίων ἐκ παντὸς ὅλον ἀποτελοῦντα, καὶ γνῷς ἐκ τούτου τὸ ποσὸν τῆς γῆς ἀποκρυβείσης· τριακοσίων ὀγδοήκοντα ἑπτὰ ἥμισυ ὑπάρχει, τυγχάνουσιν ἀμφότεροι μόδιοι οἱ κλαπέντες. Πολλοὶ δὲ σχοίνων τὸ ποσὸν κλέψαι μὴ δυνηθέντες ὡς τοῦ μετροῦντος ἄριστα προσέχοντος τὸ μέτρον, ὑπερπηδῶσι κλέποντες σφραγῖδας τὰς τῶν πάλων κἀκ τούτου κλέπτονται μέτρα, γνῶθι, τοῦ μετρημένου, καὶ θαῦμα γίνεται πολλοῖς ὡς ἄξιον θαυμάτων πῶς δὴ τὸ ἅπαξ μετρηθὲν εὑρέθη αὖθις πλέον. πολλοὶ δὲ πάλοις ἐν μακροῖς τὴν σχοῖνον ἐκμετροῦντες ἐν ᾗ τὰ μέτρα πράττουσι τὰ τῆς γεωμετρίας, ἐν τούτοις δολιεύονται μετὰ τοῦ μετρημένου, χεῖρα ἐχόντων τῆς κλοπῆς πάντως καὶ τῶν μετρούντων. τοῦ γὰρ κρατοῦντος ἔμπροσθεν προκύπτοντος τὸν πᾶλον καὶ τοῦ ὀπίσω κλίνοντος ὡς ἐξακολουθοῦντος, ζημία γίνεται πολλὴ ἐφ' ἑκάστῳ σχοινίῳ κἀκ τούτου μέτρα ηὔξηνται τὰ τοῦ διπλομετροῦντος. Τινὲς δ' ὀργυίας πλείονας τῶν σχοίνων εὑρηκότες, ὅσ' ἐξ ἀέρος μέλλουσιν ἐκκλῖναι εἰς ἀέρα, ταύτας ἀποδιώκουσιν ὡς δύσκολον τὸ μέτρον, ἔχοντες πάντως ἐν αὐτοῖς, καὶ πάμπαν ἀποκνοῦντες, τῶν σχοίνων τὴν ποσότητα ἐκκόψαι εἰς ὀργυίας· τῶν ἐρωτώντων σχοινισμόν, τὴν ἅπασαν ὁμάδα, εὑρήσεις τὸ περίμετρον τῶν κεκρυμμένων τόπων. Καὶ δὴ σὺ τούτοις πρόσεχε καὶ χρῶ δικαίῳ μέτρῳ. καὶ ὅτε μέλλεις ἄρχεσθαι τῶν μέτρων τῶν τοπίων, ἑτοίμασον τὴν σχοῖνόν σου καὶ δέσμωσον τοῖς πάλοις· τὸ περιττεῦον βούλλωσον ἐν ἀσφαλεῖ προσέχων, ὡς ἂν μὴ τὸ περίττευμα προσθήσωσι τῷ μέτρῳ καὶ εἰς μακρὸν ἐκτείναντες ἐκκλέψωσι τὸν τόπον, κἀκ τούτου σφάλῃς τοῦ σκοποῦ καὶ πέσῃς καὶ τοῦ μέτρου. οἱ πᾶλοι δ' ἔστωσαν κονδοί, ἐσχάτως δεδεμένοι· τῷ μὲν πρωτίστῳ ἔστω σοι ἀκολουθῶν τζαπόντης, καὶ σφραγιζέτω πλήρωμα καὶ πῆγμα τὸ τοῦ πάλου. ἔστω δ' αὐτῷ συνοπαδὸς πιστότατός σοι πάνυ, παρατηρῶν τὸν σφραγισμόν, ὑπερπηδήσας μή πως ὁ σφραγιστὴς προσάξῃ σοι ζημίαν ἐν τῷ μέτρῳ· τῷ δ' αὖ ἑτέρῳ ἕπου σὺ καὶ πρόσεχε, μὴ οὗτος ὑπερπηδῶν σφραγίσματος τὸ μέτρον ἀποκλέψει. ἕτερος δ' ἔστω ὀπαδὸς ὁ τὴν ὀργυῖαν φέρων, μεθ' ἧς ὀφείλεις ἐκμετρᾶν τὰ περιττὰ τῆς σχοίνου τὰ μὴ ποσοῦντα ἱκανοῦν ἐξ ὁλοκλήρου σχοῖνον, ἅπερ εὑρίσκονται τυχὸν πολλάκις ἐν τῷ μέτρῳ. ἐν ταῖς ἀέρων κάμψεσιν γνωρίσματα λαυράτων ἔστω καὶ χαρακάρια τὰς σχοίνους ἐκχαράσσων, ἵνα μὴ ταύτας κλέψωσιν οἱ μέτρα ἐκφωνοῦντες. ἔστω δὲ σχοῖνος ἔχουσα ὀργυίας δέκα μόνας· τὰς δέ γε περιττεύοντας ὀργυίας ἐν τῇ σχοίνῳ ἀρίθμει, μέτρα, ψήφιζε ἐν τῷ ποσῷ, τῶν σχοίνων. καὶ ἐρωτῶν ὡς ἔμαθες ὀργυίας πρὸς ὀργυίας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εὑρήσεις τὸ περίμετρον τοῦ μετρουμένου τόπου καὶ οὕτω τύχῃς τοῦ σκοποῦ καὶ οὐ ἀστοχήσεις μέτρου.

## 59 Περὶ τῶν δώδεκα ἀνέμων διὰ στίχων πολιτικῶν

Ἄνεμοι δώδεκά εἰσι, καὶ μάθε τούτων κλήσεις· ἀπηλιώτης εὖρός τε, εὐρόνοτος καὶ νότος, λιβόνοτος, λὶψ ἔπειτα, ζέφυρος καὶ θρασκίας (τινὲς ἀντὶ θρασκίου δὲ λέγουσι τὸν ἀργέστην) καὶ ἀπαρκτίας καὶ βορρᾶς καὶ μέσης καὶ καικίας. Ὅθεν δὲ τούτων ἕκαστος πνέει μαθεῖν εἰ χρῄζεις, τοῖς λεγομένοις πρόσεχε, καὶ τοῦ σκοποῦ σου τύχῃς. ἂν στῇς ὡς πρὸς ἀνατολὰς τὰς τοῦ ἡλίου βλέπων, τὰ δὲ ὀπίσθια τὰ σὰ ὦσί γε πρὸς τὴν δύσιν, πνεῖν ἐξ αὐτῆς ἀνατολῆς ἀπηλιώτην νόει κατὰ τὴν χώραν τῶν Ἰνδῶν, καὶ μετ' αὐτὸν τὸν εὖρον· πρὸς χεῖρα δὲ σὴν δεξιὰν καὶ δεξιὰ Ἰνδίας ἕξεις γε τὸν εὐρόνοτον, ὃς ἐκ Περσίδος πνέει καὶ τῆς θαλάσσης Ἐρυθρᾶς, πρὸς δὲ καὶ Ἀραβίας. ὁ νότος δ' ἐν Αἰθίοψιν αὐτοῖς καὶ Αἰγυπτίοις, τοῖς περὶ ἕω λέγω δέ, τὰς ἐκπνοὰς ποιεῖται· λιβόνοτος Λιβύην δὲ καὶ Αἴγυπτον χωρίζει· ὁ λὶψ δὲ κεῖται μετ' αὐτόν, πρὸς δύσιν τῆς Λιβύης, τὰ δεξιὰ πεπληρωκὼς γῆς μέρη τὰ πρὸς λίβα. ζέφυρος ἐναντίως δὲ ἀπηλιώτῃ πνέει, ἐκ τῶν Γαδείρων τε αὐτῶν καὶ Ἱσπανῶν Ἰβήρων. τὸν ζέφυρον τῆς ὄπισθεν σῆς ῥάχεως ἐπέγνως. νῦν δ' ἐκ τῶν ὄπισθεν μερῶν καὶ τῶν ἀριστερῶν τε πρὸς τὴν ἑῴαν χώρει μοι πάλιν ἐκ τοῦ θρασκίου· θρασκίας πνεῖ τὴν Βρεττανῶν καὶ Τυρσηνίδα χώραν, Ῥωμαίους δὲ καὶ Γερμανοὺς καὶ ἕτερα χωρία. μετὰ θρασκίαν δὲ αὐτὸν ὁδεύοντι πρὸς ἕω περὶ τὴν Θούλην ἄνεμος ὁ ἀπαρκτίας πνέει, συσφίγγοντες ἀμφότεροι Ῥωμαίους Ἰταλούς τε. μετ' ἀπαρκτίαν ὁ βορρᾶς Σκύθαις καὶ τῷ Εὐξείνῳ τοῖς Ὑρκανοῖς δὲ καὶ Κολχοῖς ὁ μέσης περιπνέει, καικίας δὲ τοῖς Ἡμωδοῖς ὄρεσι περιπνέει, ἃ κεῖται τοῖς ἀριστεροῖς μέρεσι τῆς Ἰνδίας. Οὕτως ἡμῖν ἠκρίβωται τὸ τῶν ἀνέμων γένος καὶ πρὸς τὸ καθαρώτερον ἐγράφη καὶ σαφές τε, ὅπως εἰδότες ἀκριβῶς τὰς τούτων ἐπικλήσεις καὶ πόθεν τούτων ἕκαστος καὶ ποίας ἐκπνεῖ χώρας γινώσκητέ μοι χάριτας ἀνθ' ὧν ὑμῖν εὐλήπτως σαφῶς τε παραδέδωκα τὴν περὶ τούτων γνῶσιν.

## 60 Τοῦ λογιωτάτου Ψελλοῦ περὶ λουτροῦ

Πολλῶν τὸ λουτρὸν αἴτιον δωρημάτων· χυμὸν κατασπᾷ, φλέγματος λύει πάχος, χολῆς περιττὸν ἐκκενοῖ τῶν ἐγκάτων, τὰς θελξιπίκρους κνησμονὰς καταστέλλει. τὴν βλεπτικὴν αἴσθησιν ὀξύνει πλέον, ὤτων καθαίρει τοὺς πεφραγμένους πόρους, μνήμην φυλάττει, τὴν δὲ λήθην ἐκφέρει, τρανοῖ δὲ τὸν νοῦν πρὸς νοήσεις εὐθέτους. Ὅλον τὸ σῶμα πρὸς κάθαρσιν λαμπρύνει, ψυχῆς τὸ κάλλος προξενεῖ πλέον λάμπειν, τοῖς εὐσεβῶς μάλιστα τούτῳ χρωμένοις δι' ἀσθένειαν σαρκίου πολυνόσου. λούεσθε τοίνυν εὐσεβῶς, καθὼς θέμις μὴ σπαταλικῶς (καὶ γὰρ ἐγγὺς ἡ κρίσις), ἀλλ' ὡς μοναχῶν φαρμάκῳ κεχρημένοι. οὕτω γὰρ εὗρε Σολομῶν εὐμηχάνως, θυμηδίαν τε καὶ παράκλησιν φέρων σκάφαις βροτοῖς πρὶν ἀφρόνως λελουμένοις.

## 61 Ὀνομασία τῶν μελῶν τοῦ ἀνθρώπου

Ὀνόμαζέ μοι ἀετοὺς τὰς φλέβας τῶν κροτάφων, τὰς δ' ἀρτηρίας ἤριγγας, ἄλλοι πάλιν ἀόρτας. κέβλην τὴν κάραν λέγουσι, κύβιτον τὸν ἀγκῶνα, γλήνην τὴν κόρην ὀφθαλμοῦ· γλοῦτοι κοτύλης σφαῖραι. τὸν θώρακα δὲ κίθαρον, κραντῆρας τοὺς ὀδόντας,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὰ ἔντερα χολάδας τε, γαστέραν τὴν κοιλίαν· τοῦ δὲ ἐντέρου τὸ λεπτὸν ὀνόμαζέ μοι δέρτρον. ἴτιδας φλέβας λέγουσι τὰς περὶ τὴν καρδίαν. ἦτριν ὁ περικάρδιος ὀνομάζεται τόπος. ἀκώκυα ὀνύχια καὶ φύκρη οἱ δάκτυλοι. κόρση ἐστὶν ἡ κορυφή, τὸ ἁπαλὸν δὲ βρέγμα. οἱ μήνιγγες μὲν κρόταφοι, οἱ ὀφθαλμοὶ δὲ ἴλλοι, μέτωπον ἐπισκύνιον καὶ ἕρκος τε τὰ χείλη, γνάθια κατωσάγουνα, κόρρη ἡ παρειά τε. γυῖα τὰ μόριά εἰσιν, ἤγουν τὰ μέλη ὅλα. ἀσφάραγγος ὁ λάρυγξ τε, ἆσθμα ἡ ὑπερῴα. γύρας τὸ δέρμα λέγεται, καὶ νῶτός τε ἡ ῥᾶχις. κάνθεον τὸ περίυπνον καὶ τῶν βλεφάρων τόπος. καὶ ῥὶς ἡ μύτη λέγεται, δειρός τε ὁ αὐχένας. σφόνδυλον τοῦ τραχήλου τε ἀνθερεὼν καλοῦσιν, ἰνίον τὸν ἐγκέφαλον, οὔατά τε τὰ ὦτα, μετάφρενα τὰ μεταξὺ τῆς ῥάχεος καὶ ὤμων. βαλμὸς ὁ ὀφθαλμός ἐστιν, ὁ κενεὼν λαγόνας. ὀσφὺς ἡ ζώνη λέγεται, ἰσχίον τὸ σταυρίον, ἐπιγουνίδες οἱ μηροί, ἡμίκωλα ἰξία, ἰγνύα ἀντικνήμια καὶ μήκωνες αἱ ἄντζαι, πρότμησις ὑπομφάλιον, κύστις ὑπογαστέρα. ψυαὶ οἱ περινέφριοι τόποι ἀποκαλοῦνται. ἕδρα ἐστὶν ὁ ἀφεδρών, οἱ κύλινδροι αἰδοῖα, πιρίνα τε τὸ μόριον, φαλλοὶ ὁμοῦ τὰ δύο. κώλιπα κόξα λέγεται, ἣν ἄκανθαν καλοῦσιν. αἱ περιπλεύριαι μεραὶ σπλάγχνα ἀποκαλοῦνται. μᾶζα τροφὴ ἡ ἐκ μαζῶν, ἐκχέει τε καὶ τρέφει. μάρη ἡ χείρ, καὶ θέναρ δὲ ἡ τῆς χειρὸς κοιλία. σφυροὶ οἱ ἀστραγάλιοι τόποι ἀποκαλοῦνται. κῶλα ὀστᾶ κικλήσκονται, ἄλλοι πάλιν ῥοώδη, ταρσοὺς τὰ κτένια ποδῶν, ἄντυγας τὰς καμάρας, πέλματα τὰ ἰχνόποδα· ἀπόπατος ἡ δεῖσσα.

**62 Τοῦ αὐτοῦ ψώραν ἔχοντός ποτε Στίχους Μιχαὴλ τῇ καλῇ ψώρᾳ πλέκω.**

Ἕως πότε ψώρα με συντήκειν ἔχεις, ἕως πότε ξαίνουσα καὶ τρύχουσά με τὸν εὐκτὸν οἰκτρὸν ἐργάσαιό μοι βίον; οὔπω παλαμναία σε, λυττῶν θηρίον, ἔχει κόρος τις τῆς καθ' ἡμῶν πικρίας; οὔπω τις οἶκτος τῆς βλάβης τοῦ σαρκίου; ἀπηγόρευσα, τὰς ἀμυχὰς οὐ φέρω τὰς θελξιπίκρους· ὢ ξένης ὄντως νόσου. Οὐκ ἔστιν οὐδὲν δεινόν, ὧδ' εἰπεῖν, πάθος χεῖρον, τραγῳδέ, κνησμονῆς ψωραλέας. σύνεστί μοι γὰρ νύκτα καὶ μεθ' ἡμέραν, θλίβουσα, πιέζουσα, βιβρώσκουσά με. ἂν εἰς πόλον τις χεῖρας ἐκτεῖναι θέλῃ, πόνος τις αὐτὰς ἄλλος ἀνθέλκει κάτω· ἂν ἐξαναπτύξειε βιβλίον πάλιν, ἡ χεὶρ ἐνεργός ἐστι τοῖς πεπονθόσι· κάλαμον εἰ λάβοι τις ὡς γράφειν θέλων, ῥίψας παρευθὺ συντόμως κνᾶται μόνον, οὐχ ἡδέως μέν, ἡδέως δέ πως ὅμως. πρὸς σιτίοις ὤν, εἴτε κλιθεὶς πρὸς πότον, κνᾶσθαι προτιμᾷ, καὶ πάρεργον ἡ πόσις· φίλοις ὁμιλῶν, ἄλλο τι πράττων μέγα, ἐσθῆτος ἐντὸς λάθρᾳ κνᾷ τοὺς δακτύλους· πάρεστιν ἡ νύξ, συμπάρεστιν ἡ φίλη, ὕπνος δ' ἄπεστι γλυκύθυμος ὀμμάτων. ἔστι δὲ χερσὶ καὶ πρὸς ἀλλήλας τότε ἅμιλλα λαμπρὰ πρὸς τὸ κνᾶν ἐρρωμένως μηρούς, σκέλη, τράχηλον, αὐτὴν κοιλίαν, αὐτὰς ἑαυτάς, σώματος σύμπαν μέρος, καὶ μηδ' ἀπειπεῖν μέχρις αὐτῆς ἡμέρας. Ἄιδειν προήχθης; εὐπρεπὴς σκῆψις τότε εὔρυθμα κνᾶσθαι πᾶν μέλος σοι σὺν μέλει· καὶ καιρὸς οὐδείς, οὐ τόπος τις, οὐ χρόνος τοῖς ψωριῶσιν (ὢ καλῆς φιλεργίας) ἄμοιρός ἐστι κνησμάτων, σπαραγμάτων. Οὕτω δὲ τυγχάνουσα πάγκακον τέρας ἔχει τι καὶ θέλγητρον εἰς βραχὺν χρόνον· ὅταν γὰρ ἐντὸς τοῦ βαλανείου γένῃ, ῥίψας ἑαυτὸν εἰς ὕδωρ ὑπερζέον, παπαὶ πόσης ἂν ἡδονῆς αἴσθῃ τότε, ἀντιρρόπου πόσης τε τῆς ἀλγηδόνος ἐκεῖθεν ἐκβάς, εἶτα κνώμενος πάλιν. Πλὴν ἀλλ' ἰατρὲ Χριστὲ τῶν νοσημάτων, δὸς ἐξαναπνεῦσαί με τῆς ἀργαλέας, τῆς προξένου μοι (φεῦ) πόσης ἀηδίας. κἂν οὐκ ἐπαχθές ἐστιν ὃ φράσαι θέλω, κέλευσον αὐτήν, οἷα δαίμονας πάλαι, λιποῦσαν ἡμᾶς τοὺς τεταριχευμένους, οὓς ἐξέτηξεν ἐκ μακρῶν ἤδη χρόνων, πτῆναι πρὸς αὐτὸν Ἀδριανὸν ὡς τάχος, τὸν ἄγριον σῦν, τὴν μιαιφόνον φύσιν. κόμης τίς ἐστι, τὸν χρόνον κατὰ Κρόνον, ὃς ἐν ναῷ πάλαι με τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἀποστόλων θέλοντα πομπὴν τὴν βασιλέως βλέπειν ἀνηλεῶς ἔτυπτε (φεῦ μοι) τῷ ξύλῳ, ὤμους, κεφαλήν, ὦτα, πλευρὰς καὶ σκέλη παίων ἀφειδῶς, πᾶν μέλος μοι συντρίβων. φεύγειν δ' ἐμόχθουν καὶ φυγῆς οὐκ ἦν τόπος, ὥσπερ ποταμοῦ πλημμυρούντων τῶν ὄχλων, ἕως ἀπειπών, ἡμιθνής, βραχὺ πνέων, οἴκοι στενάζων, λειποθυμῶν ᾠχόμην. καὶ νῦν ἐν ὕπνοις τὸν κορυνήτην βλέπων ὁρμώμενον τύψαι με καὶ διδοὺς δρόμῳ, λείπω τὸν ἐχθρὸν καὶ τὸν ὕπνον αὐτίκα.

### 63 Τοῦ Ψελλοῦ εἰς τὴν ψυχήν

Πᾶσα κτίσις κλαῦσόν με τὸν παραβάτην. ὡς δάκρυον στάλαξον, οὐρανέ, δρόσον καὶ σπίλον αἰσχρῶν ἔκπλυνον μολυσμάτων· ἥλιε, δυσώπησον ἥλιον μέγαν ψυχὴν σκοτεινὴν φωτίσαι καὶ καρδίαν· στήτω σελήνη, καὶ χορὸς τῶν ἀστέρων αἰτεῖτε λύτρον τῶν ἐμῶν ἐγκλημάτων· ἡ γῆ βόησον ἐκ μέσης τῆς καρδίας, ὄρη σταλαγμὸν ἐκβλύσατε δακρύων, θάλασσα κλαῦσον κλαυθμὸν ἠλεημένον, ἄβυσσε φωνὴν πέμψον εἰς τὸν δεσπότην. Χοροὶ προφητῶν, πατριαρχῶν, παρθένων, ἀποστόλων, μαρτύρων καὶ διδασκάλων, πάντων δικαίων, ἱερῶν σελασφόρων, ἐμὲ κραταιώσατε τῷ θείῳ φόβῳ· σφραγὶς προφητῶν καὶ τέλος θεηγόρων, ἐμοῦ φρόντισον τοῦ κατεσπιλωμένου, κρουνοὺς βράβευσον δακρύων ψυχοτρόφων, θείῳ φόβῳ σῶσόν με καὶ παρ' ἀξίαν. Θρόνοι, χερουβὶμ καὶ σεραφὶμ καὶ νόοι, κυριότητες, δυνάμεις, ἐξουσίαι, ἀρχῶν ἀρχαγγέλων τε τάξεις ἀγγέλων, ὑμῶν λιταῖς σώσατε τὸν παραβάτην. Ἀγαθοποιὲ Νικόλαε, παρθένε, πρεσβεύσατε νῦν ὑπὲρ ἀθλιωτάτου δούλου κακίστου καὶ λίαν παναθλίου. δίδοιτέ μοι χάριν τε καὶ κληρουχίαν φέρειν δέησιν ἐν φόβῳ τε καὶ πόθῳ ἄοκνον, ἀρέμβαστον, ἡγιασμένην, στερράν, ἀνεμπόδιστον, οὐρανοδρόμον. Νόος, πτέρυξι καρδίας [........], εἰς οὐρανοὺς ἄνελθε συντομωτάτως, τῶν ἀγγέλων δίελθε τὰς μυριάδας, ἀρχαγγέλων πάρελθε τὰς τριαρχίας, θείῳ θρόνῳ πρόσελθε τῷ τῆς τριάδος, ἅψαι φαεινῶν κρασπέδων παρ' ἀξίαν, καθικέτευσον καὶ τυχεῖν σωτηρίας. Ὦ πάτερ, υἱέ, πνεῦμα, τριὰς ἁγία, ἀγαθὸν ἀκένωτον εἰς πάντας ῥέον, κάλλος πολυέραστον οὐκ ἔχον κόρον, σῶσον, κατοικτείρησον, ἱλάσθητί μοι. ἥμαρτον, ἠνόμησα καὶ κατεφθάρην, ἥμαρτον, ἠδίκησα καὶ παρεσφάλην. βρέφος σκοτεινόμορφον ἠμαυρωμένον, καὶ παιδίον βέβηλον ἠχρειωμένον, καὶ μειράκιον αἰσχύνης πεπλησμένον, νεανίας κάκιστος ἐβδελυγμένος, ἀνὴρ σκολιὸς καὶ κατερρυπωμένος, μεσαιπόλιος σαπρίᾳ, μιαρίᾳ, γέρων ἀσελγής, λοιμὸς ἐσπιλωμένος. ἐκ σπαργάνων πνεύματος τὴν θείαν χάριν κατερρυπώθην τῆς ἁμαρτία ῥύπῳ. βάπτισμα θεῖον ἀφρόνως παρωσάμην, κατεζοφώθην τῆς ἀσωτίας ζόφῳ, πανάγαθον δώρημα παρεβλεψάμην. ἐβορβορώθην κακίας τῷ βορβόρῳ, ἀπεστερήθην ἀρετῶν ψυχοτρόφων, ἐξωστρακίσθην ἐνθέων χαρισμάτων, ἀπεξενώθην ἀγαθῶν αἰωνίων. στολὴν ἀφῆκα τὴν πανολβιωτάτην, ἄνωθεν ὑφανθεῖσαν, ἡγιασμένην· οὐκ ἠθέλησα τὸν βίον τῶν παρθένων, οὐκ ἠγάπησα τὸν βίον τῶν σωφρόνων· στολὴν μέλαιναν τοὔμπαλιν ἐκτησάμην, στολὴν ῥυπαράν, ἱμάτιον κακίας, χιτῶνα σαρκὸς τὸν κατεσπιλωμένον.

### 64 Τοῦ αὐτοῦ στίχοι γραφέντες εἰς τάφον γυναικὸς ὡς ἀπὸ τοῦ ἀνδρὸς αὐτῆς

Νῦν πρῶτα πικρὸν ἄλγος εἰσεδεξάμην, νῦν καρδίαν πλήττοντος ᾐσθόμην πόνου· οὐχ ὡς ἄλυπον εὐτυχήσας τὸν βίον (πολλοὺς γὰρ ὑπήνεγκα δεινοὺς κινδύνους, πολλαῖς ἐπεθρήνησα νεκροπομπίαις), ἀλλ' ὡς πεπονθὼς ζημίαν τὴν ἐσχάτην τὰς πρὶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παρεκτρέχουσαν οἰκτράς μοι τύχας. Ὦ φιλτάτη σύζυγε καὶ φωτὸς πλέον, αὐτογλυκασμὲ τῆς ὅλης μου καρδίας, Ἄννα πνοή μου, τῶν ἐμῶν φῶς ὀμμάτων, λειμὼν χαρίτων καὶ θέας καὶ τοῦ τρόπου, ἔμελλον ἄρτι καὶ σὲ δοῦναι τῷ τάφῳ καὶ μὴ ῥαγῆναι παντελῶς τὴν καρδίαν, ὡς κἀν τάφῳ λάχοιμι τὴν συνοικίαν καὶ μὴ νεκροῦ ζῶ δυστυχέστερον βίον. Ὢ τῆς ταφῆς σου τῆς ἐν ἀκμῇ καὶ δρόσῳ. εἰκοστοτετράριθμος ὁ ζωῆς χρόνος, ὡς πικροποιὸν ἐκθερίζει σε ξίφος ἡλικία ἔαρος ἐν μεσαιτάτῳ, τὴν καλλίμορφον ἀρτιβλάστητον χλόην, σὴν ἐκταμὸν πρώτιστα πεντατεκνίαν. Βαβαί, πόσαις φλέγεις με καμίνοις πόνων, ἰού, πόσαις πλύνεις με ῥείθροις δακρύων ἐν παντὶ καιρῷ, νύκτα καὶ καθ' ἡμέραν· οἷον γὰρ εἰς νοῦν καὶ κατὰ φρένας λάβω τῶν σοὶ προσόντων μυρίων χαρισμάτων, ὡς κέντριον νύττει με πρὸς τὸ δακρύειν. Ἀλλ' ὦ ξένων ἄβυσσε φρικτῶν κριμάτων, ἕνωσον ἡμᾶς, οὓς διεῖλες ἐν βίῳ, εἰς πραέων γῆν, εἰς ἀνώλεθρον βίον. 65 Εὐχὴ διιστᾷ τοὺς βροτοὺς τῶν ἐν βίῳ, εὐχὴ μεθιστᾷ πρὸς θεὸν τοὺς χρωμένους· εὐχὴ πτεροῖ τὸ πνεῦμα πρὸς θεοπτίαν, εὐχὴ σθενοῖ τὸ σῶμα πρὸς χαμευνίαν· εὐχὴ τὸ φῶς δίδωσι τῆς θεωρίας· εὐχὴ λογισμῶν ἐμπαθῶν ὁρμὰς τρέπει· εὐχὴ χορηγεῖ δωρεὰς ἀκηράτους· εὐχὴ διώκει ψυχικὴν ῥαθυμίαν, εὐχὴ διωθεῖ τὴν κακὴν ἀκηδίαν, εὐχῆς ἄγνοιαν ἀνταναιρεῖ θερμότης· εὐχὴ τὸ θεῖον εὐμενὲς καθιστάνει· εὐχὴ σκεδάζει συμφορῶν καταιγίδας· εὐχὴ βραβεύει μυστικὴν δᾳδουχίαν· εὐχὴ δεόντως συμφερόντως ἐξάγει· εὐχὴ τελειοῖ πρακτικὴν εὐκοσμίαν· εὐχὴ μεθέξει τὴν θέωσιν εἰσφέρει· εὐχὴ τὸ κρεῖττον τοῖς ἀύλοις μιγνύει, εὐχὴ τὸ χεῖρον δουλαγωγεῖ σωφρόνως· εὐχὴ λογισμῶν ἁρπαγὴ πρὸς αἰθέρα, εὐχὴ πρὸς ἀλλοίωσιν ἔνθεον φέρει, εὐχὴ φρένας δείκνυσιν οὐρανοδρόμους· εὐχὴ καλῶν πέφυκε πάντων αἰτία.

### 66 Τοῦ αὐτοῦ πρὸς ἑταῖρόν τινα διὰ τὸ νοσεῖν

Αἰαῖ, τὰ πάντα λυγρὰ καὶ κατώδυνα, πλήρη στεναγμῶν καὶ σταλαγμῶν δακρύων. Ἑταῖρε, πῶς φύγοιμι τὴν νόσον λέγε· ὡς νῦν ἐγὼ δέδοικα τὸν ταχὺν μόρον, ὃν τοὺς βροτοὺς χρὴ πανταχοῦ δεδοικέναι, σύνοικον ἐχθρὸν ὄντα, δυσμενῆ φίλον, κακοῦργον ἡδὺν καὶ πραΰν ὁδοστάτην ἄνευ ξιφῶν σφάττοντα τοὺς ὡρισμένους. πλὴν ἀλλ' οὐκ ἔστιν ὅστις εὖ διαδράσει, ἐγγὺς γὰρ ἡμῶν ὁ σφαγεὺς πορεύεται, τείνων τὸ τόξον, ἐκτινάσσων αὐτίκα βέλη τὰ πικρὰ καὶ πεφαρμακευμένα. Ἀλλ' ὦ κακῶν γένεθλον, ὦ σπορεῦ φθόνου καὶ παντὸς ἄλλου δυσχεροῦς πάσης λύμης, ἀπαγχονίζου, δαῖμον, ἔρρε, συνθλίβου, γῆς δῦθι μυχούς, ἀφανίζου, ῥηγνύου, φθείρου χαμαὶ βάραθρον ἔσχατον φθάσας, οἴκει σκοτεινὸν λάχος, ἄθρει σὸν λάχος, φίλει σιγήν, μὴ κάμνε τῶν βροτῶν χάριν, μὴ θλῖβε τοὺς νοσοῦντας οἷς οἶδας τρόποις. παύθητι τῆς σῆς, λυμεών, τεχνουργίας (τὸν σταυρὸν ὅπλον ἀρραγὲς προβάλλομαι) καὶ φεῦγε μακρὰν ἐκ βροτῶν Χριστωνύμων, ὀλέθριον σύγκυρμα δυσμαίας τύχης.

### 67 Στίχοι τοῦ ὑπερτίμου Ψελλοῦ πρὸς μοναχόν τινα γράψαντα πρὸς αὐτὸν μεθ' ὑπερηφανίας καὶ δοκοῦντα εἶναί τινα τῶν σοφῶν

Ἔδει μὲν ἡμᾶς, ἀδελφέ, τὰ ψυχικὰ φροντίζειν ὡς μοναχούς, ὡς ἀσκητάς, ὡς ἔξωθεν θανάτου, καὶ καθ' ἑκάστην ὡς εἰπεῖν ἡμέραν ἐπιμόνως θρηνεῖν καὶ κόπτεσθαι πικρῶς καὶ σφοδρῶς ὀλολύζειν ἐν ὀφθαλμοῖς λαμβάνοντας ὥραν τὴν τελευταίαν, καθ' ἣν ἐντεῦθεν μέλλομεν ἀπαίρειν ἐκ τοῦ βίου καὶ πρὸς κριτὴν ἀδέκαστον πορεύεσθαι δικαίως· καὶ συνεχῶς παρακαλεῖν καὶ συνεχῶς προσπίπτειν καὶ συνεχῶς ἱλάσκεσθαι τὸ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θεῖον μετὰ πόνου, ὅπως χαρίσεται ἡμῖν λύτρον ἀμπλακημάτων καὶ παντελῆ συγχώρησιν πάντων τῶν ἐπταισμένων, πρὶν ἢ ῥαγῆναι τῆς ἡμῶν ὑλικῆς συζυγίας· καὶ πᾶσαν ἔχειν τὴν σχολὴν ἐπὶ τὰ θεῖα μόνα, τὰ δ' ἄλλα πάντα δεύτερα τούτου σαφῶς ἡγεῖσθαι, καὶ συζητεῖν καὶ συμμετρεῖν αὑτοὺς ἁπανταχόθεν καὶ διευθύνειν ἐμμελῶς ὁμοῦ καὶ νενηφότως, τί μὲν ἡμῖν κατώρθωται τῶν ἐποφειλομένων, τί δ' αὖθις ὑπολείπεται τῶν ἐπενδεχομένων, καὶ ποῖον μὲν ἀτίθασον ἡμερώσαμεν πάθος, ποῖον δ' οὖν ἐναπέμεινεν ἀδάμαστον εἰσέτι· καὶ σπεύδειν ὅση δύναμις πάντων ἐκκαθαρθῆναι σωματικῶν καὶ ψυχικῶν κηλίδων καὶ ῥυτίδων, †οὐ τὴν ἐκείνου εὔτασας τὸν τούτοις συνεργάτην τὸ μόνον ὑποδείξασα† τῶν ἐντολῶν τὴν τρίβον καὶ φήσαντα μὴ δύνασθαι χωρὶς αὐτοῦ ποιεῖν τι, ὅπως καὶ πάλιν ἔχωμεν τοῖς λογισμοῖς ἐμβάλλειν περὶ τῆς γνώσεως Χριστοῦ μὴ καλῶς ἐπηρμένοις, ὥς που τὸ σκεῦος ἔφησε τῆς ἐκλογῆς ὁ Παῦλος, ἐκ τοῦ γινώσκειν ἀκριβῶς ἡμῶν τὰ μέτρα ποῖα, τοῦ μήτε παρεκτείνεσθαι μηδ' ἐξισοῦσθαι θέλειν φρενῶν ὄντας ἐπιδεεῖς φρονίμων καὶ λογίων. Ἐγὼ δὲ τούτου τὴν ἐμὴν ἐντρέπων ἀγροικίαν– πᾶς γὰρ ὁ λογιζόμενος τοῦτον ἀγχίνουν εἶναι καὶ πάντα δύνασθαι καλῶς τὰ θεῖα κατοπτεύειν, οὗτος οὐδὲ τὰ πρὸς ποσὶν ἔγνω τυφλὸς ὑπάρχων, ὡς ἱκανοῦ τυγχάνοντος ὁλικῶς ἐμποδίζειν εἰδέναι τι τῶν ἀγαθῶν τοῦ δοκεῖν ἐγνωκέναι. μόνος γὰρ οἶδεν ἀμυδρῶς, οὐ πάνυ δὲ τελείως (ὡς ἐν ἐσόπτρῳ γὰρ ἰδεῖν ἀνέκραγε καὶ Παῦλος) ὁ ταπεινὸς καὶ καθαρὸς τῶν νοητῶν τὴν γνῶσιν· τοῖς ταπεινοῖς γὰρ μάλιστα, καθώς τινες ἐξεῖπον, τὸ χάρισμα τῆς γνώσεως Χριστὸς ἀποκαλύπτει. οὐδεὶς δὲ πρὸς τὸ τέλειον ἤρθη τῆς θεωρίας, οὐδεὶς ἔγνω τὸ παντελὲς πρὸ τοῦ μέλλοντος χρόνου, οὐδεὶς τὴν πᾶσαν εἴληφεν ἐν τοῖς ἀνθρώποις γνῶσιν· οὐ Μωυσῆς ὁ τὸν γραπτὸν νομοθετήσας νόμον, οὐδ' Ἀαρών, ὃν ἔχρισεν ἀρχιερεὺς ὁ μέγας, οὐ Σαμουὴλ ὁ γεγονὼς ἐκ τῆς ἀκάρπου στείρας, οὐδ' ὁ Δαυὶδ ὁ βασιλεὺς καὶ μέγιστος ἐκεῖνος, οὐχ ὁ Θεσβίτης Ἠλιοῦ καὶ θεατὴς τοῦ λόγου, οὐχ Ἐλισσαῖος ὁ πολὺς ἐν θαύμασι καὶ ξένοις, οὐχ Ἡσαΐας ὁ θεὸν ἰδὼν ἐπὶ τοῦ θρόνου, οὐχ Ἱερεμίας ὁ πολλὰ τὸν Ἰσραὴλ πενθήσας, οὐχ ὁ τῶν ἄνω θεωρὸς Ἰεζεκιὴλ ὁ μέγας, οὐ Δανιὴλ ὁ τῶν θηρῶν τὰ στόματα φιμώσας, οὐχ ὁ λοιπὸς κατάλογος τῶν προφητῶν ἁπάντων· ἀλλ' οὐδ' αὐτὸς ὁ τὸν θεὸν σωματικῶς βαπτίσας ἐν Ἰορδάνῃ γάρ ποτε, καθὼς ἀναγινώσκεις, καὶ παλαιᾶς καὶ τῆς καινῆς μεσίτης χρηματίσας καὶ μεῖζον πάντων εἰληφὼς τῶν γεννητῶν τὸ κλέος· οὗτος γὰρ μᾶλλον μαρτυρεῖ παρὰ τοὺς ἄλλους πλέον μηδὲ τὸν λόγον εἴσεσθαι τὸν τῆς οἰκονομίας· τὸ γὰρ ἀνάξιον αὑτὸν κρῖναι τοῦ μηδὲ λῦσαι τὸν σφαιρωτῆρα τῶν Χριστοῦ καλῶν ὑποδημάτων τὴν ἄγνωστον ἐδήλωσε τοῦ μυστηρίου γνῶσιν τὴν κεκρυμμένην ἀπ' αὐτοῦ–καὶ τίς λοιπὸν συνήσει; ἀλλ' οὐδ' ὁ Πέτρος ὁ τὰς κλεῖς λαβὼν τῆς βασιλείας, Πέτρος τῆς πίστεως βροτοῖς τὰς πύλας ὑπανοίγων, εἰς τὴν ἐπίγνωσιν Χριστοῦ πάντας ἐχειραγώγει. εἰ δὲ κἀνταῦθα κατασχεῖν ἐξῆν τὴν ὅλην γνῶσιν, Παῦλος ἂν ταύτην εἴληφεν, ὁ τῶν ἀρρήτων μύστης, μέχρι <τοῦ> τρίτου οὐρανοῦ ἐπαρθεὶς μεταρσίως κἀντεῦθεν εἰς παράδεισον σωματικῶς φοιτήσας, ὁ τῶν ἀρρήτων γεγονὼς ἀκροατὴς ῥημάτων. ἀλλ' οὗτος ὁ τὸ κήρυγμα πανταχοῦ κατασπείρας, μίαν δὲ πᾶσιν δεδωκὼς ἐπίγνωσιν λατρείας, τὴν ἐν πατρί τε καὶ υἱῷ καὶ πνεύματι τῷ θείῳ, καὶ διδαχαῖς καὶ δόγμασι τὴν ὅλην ἐκκλησίαν καταπλουτίσας ὡς οὐδεὶς τῶν ἀποστόλων ἄλλος, τὴν ἐσομένην ἔλλαμψιν καὶ τὴν τῶν ὧδε γνῶσιν συγκρίνειν ὡς οὐκ ἄλλος τις τῶν ἐπὶ γῆς ἁπάντων, σκιὰν τὸν νόμον ἔφησεν τῆς χάριτος τυγχάνειν (τύπου τύπον, ὡς εἶπέ που τὶς ἄλλος θεολόγος), τὴν χάριν δ' ἀπεικόνισμα τοῦ μέλλοντος αἰῶνος, δεικνὺς ὡς δῆθεν ἀδρανῆ τῆς χάριτος τὴν γνῶσιν πρὸς τὴν ἐκεῖ τελείωσιν τῶν ἤδη καθαρθέντων. εἰ δὲ Παῦλος μαρτύρεται ταῦθ' οὕτως ὄντως ἔχειν καὶ πάλιν ἀλλαχοῦ τρανῶς ἀναβοᾷ καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λέγει, «ἐκ μέρους μὲν γινώσκομεν, ἐκ μέρους δὲ λαλοῦμεν, ὅταν δ' ἔλθῃ τὸ τέλειον, οἰχήσεται τὸ μέρος,» συναριθμεῖ δὲ τοῖς λοιποῖς ὡς τὰ πολλὰ καὶ τοῦτον, ἐῶ λέγειν ἄλλον †μὴ† τῶν ἐφεξῆς ἁγίων, κἂν γνῶσιν εἴληφε πολλὴν ἐκ θείας ἐπιπνοίας, ἐμὲ δὲ καὶ τοὺς κατὰ σὲ θήσει τις, εἰπέ μοι. αἰσχύνομαι καὶ δέδοικα τὴν τόλμαν ταῦτα γράφειν. Ἀλλ' ἀντιλέγειν ἐγχειρεῖς τοῖς λεγομένοις τούτοις, ζητεῖς δὲ πότε καὶ τὸ ποῦ τῆς γνώσεως τὸ πλῆρες; ἐλθὲ καὶ μάθε πρὸς ἡμῶν ποῦ τε καὶ πότε τοῦτο· ὅταν Χριστὸς φανερωθῇ σὺν πᾶσι τοῖς ἁγίοις κατὰ δευτέραν τὴν αὐτοῦ μεγάλην παρουσίαν, καθ' ἣν ἐξαναστήσεται πᾶσα βροτῶν ἡ φύσις. τότε γὰρ οἱ μὲν πονηροὶ καὶ ῥυπαροὶ τοῖς ἔργοις τῷ γνωστικῷ τῆς χάριτος ἀποτμηθέντες λόγῳ εἰς κόλασιν ἀχθήσονται, κἂν τῆς Χριστοῦ μερίδος ἐδόκουν εἶναι, τὸ[ν Χριστὸν] ἀρνούμενοι τοῖς τρόποις· οἱ δ' αὖ γε τοὺς τῆς ἀρετῆς ἀνύσαντες καμάτους καὶ τῆς ψυχῆς φυλάξαντες καλῶς τὸ κατ' εἰκόνα, οὗτοι καὶ μόνοι λήψονται τῆς νίκης τὰ βραβεῖα καὶ τὰς ὁσίας ἀμοιβὰς καὶ τὴν ἀγήρω λήξειν. γνῶσις δὲ ταῦτα πέφυκε τῆς τριλαμποῦς ἑνάδος, ἥνπερ τὴν μόνην ἔφησεν οὐρανῶν βασιλείαν Γρηγόριος ὁ πάνσοφος καὶ μέγας θεολόγος. πλὴν δ' οὐκ ἐπίσης ἅπαντες εἰσδέξονται τὴν αἴγλην· δεῖ γὰρ καὶ τούτους ἐρευνᾶν, τριάδος προτεθείσης, τῆς ἑνιαίας καὶ τριπλῆς πρώτης ἀγαθαρχίας, ἀλλ' ἕκαστος ἀνέλπιστον δέξηται φωταυγίαν τῆς ἐν σαρκὶ τηρῶν αὐτοῦ καθάρσεως ἧς ἔσχεν. ἄλλη γὰρ δόξα †ἤγγικεν†, ἡλίου φέγγος δ' ἄλλη· «ἀστὴρ ἀστέρος» γάρ φησιν «ἐν δόξῃ διαφέρει.» οὕτω δὲ καὶ μοναὶ πολλαὶ παρὰ θεῷ τελοῦσαι τοῖς πᾶσι μερισθήσονται κατά γε τὴν ἀξίαν. Ταῦτα γοῦν ἔδει καὶ ποιεῖν καὶ μελετᾶν καὶ γράφειν καὶ μὴ πρὸς χρήσιμον οὐδὲν τοὺς λόγους ἀναλίσκειν. ἀλλ' ἐπειδὴ κινούμενος πόθεν εἰπεῖν οὐκ οἶδα ἐπεγγελᾶν καὶ κωμῳδεῖν ἐπιχειρεῖς ἡμᾶς γε, καὶ τοῦτο καὶ μεθ' ὧν αὐτὸς γραμμάτων γράφειν οἶδας, φέρε λιπόντες ἅπαντα τὰ σεμνὰ τῶν λογίων τοῖς ἴσοις κωμῳδήμασιν ἀνταμειψόμεθά σοι. εἰ δέ τι καὶ πλατύτερον ὁ παρὼν ἕξει λόγος, τὰ σὰ περιεργότερον ἐξερευνῶν καὶ λέγων, τῷ λόγῳ χάρις τῷ τὸν νῦν δεδωκότι μοι λόγον. ἀλλ' οἶδα πῶς ἀτέλεστοι πάντες εἰς θείαν γνῶσιν· ἐπαναλήψομαι καὶ γάρ, «παράκλητον ἐκπέμψω»· ἔμαθες πῶς πεφύλακται πάλιν Παῦλος ὁ θεῖος· ἔγνως ὡς πάντες ἄνθρωποι πρῶτοι δεύτεροι τρίτοι· πρὸς γνῶσιν οὖν ἀνάλαβε καὶ γίνωσκε τί γράφω. λοιπὸν οὖν κατανόησον καλῶς ὑπὸ τῶν ἄλλων, καὶ παῦσαι τοῦ γνωσιμαχεῖν καὶ παῦσαι τοῦ διδάσκειν καὶ παῦσαι τοῦ λογογραφεῖν ὡς εἷς τῶν λογογράφων καὶ παῦσαι τοῦ κενοδοξεῖν ὥς τις τῶν τεχνογράφων· τούτων ἁπάντων ἄμοιρος καθεστηκώς, ὦ φίλος, μόνον δὲ κάθαραι σαυτὸν ἀπὸ πάσης κακίας ταῖς συνεχέσι καὶ πυκναῖς εὐκτικαῖς λειτουργίαις καὶ τῇ πρὸς τὴν ἀκήρατον οὐσίαν ἀναβάσει· καὶ τίμα τὴν ταπείνωσιν καὶ τίμα τὴν ἀγάπην καὶ τίμα τὴν εὐλάβειαν, καὶ σοφὸς ἔσῃ μέγας. Ἀλλ' ἀντὶ τίνος εἵνεκα λέλεκται τὰ παρόντα, καὶ τίνος χάριν πρὸς τὴν σὴν ἀγάπην ἐπιστέλλω; οὐ γὰρ ἀλόγως οὐδ' εἰκῇ ταῦτα κάθημαι πλέκων, ἐπαναμνήσθητι δὲ νῦν οὗ χάριν ἐπιστέλλω. γράμμα ποτέ μοι πέπομφας ὅλον ἀλαζονείας δεικνύντα σε σοφώτατον καὶ καλὸν στιχοπλόκον, μεμφόμενος καὶ τὴν ἡμῶν ὡς οἶδας ἀγροικίαν· εἶχε δὲ καὶ μικρά τινα ψυχὴν κατακεντοῦντα καὶ τὸν ψόγον εἰσάγοντα κεκαθαρμένῳ βίῳ. καὶ ταῦτα πάντα δέδρακας, ὡς ὁ θεὸς γινώσκει, καὶ τὴν ἐμὴν γὰρ δύναμιν ἀκριβῶς ἐξετάζων, μὴ κεκτημένος πρόφασιν οὐδαμοῦ παροινίας. Ἐγὼ δὲ τοῦτ' ἀνεγνωκὼς καὶ θέλων ἐκδικῆσαι, οὐκ ἐμαυτόν (μὴ γένοιτο), τὴν ταπείνωσιν δέ γε, ἧς εἰς γῆν ἀπερρίψαμεν ἅπαντες τὸ φορτίον, στίχους τινὰς συνέπηξα πρὸς τὴν σὴν ἁγιστείαν, ὁμοῦ μὲν πρὸς ταπείνωσιν ἐνάγων σου τὴν γνώμην, ὁμοῦ δὲ καὶ πρὸς ἔρωτα φιλομαθείας ἕλκων, ὡς ἐκ τοῦ σκώπτειν καὶ μικρὸν τὴν τέχνην ὑπανοίγων. σὺ δ' οὐκ ἠνέσχου τὴν ἡμῶν εἰσδέξασθαι παιδείαν ἐκ συμπαθείας καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πολλῆς ἀγάπης φερομένην, εἰ καί τι δάκνον εἶχέ που καί τινας εἰρωνείας, τοῦ γράμματος ἀνάλογον οὗπερ ἀπέσταλκάς μοι. ἀλλὰ λαλεῖν βουλόμενος, μὴ θέλων δ' ἐπακούειν, καὶ τότε καὶ πρὸς ἄνθρωπον μηδέν σ' ἠδικηκότα, πάλιν καθὼς μεμάθηκα παρά τινός μου φίλου ἔσπευσας ἐπαμύνασθαι τὰ παρ' ἐμοὶ γραφέντα, καὶ φοιτᾶν πρὸς γραμματικοὺς καὶ πρὸς τοὺς τεχνογράφους καὶ δι' αὐτῶν τὰ καθ' ἡμᾶς στιχοπλοκεῖν ἀσέμνως, σκώπτειν κατεπειγόμενος τὸν πτωχόν μου πατέρα καὶ τὴν ἐμὴν ἀνατροφήν, ὁποία ποτ' {ἂν} οὐκ οἶδες, καὶ τὴν ἐπὶ μαθήμασι γραμμάτων ἀπειρίαν· ὑποκριτὰς ἀποκαλεῖς τὸ γένος τὸ δικό μου καὶ πάντα λέγεις καὶ ποιεῖς, οὐ παύεσαι <δ'> οὐδ' ὅλως προβάτου μὲν δέρμα φορεῖν, λύκου δὲ γνώμην ἔχειν, κἀντεῦθεν πάντας ἀπατᾶν ὡς ἀφανὴς τοῦ τρόπου. Ταῦτα τοίνυν ἐγὼ μαθὼν {ὡς} ἀφ' οὗπερ ἔφην φίλου (οὐ γὰρ ἑώρακα λοιπὸν ἀκμὴν τὰ γράμματά σου) πρῶτον μὲν {γὰρ} ὡμολόγησα, καὶ νῦν ὁμολογῶ σοι· οὐκ ἔστι ψεῦδος, ἀδελφέ, τὰ παρὰ σοῦ λεχθέντα, ἀλλ' ἀληθῆ καὶ φανερὰ καὶ πρόδηλα τυγχάνει καὶ τοῖς ἐγγὺς καὶ τοῖς μακρὰν καὶ κατὰ μέσον Ἄργους, καὶ μοναχοῖς καὶ κοσμικοῖς καὶ γυναιξὶν ὡσαύτως. καὶ ταῦτα μὲν τὰ προφανῆ, καθὼς καὶ σὺ γινώσκεις· εἰ δ' ἔγνως τὰ λανθάνοντα, τί δὴ καὶ λέγειν εἶχες; ἐγὼ γὰρ μόνος, ἀδελφέ, καὶ τὴν ἄλογον φύσιν ἐν πλημμελήμασιν αἰσχροῖς ἀσώτως ὑπερέβην· γνώμης γάρ μου στρεβλότητος, ψυχῆς φιληδονίας, οὐ φθάσει μέτρον ἀριθμὸς οὐδὲ θαλάσσης ψάμμος. ὅθεν οὐκ ἔχω λέγειν τι πρὸς ταῦτα τὸ παράπαν οὐδ' ἀντικρίνειν τοὺς ἐμοὺς φιλαλήθεις ἐλέγχους· ἀλλὰ καὶ χάριν μάλιστα μεγάλην ἔχω τούτοις, καὶ δι' αὐτῶν τὰ τραύματα γνωρίζω τῆς ψυχῆς μου. Καὶ τοῦτο κατωνείδισας, τὴν πρώτην μου πενίαν· †οὐδ' ἄλλωναν† ὠνόμασας καὶ γέννημα πασπάλης καὶ βεριδάριν ἐφεξῆς καὶ τέκτονα καὶ τἄλλα, ὅσα λέγειν ἐοίκασιν κιθαρῳδοὶ καὶ μῖμοι, σαυτόν τινα τῶν εὐγενῶν τρανῶς ἐπιφημίζων. τοῦτο τὸ πάθος ἡσυχῇ φέρειν οὐκ ἠδυνήθην οὐδὲ βαθείᾳ παρελθεῖν σιγῇ τὴν ἀτιμίαν οὐδὲ τὸν Ἐνδυμίωνος μακρὸν ὕπνον καθεύδειν. καὶ γὰρ οὐδ' ἄξιόν ἐστιν οὐδ' ἀνεκτὸν τοῖς πᾶσι κέρκωπας μὲν εὐδοκιμεῖν, λέοντας δ' ἡσυχάζειν, ἢ τοὺς κηφῆνας λιγυρὸν ἀνακρούεσθαι φθόγγον, τοὺς δὲ τέττιγας παύσασθαι τοῦ τερετίζειν ὅλως. ὅθεν μικρόν τι καταθεὶς τὰ τῆς στρατείας ὅπλα, ἅπερ τῷ Παύλῳ σύνηθες τοὺς μοναχοὺς ὁπλίζειν τοὺς αἴροντας τὸν πόλεμον πρὸς τὰς ἀρχὰς τοῦ σκότους, λόγου τέχνην ἀντιλαβὼν ἐννοίας ἀντιθέτου μικρὸν ἀπολογήσομαι πρὸς τὰ πρὸς σοῦ γραφέντα. τοῦτο γάρ με καὶ Σολομῶν πανευπρεπῶς διδάσκει, ἄφρονα κατὰ τὴν αὐτοῦ μωρίαν ἀπελέγχειν, ἵνα μὴ δόξῃ παρ' αὐτῷ φρονιμώτατος εἶναι. Ἀλλὰ συγγινωσκέτω μοι πᾶς εὐλαβὴς καὶ σώφρων καὶ πᾶς ἀνὴρ ἐπιεικὴς καὶ συνετὸς τὸν τρόπον καὶ πᾶς ὃς φεύγειν ἔγνωκε τοὺς γελοιώδεις λόγους ὡς παντελῶς ἀνάξια γράφειν ἐπισταμένων βίου καὶ λόγου καὶ ψυχῆς ἀνθρώπων φιλοθέων, καὶ πῶς ὁ μὲν τῶν στίχων σου βλέπει πρὸς μεσημβρίαν, ἄλλος δὲ πρὸς ἀνατολάς, ἕτερος δὲ πρὸς ἄρκτον, οὐδὲ πρὸς δύσιν μηδαμῶς σύνταξιν ἐσχηκότες, δεικνύντες σε μηδὲ τὰς τρεῖς μαθεῖν τοῦ Στησιχόρου· καὶ πάλιν ἀποδείξω σε κολοῖον τὸν κολοῖον. Ἀλλ' ἴθι δεῦρο πρὸς ἡμᾶς, Ἀφθόνιος ὁ ῥήτωρ, ὁ πάσης τῆς ῥητορικῆς εἰσαγωγὴν προτάξας, καὶ λέξον πόθεν ἄμεινον ἀπάρξομαι τοῦ λόγου, καθάπερ πρὶν τὸν Σόλωνος σοφὸν †ὑπαίρει† λόγον ἔδειξας πᾶσιν ἐμφανῶς εἴδη τῶν ἐγκωμίων καὶ πόθεν χρὴ κατάρχεσθαι τῶν ἐπιχειρημάτων. ναί, ἔκφρασον καὶ πρὸς ἡμᾶς τὰ τοῦ σαλοῦ, πῶς λέγει, καὶ «μὴ σιγήσῃς» ἥκιστα «μηδὲ καταπραΰνῃς», ὥς που Δαυὶδ πρὸς τὸν θεὸν ἀνέκραγε μεγάλως. «Τί με καλεῖς, ὦ μυλωνᾶ καὶ μοναστὰ τὸν τρόπον, εἰς χεῖρας ἔχων τὰ ποτὲ γραφέντα παρ' ἐμοίγε; τρῖψον ὡς μύλος ἔντομος, ὡς βεριδάρι γλώσσῃ, ἄλεσον δ' ὥσπερ ἄλευρον, λίκμησον ὡς πασπάλην τὸν καρβουνάρι (προϊὼν ὡς ὁ λόγος δηλώσει), καὶ δὸς αὐτῷ πληρέστατον ἀλλάγιον καὶ σῶον, ἵνα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μηκέτι παρὰ σὲ μολὼν ἀλήθῃ λόγους. μὴ τοίνυν κάμνῃς, ἄνθρωπε, τοῦτο κἀκεῖνο λέγων· ἄρξου συντόμως ἀπ' αὐτῶν αὐτοῦ τῶν προπατόρων. τοῦτο γὰρ εἶδος καθαρὸν καὶ τάξις ἐγκωμίου, τὸ διδάξαι τοὺς ἐφεξῆς πόθεν ἡ τούτου ῥίζα.» Ἐγὼ λιπὼν τοὺς δὲ λοιποὺς αὐτῷ καὶ τούτῳ μόνῳ ὡς ἔχει διαλέξομαι σαφῶς τὰ περὶ τούτου. εἴθε γοῦν ἑτεροφυές· καὶ μάθε πόθεν ἔφυς. ἀκήκοά ποτέ τινος τάδε λαλοῦντος πρός με· καὶ γὰρ εἰς τοὺς προπάτορας ἔφασκε λόγους ἔχειν, ὅτι τὰς χώρας τῶν Περσῶν σπουδάζοντες ἐκφεύγειν, ἡνίκα τὴν ἀνατολὴν ἀφειδῶς κατεπόρθουν, ἀνόμοις ἄλλοις καὶ φθόροις συνέπιπτον βαρβάροις, Πάρθοις, Οὔννοις, Ἀγαρηνοῖς, Κωμάνοις, Ἀρμενίοις, ὑφ' ὧν συλλαμβανόμενοι παραυτὰ καθ' ἑκάστην, οἷα φιλοῦσιν βάρβαροι δρᾶν ἐν τοῖς αἰχμαλώτοις, τοῦτο δὴ κἂν τῇ μάμμῃ σου δεδράκασιν ἀθλίως. ὅθεν, ὡς ἔστι συνιδεῖν ἐντεῦθεν ἀδιστάκτως, γένος τὸ σὸν ἐνόθευσεν ἡ θαυμαστή σου μάμμη· καὶ γὰρ καὶ παῖδα τέτοκεν ἐξ αὐτῆς ἡ γενναία, τοῖς προλεχθεῖσιν ἔθνεσιν ἀσέμνως συμπλακεῖσα· ἐξ οὗ μετὰ τῶν ἀδελφῶν †κατά τε† τῶν ἰδίων. Ἔνθεν ἐγώ σε Λιβυκὸν ἀποκαλῶ θηρίον, οὐ μήν τινα τῶν εὐγενῶν, ὡς αὐχεῖς, ἐκομπώθης. λέγουσιν οἱ φιλόσοφοι τοιάδε τῶν Ἑλλήνων, ὧν εἷς καὶ πρῶτος πέφυκεν Ἀριστοτέλης εἶναι, ὡς ἔστι τόπος ἄνυδρος, ὁ τόπος τῆς Λιβύης, μιᾶς καὶ μόνης ἐν αὐτῇ πηγῆς βραχείας οὔσης, ἐφ' ᾗ καὶ συναγόμενα τὰ πανταχοῦ θηρία πρὸς τὸ παραμυθήσασθαι τὸν καύσωνα τῆς δίψης φύρδην ποιοῦνται τὰς αὐτῶν ἐκεῖσε συνουσίας, ὅταν καιρὸς πρὸς συμπλοκὴν κατάγεται †εἰς αὖτα†. διὸ καὶ τὸ γενόμενον ἐκ τῶν πολλῶν γεννάδων Λιβυκὸν ὡς πολύσπορον ὠνόμασται θηρίον. Ἔξεστι δὲ καὶ γραφικὴν ἐπαγαγεῖν σοι ῥῆσιν, ὅπως εἴη τὰ κατὰ σὲ κακῶς κεκυρωμένα, ὡς Ἀμορραῖός σοι πατήρ, ἡ μήτηρ δὲ Χετταία. οὐδὲν οὖν κατεψεύσατο κἂν ὅστις ἦν ἐκεῖνος, ὁ τὴν ἀφήγησιν εἰπὼν ἐμοὶ τὴν προκειμένην, εἰς ἔργον τὸ λεχθὲν αὐτῷ σοῦ νῦν ἐξενεγκόντος. ἔτι γὰρ γλῶσσαν πάτριον καὶ στενὴν κεκτημένος, βαρβάρους ὡς ἂν εἴποι τις ὡς μηδὲ χρὴ λαλῆσαι, καὶ μὴ μαθών, ὡς ἔοικεν, ἀκμὴν τὰ τῆς Ἑλλάδος, τούτου χάριν ἐπιφοιτᾷς πρὸς †γρύκων† τοὺς λογίους, μανθάνων στίχους †τρίκιστους† καὶ πρὸς ἡμᾶς ἐκπέμπων. ἀλλὰ καὶ γράμμα τῶν Μουσῶν ἐνηγωνίζου μάτην, ὀλίγα γὰρ προέκοψας ὀψιμαθὴς ἐν βίῳ. Ἀλλ' αὕτη μὲν τῆς σῆς σειρᾶς ἡ γενεαλογία, Περσῶν, Ἀράβων καὶ Σκυθῶν, Πάρθων καὶ Μήδων γόνε· τὸ δ' ἐπιτήδευμα οἷον, πλεῖόν τι καὶ ποικίλον. ὅμως τὸ πρῶτον εἴπωμεν τοῖς θέλουσιν ἐν πρώτοις. διττὴν τὴν τέχνην εἴρηκεν φιλόσοφος ὁ Πλάτων, πρακτικήν τε καὶ λογικήν, ὄντως γὰρ οὕτως ἔχει. ὧνπερ τὴν μίαν σὺ μαθών, ἀνατραφεὶς εἰς Κρήτην, καταλαβεῖν οὐκ ἴσχυσας οὐδ' ὅλως τὴν δευτέραν. ἣν οὐδὲ τέχνην ἔγωγε λελέξω τὸ παράπαν· μὴ νόμιζε τὴν λογικήν, τὴν πρακτικὴν γὰρ λέγω. τίς γὰρ πλινθοποιητικὴν ὀνομάσαιτο τέχνην; ἀλλ' οὐδὲ ταύτην ἀκριβῶς ἤσκησας, ὡς ἀκούω, ὡς ἀφυής, ὡς ὀκνηρός, ὡς ἀθύρμασι χαίρων, ἔτι τελῶν, ἔτι συνὼν μετὰ τῶν πηλοφόρων πρὸ τοῦ τὸ σχῆμα μετελθεῖν τοῦτο τῶν μοναζόντων. καὶ εἴπερ μου τοῖς †λίβασιν† πιστεύειν ἀπαναίνῃ, τὸν ὦμον ἀποκάλυψον, ἄρξου τὸν χιτωνίσκον, καὶ πάντας ὄψει τὰς οὐλὰς τὰς ἐκ τῶν καρδοπίων. καθάπερ γὰρ τοὺς Πέλοπος †μόνος ἐδίδου πέλας τὸ παρ' ἐλέφαντος ὠσὶν ὡρόμενοι ἀγρίοι†, οὕτω καὶ σὲ δηλοῖ κακαῖς αἰκίαις παραπέσειν. Ἀλλ' ἔδει πάντως, ἔδει σε μιᾷ καὶ μόνῃ τέχνῃ συμβιοτεύειν καὶ συζῆν, καὶ μὴ πολλὰς αἱρεῖσθαι καὶ ζημιοῦν τὸν ἀδελφὸν πλεονεξίας τρόπον. ὁ γὰρ θεὸς οἰκονομῶν τὰ καθ' ἡμᾶς χρησίμως τούτου χάριν πᾶσαν ἡμῖν ἐξεῦρεν ἐπιστήμην, ἵν' ὁ μὲν ταύτην μετιὼν πορίζοιτο τὴν χρείαν, ὁ δ<έ γ>' ἐκείνην ἐξασκῶν τὸ ζῆν ὡσαύτως ἔχοι. σὺ δὲ τὰς πάσας συλλαβὼν σχεδὸν ἐξ ἀπληστίας ἀποστερεῖν τὸν ἀδελφὸν πῶς οὐδὲν ἐλογίσω, τοῦ Παύλου κυριεύοντος νήφειν ἐξ ἀδικίας; καὶ γὰρ ποτὲ μέν, λέγουσιν, ὑπῆρχες πλινθοκόπος, ποτὲ δὲ πάλιν κηπουρὸς εἰς τὸ τζουκανιστήριν,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄλλοτε δὲ θερμοδοτῶν εἰς τοῦ Μακρῆ Κοχάλου, ὅπερ ἐστὶν ἐπίσημον τοῦ κάστρου βαλανεῖον, πολλαῖς μεθαρμοζόμενος τέχναις καὶ μεθοδείαις, ὥσπερ ἐκεῖνος ὁ Πρωτεὺς εἰς σχήματα παντοῖα. Ἐγὼ δ' ἀναμνησκόμενος τὰς ἐν Αἰγύπτῳ πάλαι τοῦ Ἰσραὴλ κακότητας ἐπὶ τὴν πλινθουργίαν καὶ τὴν ἀδάπανον αὐτοῦ τῶν κόπων ἀκαρπίαν, καὶ Δαναοῦ τῶν θυγατρῶν εἰς πίθους ἐπαντλήσεις, καὶ λογισάμενος τὸ πῶς ἤντλησας ἀσκοδαύλας, καὶ τότε πάλιν ἔπραξας τὰ πρὸ μικροῦ λεχθέντα, θαυμάζω πῶς ὑπήνεγκας τοῦ ταλαιπώρου βίου τὴν δύστηνον καὶ μοχθηρὰν ζωὴν καὶ παναθλίαν. Καὶ ταῦτα μὲν μικράν τινα παραψυχήν πως φέρει, εἰ καὶ δεινὰ καὶ χαλεπὰ καὶ δυσχερῆ τυγχάνει· τὸ δὲ τίλλειν τοὺς ὄρπηκας καὶ πρὸς γῆν καταφέρειν καὶ σχίζειν μὲν ἰθυτενῶς, συγκόπτειν δ' ἐγκαρσίως, καὶ στοιβάζειν ὡς ἐν βουνῷ καὶ πῦρ αὐτοῖς ἀνάπτειν καὶ καταψύχειν ἄνθρακας καὶ μεταφέρειν τούτους καὶ πωλεῖν καὶ πορίζεσθαι τὴν ἐδωδὴν ἐντεῦθεν, ποίαν οὐκ ἀποκρύψειεν ὑπερβολὴν πενίας, τίνα δ' οὐκ ἂν ἐκπλήξειαν οἱ κόποι τε καὶ μόχθοι; ὑπερτεροῦσιν οὗτοι γάρ, ὡς οἶμαι, καὶ τῶν πόνων οὓς μοναχὸς γενόμενος ἀνέτλης μετὰ ταῦτα. Ταῦτα λαλεῖν οὐδὲν ἐξῆν ἄλλον ἢ Δημοσθένην τὸν πικροῖς ἐνθυμήμασι βαλόντα τὸν Αἰσχίνην, ὅταν αὐτῷ διείλεκτο τὰ Περὶ τοῦ στεφάνου· ἐμοὶ δ' ἡ γλῶσσα καὶ στενὴ καὶ φορτικὸν τὸ γράφειν, ἄλλων τιῶν ἑλκόντων με πρὸς τὴν ἐκείνων πρᾶξιν, ὧν μέλλω δίκην ὑποσχεῖν τὴν ἀμοιβὴν †δοκοῦντα†· ὅθεν μικρᾷ τινι γραφῇ τὸν λόγον καταστέλλω. Ἔγνωσα τοὺς προπάτορας, ἔγνωσα τοὺς τεχνίτας· ἔμαθες ὅτι {ἐκ} τῶν πολλῶν εἷς ὑπάρχων θρασύς τις, ἢ μᾶλλον ἔξω τῶν πολλῶν (ἐθνικὸς γὰρ τῷ γένει), συναριθμητέος καὶ σὺ μεθ' ἡμῶν τῶν πενήτων. οὐδὲν βλάπτει τὸ πένεσθαι τῆς ἀρετῆς παρούσης· σύντροφος πέλει τῆς σεπτῆς ἀρετῆς ἡ πενία. πλεονεξία δέδηχε πτωχούς τε καὶ πλουσίους· αὕτη τὴν ἴσην ἄνισον ἀπειργάσατο φύσιν, αὕτη τὸ γένος εἰς πολλὰς ἐμέρισε μερίδας. δυσκόλως εἰσελεύσεται πλουτῶν εἰς βασιλείαν· θεοῦ φωνή, καὶ νόμιζε χαμαὶ ταύτην μὴ πίπτειν, καὶ μὴ φυσᾷς ἀνόνητα μηδὲ κομπάζῃς μάτην, μηδὲ τὸν τράχηλον ὑψοῖς, μὴ τὴν ὀφρῦν ἐπαίρῃς, μὴ τοῖς δακτύλοις τῶν ποδῶν βαίνῃς ἐπὶ τὴν †πίζαν†, μὴ τῷ χιτῶνι τῷ φαιῷ σεμνύνῃ καὶ τῷ βάκτρῳ, ὥσπερ ἐπὶ τῶν Κυνικῶν λέγεται φιλοσόφων· μὴ τῷ βάθει τοῦ πώγωνος καὶ τῷ ξανθόθριξ εἶναι καὶ τοῖς τοιούτοις ἅπασιν εὐγενὴς δόκει πλέον, οὐ γὰρ ἐν τούτοις πέφυκεν εὐγενὴς καθορᾶσθαι. εἰ δὲ κἀν τούτοις, ἄνθρωπε, τὸν εὐγενῆ νομίζεις, ὁ τράγος ἐστὶν εὐγενὴς πολλῷ σου καὶ μειζόνως· καὶ γὰρ ἐν τούτοις ἔγνωμεν μεγάλας γενειάδας καὶ σπλαγχνικὰ τὰ σχήματα τὰ τῆς ἀλαζονείας, †ἦν καὶ προπορευόμενων† μεγάλων αἰπολίων. ἐκεῖνον εὐγενέστατον καὶ φρόνει καὶ λογίζου, εἰς ὃν ὁ φόβος τοῦ θεοῦ συνεχῶς ἐφιζάνει, ὅστις ἀδούλωτον τηρεῖ τῆς ψυχῆς τὴν ἀξίαν, ὅστις τὰ πάθη τῇ σαρκὸς ἀπονεκρῶσαι σπεύδει, ὅστις κόσμον μεμίσηκε καὶ τὰ τοῦ κόσμου πάντα, ὅστις ἔνοικον ἔλαβεν τὴν τρισήλιον αἴγλην, ὅστις ἐκάθηρεν αὐτοῦ τὴν συνείδησιν ὅλην, ὅστις ὥσπερ ἐν οὐρανῷ περιπατεῖ τῇ γαίᾳ, κἂν σκηνογράφου πέρφυκεν οὗτος υἱὸς τυγχάνειν, κἂν ἁλιέως καὶ βοσκοῦ καὶ κηπουροῦ καὶ ῥάπτου, κἂν περάτου καὶ καλιγᾶ καὶ κτενᾶ καὶ ὑφράντου, κἂν τέκτονος καὶ μυλωνᾶ καὶ μισθωτοῦ καὶ ναύτου, κἂν μίμου καὶ θυμελικοῦ καὶ μαστροποῦ καὶ μάγου, κἂν συκοφάντου καὶ μοιχοῦ καὶ κλέπτου καὶ φονέως. οὐδένα γὰρ βδελύσσεται τούτων ἡ θεία χάρις οὐδ' ἀποστρέφεταί ποτε θεὸς τὸ τούτου πλάσμα, ὁπόταν νεύσῃ πρὸς τὴν γῆν ἐξετάζων καρδίας· ἀπροσωπόληπτός ἐστιν τοῦ πλάσματος ὁ πλάστης. καὶ πρόσσχες οἷα φθέγγομαι πρὸς τὴν σὴν εὐδοξίαν, ὁ δυστυχὴς καὶ ἄθλιος, ὁ καὶ μεμολυσμένος, ὁ μηδὲν ἕτερον ἰδὼν ἀλεύρου καὶ πασπάλης. Εἰ δὲ καὶ βούλει κατιδεῖν θεοῦ μεγάλου τρόπους, μάθε πόθεν ἐξήνεγκε τοὺς πρώτους τῶν ἁγίων, μάθε πόθεν ἐκάλεσεν τοὺς κήρυκας τοῦ λόγου, μάθε δι' ὧν ἐφώτισε τὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πέρατα τοῦ κόσμου, ὑφ' ὧν δυνάστας καὶ σοφοὺς καὶ βασιλεῖς καθεῖλε. ἐκ τούτων γὰρ τῶν ἀγενῶν καὶ τῶν τῆς κάτω τύχης καὶ τῶν δοκούντων ἀτελῶν καὶ πάνυ πενεστάτων τὸ ἱερὸν ἀνέδειξεν χορὸν τῶν ἀποστόλων, Πέτρον, Ἀνδρέαν, Φίλιππον, Θωμᾶν, Βαρθολομαῖον, Παῦλον, Ματθαῖον καὶ Λουκᾶν, Ἰάκωβον καὶ Μάρκον, καὶ Ἰωάννην τὸν πολὺν καὶ Σίμων καὶ Ματθίαν. κυροῖ δὲ τὰ λεγόμενα Παῦλος ὁ τούων πρῶτος· «τὰ δυσγενῆ τοῦ κόσμου» γὰρ φησὶ «καὶ τὰ μὴ ὄντα ὁ θεὸς ἐξελέξατο», καὶ βλέπε τίνος χάριν· «ἵνα» φησὶ «τοὺς ὑψηλοὺς καὶ σοφοὺς καταισχύνῃ.» Μία γὰρ οὖσα σύμπασα τῶν γηγενῶν ἡ φύσις, ἐκ ψυχῆς τε καὶ σώματος ὁμοῦ συνισταμένη, ἓν γένος ὑποδείκνυσι τὴν βρότειον οὐσίαν. οὐδ' ἔστι γὰρ εὑρεῖν ψυχῆς ἀνθρώπου φύσιν ἄλλην πλὴν ἐμφυσήματος ἐκτὸς ἔχειν τοῦ θειοτάτου· ἀλλ' ἓν σῶμα πεφύκαμεν ἐκ τοῦ χοὸς ὁρᾶσθαι. εἰ τοίνυν †ταὔτης καὶ μικρὰν† βροτῶν ἡ πᾶσα φύσις, ἐκ τῆς πνοῆς τῆς ἄνωθεν καὶ τοῦ χοὸς τοῦ κάτω, οὐκ ἔστιν εὐγενέστερος ἢ δυσγενὴς ἐνταῦθα, οἱ δὲ δοκοῦντες εὐγενεῖς, ἔνδοξοι καὶ μεγάλοι, εἰ μὲν τὸν βίον κέκτηνται Χριστῷ κεκαθαρμένον καὶ ζῶσιν εὐαγγελικῶς, ἀμέμπτως καὶ δικαίως, ὄντως πανευγενέστατοι καὶ λαμπροὶ καὶ μεγάλοι· εἰ δέ γε πάθεσιν αἰσχροῖς ἀεὶ προσκυλινδοῦνται καὶ τἀναντία τοῦ Χριστοῦ διδάσκαλον εὑρῶσιν, μηδὲν ἑτέρους ἀγενεῖς ζητήσῃς παρὰ τούτους. Ἀλλὰ καὶ τοῦτ' ἂν ἡδέως ἐροίμην ἔγωγέ σε, ὅπερ προὐβάλετό ποτε Χριστὸς τοῖς Φαρισαίοις, εἰ μὴ πρὸς μῆκος ἔβλεπον ἐκτείνεσθαι τὸν λόγον. ὅμως γοῦν ἐρωτήσω σε, σὺ δ' ἀποκρίθητί μοι. τί σοι δοκεῖ περὶ Χριστοῦ; τίνος υἱὸς τυγχάνει; εἰ μὴ τὰ Νεστορίου γὰρ φρονεῖς, ἐρεῖς μοι πάντως ὅτι τοῦ ζῶντος πέφυκεν θεοῦ υἱὸς καὶ λόγος, τῆς αὐτῆς αὐτῷ τῷ πατρὶ συμπεφυκὼς οὐσίας. ἀλλ' οὗτος ὁ πανύμνητος, ὁ τῆς φιλευσπλαγχνίας, ὑπὸ πολλῆς κινούμενος τότε φιλανθρωπίας, ἐνανθρωπίσαι βουληθεὶς ἁγνῆς ἐξ ἀπειράνδρου καὶ τὴν ἐμὴν ἀνάπλασιν θέλων ἀνακαινίσαι, τοῖς κάτω συναναστραφεὶς ὁ πάντων ὑπεράνω, τοῦ Ἰωσὴφ τοῦ τέκτονος υἱὸς κατενομίσθη. τί φῄς πρὸς τοῦτο, δέσποτα, καὶ τί νῦν ἀποκρίνῃ; μεταβαλεῖς τὴν τοῦ Χριστοῦ κλῆσιν εἰς τὴν Ἑβραίων, πρωτορεμπῆς γενόμενος, Ἀβραχὰς λελεγμένος, καὶ δέχῃ τὴν περιτομὴν καὶ δέχῃ σαββατίζειν, καὶ λοιδορεῖς καὶ σὺ Χριστόν, καθὼς ἐκεῖνοι τότε, τοῦ Ἰωσὴφ τοῦ τέκτονος υἱὸν κατονομάζων; βαβαί σου τῆς λαμπρότητος, βαβαὶ τῆς εὐγενείας, ὡς ὅτι γε κατὰ Χριστοῦ τρανότερον ἐπήρθης, μηδὲ τὴν αἴγλην αἰδεσθεὶς τὴν ἄφραστον ἐκείνην, ἧσπέρ ποτε πρὸ τοῦ σταυροῦ τὸ κάλλος παρανοίξας τοὺς μαθητὰς ἐξέπληξεν ἐν ὄρει Θαβωρίῳ. Πρὸς τούτοις πᾶσι γίνωσκε καὶ τοῦτο περὶ πάντα, ὡς ὅτι πᾶσαν ἀρετὴν ἣν ἄν τις κατορθώσῃ μεθ' ὑψηλοῦ φρονήματος καὶ θράσους ἐπηρμένου οὐκ ἀρετὴ λογίζεται, κἂν πρώτη, κἂν ἐσχάτη, κἂν παρθενίαν, κἂν εὐχήν, κἂν ἐλεημοσύνην, κἂν ἐκ γαστρὸς ἐγκράτειαν, κἂν ποταμοὺς δακρύων, κἂν καταφρόνησιν πολλῶν κτημάτων καὶ χρημάτων τύχῃ τις κατορθούμενος, κἂν ἄλλο τι τοιοῦτον. καὶ πειθέτω τῆς τοῦ Χριστοῦ παραβολῆς ὁ λόγος, τὴν Φαρισαίου μὲν ὀφρῦν εἰς γῆν κατεσπακότος, τελώνου δὲ τὸ ταπεινὸν ἐπάραντος εἰς ὕψος. 68 Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν †πολιπιστικαὶ καὶ κονδικοί† Χρόνος πολὺς παρέδραμεν ἀφ' οὗπέρ σου τὸ γράμμα δεξάμενος ἀντιγραφὴν οὐκ ἀνταπέστειλά σοι. καὶ πάντως εἶχες μέμψασθαι τὴν ἡμῶν ἀγροικίαν, ἢ μᾶλλον φάναι βέλτιον τὴν πολλὴν ῥαθυμίαν ὡς καταφρόνησιν καλοῦ τοιούτου δεδρακότας. πλὴν δ' ὅμως ὡς οὐκ ἄξια λόγου τὰ γράμματά σου, ἐξ ὅτου πέπομφας αὐτὰ σῆς φρενὸς ἐλαφρίᾳ, ἔν τινι παρερρίφθησαν τῆς κέλλης μου γωνίᾳ καὶ λήθῃ παρεδόθησαν ἄχρι καὶ τοῦ παρόντος. νῦν δὲ πρὸς ζήτησιν ἐλθὼν πραγμάτων ἀναγκαίων καὶ ψηλαφῶν οὐκ οἶδα πῶς εὗρον τὰ γράμματά σου. ἅπερ λαβών, ὑπαναγνούς, κροτήσας δὲ τὰς χεῖρας μεγάλως κατεγέλασα τὴν σὴν ἀπαιδευσίαν, ἢ μᾶλλον τὴν ὑπερβολὴν τῆς ἄκρας εὐηθείας. Πῶς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γὰρ ἐναβρυνόμενος στίχων εἰδέναι τέχνην οὔτε τοὺς τόνους ὤρθωσας οὔτε τἀντίστοιχά σου οὔτ' ἐκ βραχέων καὶ μακρῶν συνηρμόσω τοὺς πόδας, ὅπερ ἐστὶν ἐπαριθμεῖν τὸν ἴαμβον σπονδεῖον; ὁ γὰρ σπονδεῖος ἐκ μακρῶν συντίθεται τῶν δύο, καθάπερ ὁ πυρρίχιος πάλιν ἐκ τῶν βραχέων. ἀλλ' ἔνθα μὲν οὖν ἥρμοζε γράψαι σε τὴν ὀξεῖαν, τόνους ἑτέρους τέθεικας ἀσυνήθεις καὶ ξένους. βαβαὶ τῆς σῆς, πανάριστε, τῶν στίχων ἐπιστήμης· ὑπερενίκησας σχεδὸν τοὺς πάλαι τεχνογράφους. τόνους γὰρ οὕσπερ ἐξ ἀρχῆς γραμματικῶν αἱ βίβλοι καὶ τὴν δασέων καὶ ψιλῶν συναρμογὴν στοιχείων τοῖς ἐφεξῆς οὐκ ἔδωκαν, αὐτὸς εὑρὼν ἐφάνης νέος ἡμῖν γραμματικὸς καὶ ξένος στιχοπλόκος. Ὄντως ἡττᾶται νῦν ἐν σοὶ φιλόσοφος ὁ Πλάτων καὶ Διογένης ὁ σοφός, Πλούταρχος, Ἰσοκράτης, Ἀριστοτέλης, Ὅμηρος, Θέογνις, Θουκυδίδης· ἡττᾶται καὶ Πορφύριος, ἡττᾶται καὶ Μοσχίων· Ἀφθόνιος ἐπαπορεῖ, θαυμάζει Δημοκράτης· σοὶ καὶ μόνῳ παραχωρεῖ τῆς τέχνης τὰ πρωτεῖα ἡ ξυνωρὶς ἡ θαυμαστὴ τῶν ἀληθῶς ῥητόρων, τὸν Δημοσθένην λέγω δὴ μετὰ τὸν Ἑρμογένην· λῆρός εἰσι τὰ Φίλωνος καὶ τὰ τοῦ Ἰωσήπου· σὺ ταῦτα καὶ τὴν μουσικὴν καὶ τὴν Ἀκαδημίαν καὶ Στωικὴν †ἐσήμαναν†, εἰς οὐδὲν ἐλογίσω· σὺ τοῦ ἀνακαινίσαντος τὴν ἡδυεπῆ κιθάραν καὶ τὴν Θηβαίαν ἔσβεσας τοῦ μελῳδοῦ Πινδάρου καὶ τοῦ βουκόλου σύριγγα τοῦ Θεοκρίτου λύσας πάντων ἐφάνης ὕπερθεν ξένη τις οὖσα φύσις. Ἀλλὰ δεῦρο πρὸς τῆς αὐτῆς τριάδος, ὦ φιλότης, φράσον μοι πῶς ἐπλούτησας τὴν γνῶσιν ταύτην ὅλως, εἶπόν μοι πόθεν εἴληφας τὴν εὔροιαν τοῦ λόγου, δίδαξον πόθεν ἔμαθες στιχοπλοκεῖν εὐτέχνως. νὴ τὴν καλήν σου κεφαλήν, ἀδελφὲ φίλτατέ μου, ἐγὼ πολλοὺς ἀνέγνωκα στίχους ἀνδρῶν ῥητόρων, ἡρωικούς, ἀναπαιστούς, σπονδείους καὶ τροχαίους, ἴωνάς τε καὶ μολοσσούς, πρὸς τούτοις ἐπιτρίτους, ᾠδάριά τε πένθιμα τόνων †ἐν† ἑξαμέτρων· περὶ δὲ τῶν ἰαμβικῶν οὐκ ἔχω τί σοι γράφειν, ἀλλ' οὔτε τοὺς πολιτικοὺς ἰσχύω καταλέγειν. ἐνόμιζον δ' ὁ μάταιος ὡς μέγα τι κατέχειν καὶ χαίρων ἤμην ἐπ' αὐτοῖς τερπόμενος τὴν γνῶσιν· ἀφ' ὅτου δ' ἧκε πρὸς ἡμᾶς ὁ χάρτης τῆς γραφῆς σου καί γε προσέσχον ἀκριβῶς τοῖς θαυμαστοῖς σου στίχοις, ψόφον ὠτίων ἅπαντας ἡγησάμην οὓς πρώην στίχους ἀνέγνων τῶν σοφῶν ἀνδρῶν καὶ θαυμασίων. Ἔπη σιγάτω τὰ χρυσᾶ τοῦ καλοῦ Πυθαγόρου, σιγάτω τὰ λεγόμενα γράμματα τῆν Σιβύλλας, σιγάτω δὲ καὶ Σοφοκλῆς πλέκων τὰ τῆς Ἑκάβης· Ὅμηρε, ῥῖψον νῦν καὶ σὺ τὰς πολλὰς ῥαψῳδίας, ἄφες, Ἡσίοδε, λαλεῖν Ἔργα καὶ τὰς ἡμέρας, Φωκυλίδη, κατάκρυψον τοὺς ἠθικούς σου στίχους, βαθεῖαν ἔχε σιωπὴν μὴ λαλῶν, Εὐριπίδη, Θεμιστοκλῆ καὶ Χρύσιππε, Ἱππόλυτε καὶ Σόλων, ἄφετε τοὺς συλλογισμούς, τοὺς μύθους καὶ τοὺς νόμους. ἀλλὰ μηδὲ Γρηγόριος ὁ κληθεὶς θεολόγος, μηδὲ Βασίλειος αὐτὸς ὁ τῶν ἀρρήτων μύστης, μηδὲ λόγων θάλασσα, Χρυσόστομος ὁ πάνυ, οἱ καὶ πάντας τοὺς πρὸ ὑμῶν σοφοὺς νενικηκότες, ὑπὸ Χριστοῦ τυπούμενοι τὸν βίον καὶ τὸν λόγον καὶ γνήσιοι τυγχάνοντες μύσται καὶ λάτραι τούτου, ὅλως εἰπεῖν ἀνέχεσθε λαλοῦντος Ἰωάννου. βροντῆς υἱοὺς λέγει μοι τὶς ἢ Πέτρον ἢ τὸ Παῦλον; οὐκ ἔστιν ὅστις δύναται παρισωθῆναι τούτῳ· ἐκεῖνοι γὰρ ἐκ πνεύματος λαλήσαντες ἁγίου, οὗτος πνεύματι Πύθωνος καὶ φθέγγεται καὶ γράφει. σὺ δ' αὖ, ὑπέρτιμε Ψελλέ, Πισίδη, Χριστοφόρε, Λέων καὶ Θεοφύλακτε πρόεδρε Βουλγαρίας, δεινὴν καὶ πάνυ χαλεπὴν ὑπέστητε ζημίαν προμεταστάντες ὑπὸ γῆν καὶ μὴ μεμαθηκότες τοὺς στίχους οὕς μοι πέπομφεν μόνος ὁ στιχοπλόκος. Ἀλλ' ἄχρι τίνος κάθημαι πλέκων τὰς εἰρωνείας καὶ ῥήμασιν ἀπατηλοῖς φρόνημά σου τὸ κοῦφον εἰς ὕψος αἴρων ἀπὸ γῆς; δόξειν γὰρ ἔχεις ἴσως ἐπαληθεύειν ὡς εἰκὸς ταῦτά σοι μαρτυροῦντα. παράφρων, ἀμαθέστατε, λῆρε καὶ παραπαίων, τί μὴ λαμβάνεις σύριγγα, πήραν καὶ βακτηρίαν, καὶ πρὸς ἄλση καὶ φάραγγας, γηλόφους καὶ πεδία χοίρους βόσκειν ἀφίκεσο καὶ πρόβατα καὶ βόας, ἀλλὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καθεύδεις γράφων μοι μετὰ πολλοῦ τοῦ θράσους καὶ τῆς συνήθους στυγητῆς ἀμαθοῦς ἀπονοίας ἰάμβους ὧν οὐδέποτε πεῖραν ἔσχηκας ὅλως; Ἄπελθε, κλαῦσον, ἄθλιε, νῦν σου τὴν ἀμουσίαν ἥν τε κακῶς ἐπλούτησας μεγάλην ἀγνωσίαν· ἄπελθε, στέναξον πικρῶς καὶ τύψον εἰς τὸ στῆθος καὶ μετανόησον θερμῶς ἐξ ὅλης τῆς καρδίας. οἶνον ἐχρῶ καρηβαρῶν ὅτ' ἦν καιρὸς μελέτης· βίβλοι γάρ σε παρέδραμον ὧν ἀριθμὸς οὐκ ἔστιν, καὶ σὺ δ' ἐκτάδην ἔκεισο ῥέγχων ἐπὶ τῆς κλίνης καὶ φανταζόμενος οὐδὲν ἡμέραν τε καὶ νύκτα. οἱ γὰρ βουλόμενοι αὐτοὶ καὶ στίχους ἐπιστέλλειν, καὶ τότε πρὸς τοὺς ἔχοντας κειμένους τούσδ' ἐκτάδην, προσήκει τούτους εὐφυῆ πρὸ πάντων φύσιν ἔχειν, ἔπειτα μέντοι καὶ φωνὰς καὶ γλώσσας καὶ τὰς λέξεις εἰδέναι τῆς γραμματικῆς (πέντε γάρ εἰσιν αὗται, Ἰωνική, Δωρίς, Ἀτθίς, Αἰολικὴ κοινή τε), μαθεῖν δὲ καὶ τὴν δύναμιν τῶν λεγομένων χρόνων, παρῳχηκότος, μέλλοντος, ἐνεστῶτος, ὁμοῦ τε τῶν ὀνομάτων ἀκριβῶς καὶ κλίσεις καὶ κανόνας.

69 Τοῦ Ψελλοῦ εἰς τὸν χαιρετισμόν

Τὸ χαῖρε τὴν σύλληψιν εὐθὺς μηνύει· νάρκωσιν ἡ σύλληψις αὖθις εἰσάγει. τὸ πῦρ δὲ Χριστὸν συλλαβοῦσα παρθένος ἄφλεκτος ὤφθη χρυσοειδεῖ καρδίᾳ.

70 Εἰς τὴν γέννησιν

Πατὴρ θεός μου καὶ τεκοῦσα παρθένος· θεὸς γάρ εἰμι καὶ βροτὸς κατ' οὐσίαν. βρέφος γάρ, ἀλλ' ἄναρχος ὡς θεὸς λόγος· Χριστὸς μέν, ἀλλ' ἔνσαρκος ὡς βροτὸς φύσει.

71 Εἰς τὴν ὑπαπάντην

Ἄνω πατήρ σε καὶ κάτω μήτηρ φέρει, κόλποις ἐκεῖνος, ἀγκάλαις ἡ παρθένος. τὸν τοῦ νόμου λάτριν τε τῆς σαρκὸς λύων ἐλευθεροῖς ἅπασαν ἡμῶν τὴν φύσιν.

72 Εἰς τὸ βάπτισμα

Ὅλον με σαυτῷ προσλαβὼν κατ' οὐσίαν πλύνεις με λαμπρῶς ὕδασι ζωηρρύτοις. αὐτὸς γὰρ ὢν φῶς οὐ δέῃ καθαρσίων, ἐμοὶ δὲ πηγὰς ἐκχέεις σωτηρίου.

73 Εἰς τὴν μεταμόρφωσιν

Ἔσωθεν ἐξέλαμψας ὡς θεὸς φύσει καὶ σαρκὸς ἠλλοίωσας ἀρρήτως φύσιν. τῆς ἀστραπῆς δὲ μὴ φέροντες τὴν φλόγα πίπτουσιν εἰς γῆν οἱ μαθηταί σου, λόγε.

74 Εἰς τὰ βάια

Τὸ τῶν ἐθνῶν φρύαγμα πῶλος εἰκότως, ἡ τῶν ὁδῶν στρῶσις <δὲ> κόσμησις βίου. τὰ νήπια φρόνιμα διπλόης ἄνευ. σὺ νῦν βασιλεὺς Ἰσραὴλ νοουμένου.

75 Εἰς τὴν σταύρωσιν

Ὑψούμενος πτεροῖς με πρὸς πόλον, λόγε, σταυρούμενος νεκροῖς με γνωστικοῖς τρόποις. νεκροῖς με <καὶ> ζωοῖς με μυστικῷ βίῳ. σταυρούμενος σφίγγεις με πρακτικοῖς τόνοις.

76 Εἰς τὴν ἀνάστασιν

Τὴν σάρκα θάψας σῇ ταφῇ ζωηφόρῳ καινόν με νῦν ἄνθρωπον ἐκ γῆς δεικνύεις. ῥήξας γὰρ ᾅδου τὴν νοητὴν γαστέρα ἐκ τῆς πλάνης ἤγειρας ὥσπερ ἐκ τάφου.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

**77 Εἰς τὴν ἀνάληψιν**

Ἐκ τῆς ἑῴας ὡς πρὸς ἑσπέραν φθάσας αὖθις πρὸς αὐγὰς ἀντανῆλθες ἡλίου. εἰς γῆν γὰρ ἐλθὼν συμπαθῶς ὁ δεσπότης εἰς οὐρανοὺς ὕψωσας ἡμῶν τὴν φύσιν.

**78 Εἰς τὴν πεντηκοστήν**

Γλῶσσαι τὸ πνεῦμα μηνύουσι πυρφόροι, πιστοῦσι τοῦτο μυριόγλωττοι λόγοι. δῆμος μὲν οὖν μέμηνεν Ἑβραίων πάλιν, ἔθνη δὲ πιστεύουσιν ἀπλάστῳ τρόπῳ.

**79 Εἰς τὰ ἅγια τῶν ἁγίων**

Καινὴ προπομπὴ τῆς βασιλίδος κόρης· ἡ λαμπρότης δὲ τῶν ἀνακτόρων ὅση. παστὰς ἀποστίλβουσα πνεύματος χάριν· ὁ νυμφίος τίς; παῖς θεοῦ θεὸς λόγος.

**80 Εἰς τὴν κοίμησιν τῆς ὑπεραγίας θεοτόκου**

Ἀπῆρας ἐκ γῆς ὡς βασιλὶς εἰς πόλιν, τὸν ἀέρα στέφουσι τάξεις ἀγγέλων, ἀρχάγγελοι κοσμοῦσιν οὐρανῶν κύκλους, ὁ παῖς δὲ θεῖον εὐτρεπίζει σοι θρόνον.

**81 Πέτρος πρὸς τὸν Χριστόν**

Αἷς ἔπλασας πάλαι με χερσίν, ὦ λόγε, ταύτας προτείνεις δουλικῶς εἰς τοὺς πόδας. οὐ μή με νίψεις δεσπότης τὸν οἰκέτην· τὸ πῦρ φοβεῖ με, πυρπολήσει τοὺς πόδας.

**82 Ὁ Χριστὸς πρὸς τὸν Πέτρον**

Εἰ συμμεριστής, εἰ μαθητής μου θέλεις, Πέτρε, καλεῖσθαι καὶ †μαθητὴς† καὶ φίλος πάντως σε νίψω· καὶ πτερωθεὶς ἐν τάχει βάδιζε καὶ κήρυττε κόσμῳ παντί με.

**83 Εἰς τὸν χαιρετισμόν**

Ὁ χαιρετισμὸς ἡ καθάρσιος χάρις· «ὁ Χριστὸς ἐν σοί, χαῖρε, μῆτερ τοῦ λόγου.» «ὡς εἶπας αὐτός, Γαβριήλ, γένοιτό μοι.»

**84 Εἰς ἱμάτιον τῆς θεοτόκου, τίμιον ξύλον καὶ τρίχας τοῦ Προδρόμου Ἐσθής, ξύλον, θρίξ· παρθένου, λύχνου, λόγου.**

**85 Τοῦ αὐτοῦ ἤγουν τοῦ Κερκύρας**

Ὦ γῆς ἁπάσης καὶ πόλου κρατῶν ἄναξ, ῥύστα, βασιλεῦ τῆς ἐμῆς διαρτίας, ὁ δρακὶ πάντων κατέχων τὰς ἡνίας καὶ τὰς ἀβύσσους χαλινῶν νεύσει μόνῃ, χρώμασι τυπῶν τὴν ἀναφῆ σου θέαν πόθῳ ζέοντι καὶ γέμοντι τῆς φρίκης προσέρχομαί σοι τῷ βασιλεῖ τῶν ὅλων, ὅπως λύσιν εὕροιμι τῶν ἐπταισμένων. Ἀλλ' ὦ μαθητῶν ἡ λογὰς ἡ κοσμία, παρρησίαν ἔχουσα πρὸς τὸν δεσπότην σύναψον αὐτῷ μυστικαῖς ἐντυχίαις ἡμᾶς ποθοῦντας τὴν ὑμῶν προστασίαν, ὦ ἱερὸν σύνταγμα τῆς τετρακτύος.

**86 Τοῦ Ψελλοῦ**

Δεινὸν τὸ λυποῦν· ἂν δὲ καὶ λυπῇ φίλος, ἀνδραποδῶδες· ἂν δὲ καὶ δάκνῃ λάθρᾳ, ὡς θηριῶδες· ἂν δὲ καὶ γυνὴ λάλος, δαίμων σύνοικος· ἂν δὲ καὶ δικασπόλος, πόνος τετραπλοῦς· ἂν δὲ καὶ θυηπόλος, ἄκουε, Χριστέ, καὶ δίκαζε τὴν δίκην.

87 Τοῦ Ψελλοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Πόνος πόθος πᾶς· εἰ δὲ καὶ χρηστοῦ νέου, πόνος τετραπλοῦς· εἰ δὲ καὶ φιλουμένου, πόνος δεκαπλοῦς· εἰ δὲ καὶ φίλου πλέον, πόνος πόσος. ῥάγηθι φιλῶν εἰς δύο πόνους δεκαπλοῦς μὴ φέρειν ἐξισχύων. τῷ φιλτάτῳ γέγραφα ταῦτα δακρύων· δάκρυσιν, οὐ μέλανι, ταῦτ' ἐγεγράφειν.

88 Ψελλοῦ εἰς τὸν προφήτην Ἀμοῦν

Ἀμοῦν τὸ χρησμῴδημα διασαφίζει ἄριστα ὡς ἔνεστι καθ' ἱστορίαν Κύριλλος ὁ πρόεδρος Ἀλεξανδρείας· εἶθ' οὕτως αὖθις εἰς θεωρίαν ἄγει καὶ διατρανοῖ μυστικῶς καὶ πανσόφως τὸν κεκρυμμένον ἐν τῷ γράμματι νόον.

89 Τοῦ αὐτοῦ εἰς τὸν Μιχαίαν Μιχαία

τὰ δύσληπτα εὔληπτα φαίνει Κύριλλος ὁ πρόεδρος Ἀλεξανδρέων, οὗπερ τὸ κῦδος πᾶσαν μὲν γῆν κατέχει διὰ τὴν εἰς ἄκραν δὲ ἁγιστίαν.

90 Στίχοι τοῦ Ψελλοῦ εἰς τοὺς ιβ΄ ἀποστόλους, περιέχει δὲ εἷς ἕκαστος αὐτῶν τὸ τέλος, τὸ ὄνομα, τὸν φονεύσαντα καὶ τὸν τόπον

Σταυροῖ Πέτρον κύμβαχον ἐν Ῥώμῃ Νέρων. Ῥώμη ξίφει θνῄσκοντα τὸν Παῦλον βλέπει. εἰρηνικῷ τέθνηκε Λουκᾶς ἐν τέλει. ζωῆς ὕπνον πρύτανιν ὑπνοῖ Ματθαῖος. Μάρκον θανατοῖ δῆμος Ἀλεξανδρέων. καὶ μὴ θανὼν ζῇ καὶ θανὼν Ἰωάννης. σταυροῦσι Πατρεῖς ἄνδρες ὠμῶς Ἀνδρέαν. νεκροῦσι λόγχαι τὸν Θωμᾶν ἐν Ἰνδίᾳ. Βαρθολομαῖος σταυρικῷ θνῄσκει πάθει. καὶ τὸν Σίμωνα σταῦρος ἐξάγει βίου. μάχαιρα τέμνει τοὺς Ἰακώβου δρόμους. ἴσον Πέτρῳ δίδωσι Φίλιππος μόρον.

91 Εἰς τὸν στίχον

Τέχνη τίς ἐστι τὸ στιχίζειν ἐντέχνως, τέχνη καλλίστη, μουσικωτάτη τέχνη, θέλγουσα καὶ τέρπουσα καὶ νοῦν καὶ φρένας καὶ τὴν ἄτεχνον ἡδύνουσα καρδίαν. Ἔχει κολάβους ἐκ λόγων ἠσκημένους, ἔχει δὲ χορδὰς εὐφυῶς κεκλωσμένας, ἔχει δὲ ῥυθμοὺς οὐκ ἀναβεβλημένους, οὐδ' αὖ χαλαρούς, ἀλλὰ συντεταγμένους, οὐ πρὸς μάχην κινοῦντας, ἀλλὰ πρὸς χάριν, πρὸς ἡδονὴν μάλιστα καὶ θυμηδίαν, ἔχει δὲ πῆχυν προσφυῶς ἐξεσμένον καὶ μαγάδα σάλπιγγος ἠχοῦσαν πλέον. Ὁ γοῦν μελουργὸς καὶ δίχα μελῳδίας σύμπασαν ἐκπλήξειε τὴν οἰκουμένην. ταύτην μετελθὼν Ὀρφικὴν κτήσῃ λύραν κηλοῦσαν ἡδύτητι καὶ λίθων φύσιν.

**92 Φυγὼν Ὀδυσσεὺς τὸν μαχησμὸν Ἰλίου**, πλῆθος δόλους τε Λωτοφάγων, Κικόνων, Κύκλωπος δεινὸν ὄμμα τοῦ βροτοκτόνου, τὴν Λαιστρυγόνων ὠμότητα καὶ Κίρκης τρόπους ἀδήλους καὶ μεμηχανημένους, ᾅδην τε φρικτὸν καὶ τῶν Σειρήνων φθόγγον, πέτρας τε πλαγκτὰς καὶ Χαρύβδεως στόμα, Σκύλλης τὸ δεινὸν καὶ βίαιον, ὡς ἔφη, υἱοῦ χεροῖν τέθνηκεν ἐν τῇ πατρίδι.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.